ΧΕΙΡΑ
ΕΓΚΥΚΛΙΩΝ ΜΑΘΗΜΑΤΩΝ
ΠΡΟΣ ΧΡΗΣΙΝ
ΤΩΝ ΙΕΡΑΤΙΚΩΝ ΣΧΟΛΕΙΩΝ,

ΣΥΝΕΡΑΝΙΣΘΕΙΣΑ

ΓΝΩΜΟΔΟΤΗΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΚΑΙ ΕΓΚΡΙΣΕΙ ΤΟΥ ΥΠΟΥΡΓΟΥ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ
ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ,
καὶ ἐκδοθεῖσα δαπάνῃ τοῦ δημοσίου ταμείου.

ΤΟΜΟΣ Γ',

Περιέχων· Ξενοφῶντος, ἐκ τῶν Ἑλληνικῶν Ἱστοριῶν καὶ ἐκ τῶν Ἀπομνημονευμάτων Σωκράτους, ἀποσπάσματα· — Ἰσοκράτους, τὴν πρὸς Δημόνικον παραίνεσιν, καὶ ἐκ τῶν λόγων Ἀρειοπαγιτικοῦ, Συμμαχικοῦ καὶ Παναθηναϊκοῦ ἀποσπάσματα· — τὸ Ἐγχειρίδιον τοῦ Ἐπικτήτου· — τὸν Πίνακα τοῦ Κέβητος· — τὴν πρὸς τοὺς νέους παραίνεσιν Βασιλείου τοῦ Μεγάλου· — καὶ τοὺς Κατηχητικοὺς καὶ Μυσταγωγικοὺς λόγους Κυρίλλου, τοῦ Ἱεροσολύμων Ἀρχιεπισκόπου.

Ἀρχὴ σοφίας φόβος Κυρίου.
Παροιμ. κλσμ. Α', 7.



ΕΝ ΑΘΗΝΑΙΣ,
ΤΥΠΟΙΣ Δ. ΕΙΡΗΝΙΔΟΥ
1859.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

8.000

ΣΕΙΡΑ
ΕΓΚΥΚΛΙΩΝ ΜΑΘΗΜΑΤΩΝ
ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΙΕΡΑΤΙΚΩΝ ΣΧΟΛΕΙΩΝ.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

17.948

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΧΕΙΡΑ

ΕΓΚΥΚΛΙΩΝ ΜΑΘΗΜΑΤΩΝ

ΠΡΟΣ ΧΡΗΣΙΝ

ΤΩΝ ΙΕΡΑΤΙΚΩΝ ΣΧΟΛΕΙΩΝ,

ΣΥΝΕΡΑΝΙΣΘΕΙΣΑ

ΓΝΩΜΟΔΟΤΗΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΚΑΙ ΕΓΚΡΙΣΕΙ ΤΟΥ ΥΠΟΥΡΓΟΥ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ
ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ,
καὶ ἐκδοθεῖσα δαπάνῃ τοῦ δημοσίου ταμείου.

ΤΟΜΟΣ Γ.',

Περιέχων· Ξενοφῶντος, ἐκ τῶν Ἑλληνικῶν Ἱστοριῶν καὶ ἐκ τῶν Ἀπομνημονευμάτων Σωκράτους, ἀποσπάσματα·—Ἰσοκράτους, τὴν πρὸς Δημόνικον παραίνεσιν, καὶ ἐκ τῶν λόγων Ἀρειοπαγιτικοῦ, Συμμαχικοῦ καὶ Παναθηναϊκοῦ ἀποσπάσματα· — τὸ Ἐγχειρίδιον τοῦ Ἐπικτήτου·— τὸν Πίνακα τοῦ Κέβητος· — τὴν πρὸς τοὺς νέους παραίνεσιν Βασιλείου τοῦ Μεγάλου· — καὶ τοὺς Κατηχητικοὺς καὶ Μυσταγωγικοὺς λόγους Κυρίλλου, τοῦ Ἱεροσολύμων Ἀρχιεπισκόπου.

Ἀρχὴ σοφίας φόβος Κυρίου.
Παροιμ. Σολομ. Α', 7.



ΕΝ ΑΘΗΝΑΙΣ,
ΤΥΠΟΙΣ Δ. ΕΙΡΗΝΙΔΟΥ.

1859.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« *Τέκνον, διανοοῦ ἐν τοῖς προστάγμασι Κυρίου, καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ μελέτα διὰ παντός· αὐτὸς στηριεῖ τὴν καρδίαν σου, καὶ ἡ ἐπιθυμία τῆς σοφίας δοθήσεταί σοι.* »

(Σοφ. Σειράχ, ϛ΄, 37.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΠΙΝΑΞ

ΤΩΝ ΕΝ ΤΩι ΠΑΡΟΝΤΙ Γ'. ΤΟΜΩι ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

σελ.

Α'. *Ξενοφῶντος* Ἑλληνικῶν Ἱστοριῶν ἀποσπάσματα. 1

Β'. *Τοῦ αὐτοῦ* Ἀπομνημονευμάτων Σωκράτους. . . 16

Γ'. *Ἰσοκράτους* Λόγοι

1. Ἡ πρὸς Δημόνικον παραίνεσις 50

2. Ἀποσπάσματα· α) ἐκ τοῦ Ἀρειοπαγιτικοῦ. 59

β) ἐκ τοῦ περὶ Εἰρήνης ἢ Συμμαχικοῦ. . . . 72

γ) ἐκ τοῦ Παναθηναϊκοῦ . 82

Δ'. *Ἐπικτήτου Ἐγχειρίδιον*. 89

Ε'. *Κέβητος Θηβαίου Πίναξ*. 109

Ϛ'. *Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου, ἡ πρὸς τοὺς νέους παραίνεσις* . 128

Ζ'. *Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἱεροσολύμων Ἀρχιεπισκόπου* Λόγοι Κατηχητικοὶ καὶ Μυσταγωγικοί· 145

1 — Προκατήχησις, ἤτοι Πρόλογος τῶν Κατηχήσεων. 147

2 — Κατήχησις Α'. Εἰσαγωγικὴ τοῖς τῷ βαπτίσματι προσελθοῦσι· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· «*Λούσασθε*, κτλ. 157

3 — Κατήχησις Β'. Περὶ μετανοίας καὶ ἀφέσεως ἁμαρτιῶν· ᾗ περὶ Ἀντικειμένου· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἰεζεκιήλ· «*Δικαιοσύνη δικαίου* κτλ. . 162

4 — Κατήχησις Γ'. Περὶ Βαπτίσματος· καὶ ἀνάγνωσις τῆς ἐκ πρὸς Ῥωμαίους· «*Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν* κτλ. . . . 173

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5 — Κατήχησις Δ'. Περὶ τῶν δέκα δογμάτων· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κολοσσαεῖς· « *Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν* κτλ. . . 184

6 — Κατήχησις Ε'. Περὶ Πίστεως· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἑβραίους· « *Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις*, κτλ. 204

7 — Κατήχησις ς'. Περὶ Θεοῦ μοναρχίας· καὶ εἰς τὸ « *Πιστεύω εἰς ἕνα Θεόν* » καὶ περὶ αἱρέσεων· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· « *Ἐγκαινίζεσθε πρός με νῆσοι* κτλ. . . . 213

8 — Κατήχησις Ζ'. Εἰς τὸ « *Πατέρα* »· ἡ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἐφεσίους· « *Τούτου χάριν κάμπτω τὰ γόνατά μου* κτλ. 235

9 — Κατήχησις Η'. Εἰς τὸ « *Παντοκράτορα* » καὶ ἀνάγνωσις ἐκ τοῦ Ἱερεμίου· « *Ὁ Θεὸς ὁ μέγας, καὶ ὁ ἰσχυρὸς Κύριος* κτλ. 245

10 — Κατήχησις Θ'. Εἰς τὸ « *Ποιητὴν Οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων* »· ἡ ἀνάγνωσις ἐκ τοῦ Ἰώβ· « *Τίς οὗτος ὁ κρύπτων με βουλήν*; κτλ. 249

11 — Κατήχησις Ι'. Εἰς τὸ « *Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν* » καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Α'· « *Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ*, κτλ. 258

12 — Κατήχησις ΙΑ'. Εἰς τὸ « *Τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, Θεὸν ἀληθινόν, δι' οὗ*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰ πάντα ἐγένετο»· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἑβραίους· « Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς κτλ. 274

13 — Κατήχησις ΙΒ'. Εἰς τὸ «Σαρκωθέντα καὶ ἐνανθρωπήσαντα»· ᾗ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· « Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, κτλ. 289

14 — Κατήχησις ΙΓ'. Εἰς τὸ « Σταυρωθέντα καὶ ταφέντα»· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· « Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, κτλ.. . . 311

15 — Κατήχησις ΙΔ'. Εἰς τὸ «Καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθίσαντα ἐκ δεξιῶν τοῦ Πατρός»· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Α'· «Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ Εὐαγγέλιον κτλ. 341

16 — Κατήχησις ΙΕ'. Εἰς τὸ « Καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος »· καὶ περὶ τοῦ Ἀντιχρίστου· καὶ ἀνάγνωσις ἐκ τοῦ Δανιήλ· « Ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, κτλ. 363

17 — Κατήχησις ΙΣ'. Εἰς τὸ « Καὶ εἰς ἓν ἅγιον Πνεῦμα, τὸν Παράκλητον, τὸ λαλῆσαν ἐν τοῖς Προφήταις»· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Α'· Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοὶ, κτλ. . . 387

18 — Κατήχησις ΙΖ'. Τῶν περὶ τοῦ ἁγίου Πνεύμα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ματος τὰ λοιπά· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Α΄· «Ὃ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, κτλ. . 409

19 — Κατήχησις ΙΓ΄. Εἰς τὸ «Καὶ εἰς μίαν ἁγίαν Καθολικὴν Ἐκκλησίαν· καὶ εἰς σαρκὸς ἀνάστασιν· καὶ εἰς ζωὴν αἰώνιον»· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἰεζεκιήλ· «Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, κτλ. . 435

20 — Κατήχησις ΙΘ΄. (Μυσταγωγικὴ Α΄.) Πρὸς τοὺς Νεοφωτίστους· καὶ ἀνάγνωσις ἐκ τῆς Πέτρου καθολικῆς Α΄· «Νήψατε, γρηγορήσατε, κτλ. 457

21 — Κατήχησις Κ΄. (Μυσταγωγικὴ Β΄.) Περὶ Βαπτίσματος· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ῥωμαίους· «Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, κτλ. . 462

22 — Κατήχησις ΚΑ΄. (Μυσταγωγικὴ Γ΄.) Περὶ Χρίσματος· καὶ ἀνάγνωσις ἐκ τῆς Ἰωάννου καθολικῆς Α΄· «Καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ Θεοῦ, κτλ. 465

23 — Κατήχησις ΚΒ΄. (Μυσταγωγικὴ Δ΄.) Περὶ Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Α΄· «Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν· κτλ. . . . 469

24 — Κατήχησις ΚΓ΄. (Μυσταγωγικὴ Ε΄.) Περὶ τῶν ἐν τῇ Θείᾳ ἱερουργίᾳ τελουμένων· καὶ ἑρμηνεία εἰς τὸ Πάτερ ἡμῶν· καὶ ἀνάγνωσις ἐκ τῆς Πέτρου καθολικῆς Α΄· «Διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ δόλον καὶ καταλαλιάν, κτλ. . 472

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Α'.

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ (1)

ΒΙΒΛΙΟΝ Β'. ΚΕΦΑΛΑΙΟΝ 6'.

Τὰ κατὰ τὰς Ἀθήνας μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς μάχην.

9. Λύσανδρος [μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς νίκην] δηώσας Σαλαμῖνα, ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατόν, καὶ τὰ πλοῖα εἶργε τοῦ εἰσπλου.

10. Οἱ δ' Ἀθηναῖοι, πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν, ἠπόρουν τί χρὴ ποιεῖν, οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς ὄντων, οὔτε σίτου· ἐνόμιζον δ' οὐδεμίαν εἶναι σωτηρίαν, τοῦ μὴ παθεῖν ἃ οὐ τιμωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας οὐδ' ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ ἢ ὅτι ἐκείνοις συνεμάχουν. 11. Διὰ ταῦτα τοὺς ἀτίμους ἐπιτίμους ποιήσαντες, ἐκαρτέρουν· καὶ ἀποθνησκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν, οὐ διελέγοντο περὶ διαλλαγῆς. Ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπελελοίπει, ἔπεμψαν πρέσβεις παρὰ Ἄγιν, βουλόμενοι ξύμμαχοι εἶναι Λακεδαιμονίοις ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ, καὶ ἐπὶ τούτοις ξυνθήκας ποιεῖσθαι. 12. Ὁ δὲ αὐτοὺς εἰς Λακεδαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. Ἐπεὶ δ' ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς εἰς Λακεδαίμονα. 13. Οἱ δ', ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ [πλησίον] τῆς Λακωνικῆς, καὶ ἐπύθοντο οἱ Ἔφοροι αὐτῶν ἃ ἔλεγον, ὄντα οἷά περ καὶ πρὸς Ἄγιν, αὐτόθεν αὐτοὺς

(1) Κατὰ τὴν ἐν Λειψίᾳ Β' ἔκδοσιν — Recognovit Ludovicus Dindorfius. Typis B. G. Teubneri, 1852. σελ. 40 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκέλευον ἀπιέναι, καὶ, εἴ τι δέονται εἰρήνης, κάλλιον ἥκειν βουλευσαμένους. 14. Οἱ δὲ πρέσβεις ἐπεὶ ἦκον οἴκαδε καὶ ἀπήγγειλαν ταῦτα εἰς τὴν πόλιν, ἀθυμία ἐνέπεσε πᾶσιν· ᾤοντο γὰρ ἀνδραποδισθήσεσθαι, καὶ, ἕως ἂν πέμπωσιν ἑτέρους πρέσβεις, πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι. 15. Περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως οὐδεὶς ἐβούλετο ξυμβουλεύειν· Ἀρχέστρατος γὰρ, εἰπὼν ἐν τῇ βουλῇ Λακεδαιμονίοις κράτιστον εἶναι ἐφ' οἷς προὐκαλοῦντο εἰρήνην ποιεῖσθαι, ἐδέθη· προὐκαλοῦντο δὲ, τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκατέρου· ἐγένετο δὲ ψήφισμα μὴ ἐξεῖναι περὶ τούτων ξυμβουλεύειν.

16. Τοιούτων δὲ ὄντων, Θηραμένης ἐν ἐκκλησίᾳ εἶπεν, ὅτι, εἰ βούλονται αὐτὸν πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμονίους, πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι ἀντέχουσι περὶ τῶν τειχῶν, ἢ πίστεως ἕνεκα. Πεμφθεὶς δὲ διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλεῖον, ἐπιτηρῶν, ὁπότε Ἀθηναῖοι ἔμελλον, διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα, ὅ,τι τις λέγοι ὁμολογήσειν. 17. Ἐπεὶ δ' ἦκε τετάρτῳ μηνὶ, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχοι, εἶτα κελεύοι εἰς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι κύριος, ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ, ἀλλὰ τοὺς Ἐφόρους. Μετὰ ταῦτα ἦρθη πρεσβευτὴς εἰς Λακεδαίμονα αὐτοκράτωρ δέκατος αὐτός. 18. Λύσανδρος δὲ τοῖς Ἐφόροις ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην, φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει, ἐκείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου.

19. Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι δὲ ἐπί τίνι λόγῳ ἥκοιεν, εἶπον, ὅτι αὐτοκράτορες περὶ εἰρήνης, μετὰ ταῦτα οἱ Ἔφοροι καλεῖν ἐκέλευον [αὐτούς]. Ἐπεὶ δ' ἦκον, ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. 20. Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν, μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις γενομένοις τῇ Ἑλλάδι· ἀλλ' ἐποιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας, καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας, καὶ τοὺς φυγάδας καθέντας, τὸν αὐτὸν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐχθρὸν καὶ φίλον νομίζοντας, Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν ἡγῶνται· 21. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανεφέροντο ταῦτα εἰς τὰς Ἀθήνας. Εἰσιόντας δ' αὐτοὺς ὄχλος περιεχεῖτο πολὺς, φοβούμενοι μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν διὰ τὸ πλῆθος τῶν ἀπολλυμένων τῷ λιμῷ. 22. Τῇ δ' ὑστεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις, ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης, λέγων, ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις, καὶ τὰ τείχη περιαιρεῖν. Ἀντειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ πλειόνων ξυνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. 23. Μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ, καὶ οἱ φυγάδες κατῄεσαν, καὶ τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

24. . . . .

ΚΕΦΑΛΑΙΟΝ γ'.

Διοίκησις τῶν τριάκοντα τυράννων. Θηραμένους θάνατος.

1. Τῷ δ' ἐπιόντι ἔτει . . . 2. Ἔδοξε τῷ δήμῳ, τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους ξυγγράψουσι, καθ' οὓς πολιτεύσουσι. . . . 3. Τούτων δὲ πραχθέντων, ἀπέπλει Λύσανδρος πρὸς Σάμον· Ἄγις δ' ἐκ τῆς Δεκελείας ἀπαγαγὼν τὸ πεζὸν στράτευμα, διέλυσε κατὰ πόλεις ἑκάστους. . . .

11. Οἱ δὲ τριάκοντα ᾑρέθησαν μὲν, ἐπεὶ τάχιστα τὰ μακρὰ τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη· αἱρεθέντες δὲ ἐφ' ᾧ τε ξυγγράψαι νόμους, καθ' οὕστινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον ξυγγράφειν τε καὶ ἀποδεικνύναι, βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς κατέστησαν, ὡς ἐδόκει αὐτοῖς. 12. Ἔπειτα πρῶτον μὲν, οὓς πάντες ἥδεσαν ἐν τῇ δημοκρατίᾳ ἀπὸ συκοφαντίας ζῶντας, καὶ τοῖς καλοῖς καὶ ἀγαθοῖς βαρεῖς ὄντας, συλλαμβάνοντες ὑπῆγον θανάτου· καὶ ἥτε βουλὴ ἡδέως αὐτῶν κατεψηφίζετο, οἵ τε ἄλλοι, ὅσοι ξυνῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι, οὐδὲν ἤχθοντο. 13. Ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι, ὅπως ἂν ἐξεῖη αὐτοῖς τῇ πόλει χρῆσθαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον μὲν, πέμψαντες εἰς Λακεδαίμονα Αἰσχίνην τε καὶ Ἀριστοτέλην, ἔπεισαν Λύσανδρον, φρουροὺς σφίσι ξυμπράξαι ἐλθεῖν, ἕως δὴ, τοὺς πονηροὺς ἐκποδὼν ποιησάμενοι, καταστήσαιντο τὴν πολιτείαν· θρέψειν δὲ αὐτοὶ ὑπισχνοῦντο. **14.** Ὁ δὲ πεισθεὶς, τούς τε φρουροὺς καὶ Καλλίβιον ἁρμοστὴν ξυνέπραξεν αὐτοῖς πεμφθῆναι. Οἱ δ' ἐπεὶ τὴν φρουρὰν ἔλαβον, τὸν μὲν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ, ὡς πάντα ἐπαινοίη ἃ πράττοιεν· τῶν δὲ φρουρῶν τούτου ξυμπέμποντος αὐτοῖς, οὓς ἐβούλοντο ξυνελάμβανον, οὐκέτι τοὺς πονηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ' ἤδη οὓς ἐνόμιζον ἥκιστα μὲν παρωθουμένους ἀνέχεσθαι, ἀντιπράττειν δέ τι ἐπιχειροῦντας πλείστους ἂν τοὺς ξυνεθέλοντας λαμβάνειν.

15. Τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε καὶ φίλος ἦν. Ἐπεὶ δὲ αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτείνειν, ἅτε καὶ φυγὼν ὑπὸ τοῦ δήμου, ὁ δὲ Θηραμένης ἀντέκοπτε, λέγων, ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν, εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς καὶ ἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο· ἐπεὶ καὶ ἐγὼ, ἔφη, καὶ σὺ πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει καὶ εἴπομεν καὶ ἐπράξαμεν. **16.** Ὁ δὲ, ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ Θηραμένει, ἀντέλεγεν, ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλομένοις, μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακωλύειν· εἰ δὲ, ὅτι τριάκοντά ἐσμεν καὶ οὐχ εἷς, ἧττόν τι οἴει, ὥσπερ τυραννίδος, ταύτης τῆς ἀρχῆς χρῆναι ἐπιμελεῖσθαι, εὐήθης εἶ. **17.** Ἐπεὶ δὲ, ἀποθνησκόντων πολλῶν, καὶ ἀδίκως, πολλοὶ δῆλοι ἦσαν ξυνιστάμενοί τε καὶ θαυμάζοντες, τί ἔσοιτο ἡ πολιτεία, πάλιν ἔλεγεν ὁ Θηραμένης, ὅτι, εἰ μή τις κοινωνοὺς ἱκανοὺς λήψοιτο τῶν πραγμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμένειν. **18.** Ἐκ τούτου μέντοι Κριτίας καὶ οἱ ἄλλοι [οἱ ἐκ τῶν] τριάκοντα, ἤδη φοβούμενοι, καὶ οὐχ ἥκιστα τὸν Θηραμένην, μὴ συβρύσειαν πρὸς αὐτὸν οἱ πολῖται, καταλέγουσι τρισχιλίους τοὺς μεθέξοντας δὴ τῶν πραγμάτων. **19.** Ὁ δ' αὖ Θηραμένης καὶ πρὸς ταῦτα ἔλεγεν, ὅτι ἄτοπον δοκοίη ἑαυτῷ γε εἶναι, τὸ πρῶτον μὲν, βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν, κοινωνοὺς ποιήσασθαι τρισχιλίους, ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγκην καλοὺς καὶ ἀγαθοὺς εἶ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ναι, καὶ οὔτ' ἔξω τούτων σπουδαίους, οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἶη γενέσθαι· ἔπειτα δ', ἔφη, ὁρῶ ἔγωγε δύο ἡμᾶς τὰ ἐναντιώτατα πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα τῶν ἀρχομένων κατασκευαζομένους.

20. Ὁ μὲν ταῦτ' ἔλεγεν. Οἱ δ' ἐξέτασιν ποιήσαντες τῶν μὲν τρισχιλίων ἐν τῇ ἀγορᾷ, τῶν δ' ἔξω τοῦ καταλόγου ἄλλων ἀλλαχοῦ, ἔπειτα κελεύσαντες ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπεληλύθεσαν, πέμψαντες τοὺς φρουροὺς καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὑτοῖς, τὰ ὅπλα πάντων, πλὴν τῶν τρισχιλίων, παρείλοντο· καὶ ἀνακομίσαντες ταῦτα εἰς τὴν ἀκρόπολιν, ξυνέθηκαν ἐν τῷ ναῷ. 21. Τούτων δὲ γενομένων, ὡς ἐξὸν ἤδη ποιεῖν αὐτοῖς ὅ,τι βούλοιντο, πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. Ἔδοξε δ' αὐτοῖς, ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι. 22. Ἐκέλευον δὲ καὶ τὸν Θηραμένην λαβεῖν, ὅντινα βούλοιτο. Ὁ δ' ἀπεκρίνατο· Ἀλλ' οὐ δοκεῖ μοι, ἔφη, καλὸν εἶναι, φάσκοντας βελτίστους εἶναι, ἀδικώτερα τῶν συκοφαντῶν ποιεῖν. Ἐκεῖνοι μὲν γὰρ, παρ' ὧν χρήματα λαμβάνοιεν, ζῆν εἴων· ἡμεῖς δὲ ἀποκτενοῦμεν μηδὲν ἀδικοῦντας, ἵνα χρήματα λαμβάνωμεν; πῶς οὐ ταῦτα τῶν παντὶ ἐκείνων ἀδικώτερα; 23. Οἱ δ', ἐμποδὼν νομίζοντες αὐτὸν εἶναι τῷ ποιεῖν ὅ,τι βούλοιντο, ἐπιβουλεύουσιν αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον, ὡς λυμαινόμενον τὴν πολιτείαν. Καὶ παραγγείλαντες τοῖς νεανίσκοις, οἳ ἐδόκουν αὐτοῖς θρασύτατοι εἶναι, ξιφίδια ὑπὸ μάλης ἔχοντας παραγενέσθαι, ξυνέλεξαν τὴν βουλήν. Ἐπεὶ δὲ ὁ Θηραμένης παῆν, ἀναστὰς ὁ Κριτίας . . . . ὑπήγαγεν αὐτὸν ὡς ἐχθρὸν τῇ ὀλιγαρχίᾳ, καὶ, διὰ τὸ εὐμετάβολον εἶναι, πολλῶν κακῶν τῇ πόλει αἴτιον γεγενημένον. 33. Καὶ πολλὰ ἄλλα λέξας . . . , « Ἡμεῖς οὖν, ἔφη, τοῦτον ὑπάγομεν καὶ ὡς ἐπιβουλεύοντα, καὶ ὡς προδιδόντα ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοήσατε. 34. Καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία εἶναι ἡ Λακεδαιμονίων· εἰ δὲ ἐκείνῃ ἐπιχειρήσειέ τις τῶν Ἐφόρων, ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι, ψέγειν τε τὴν ἀρχὴν καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐκ ἂν οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν Ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας ἀξιωθῆναι; Καὶ ὑμεῖς οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου ἀλλ' ὑμῶν αὐτῶν φείσεσθε· ὡς οὗτος, σωθεὶς μὲν, πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναντία γιγνωσκόντων ὑμῖν· ἀπολόμενος δὲ, πάντων, καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω, ὑποτέμοι ἂν τὰς ἐλπίδας. »

35. Ὁ μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο. Ὡς δὲ Θηραμένης ἀναστὰς ἀντέλεξε πρὸς ταῦτα . . . 50. καὶ ἡ βουλὴ δῆλη ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας, ὅτι, εἰ ἐπιτρέψοι τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγησάμενος, προσελθὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα, ἐξῆλθε, καὶ ἐπιστῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις. 51. Πάλιν δ' εἰσελθὼν, εἶπεν· Ἐγὼ, ὦ βουλὴ, νομίζω προστάτου ἔργον εἶναι οἵου δεῖ, ὃς ἂν, ὁρῶν τοὺς φίλους ἐξαπατωμένους, μὴ ἐπιτρέπῃ. Καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. Καὶ γὰρ οἵδε οἱ ἐρεστηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν ἄνδρα, τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον. Ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις, τῶν μὲν ἐν τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέρας ψήφου· τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς τριάκοντα θανατοῦν. Ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, ξυνδοκοῦν ἅπασιν ὑμῖν. Καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν.

52. Ἀκούσας ταῦτα ὁ Θηραμένης, ἀνεπήδησεν ἐπὶ τὴν Ἑστίαν, καὶ εἶπεν· « Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμὲ, μήτε ὑμῶν ὃν ἂν βούληται, ἀλλ' ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. 53. Καὶ τοῦτο μὲν, ἔφη, μὰ τοὺς θεούς, οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὧδε ὁ βωμός· ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ περὶ θεοὺς ἀσεβέστατοι. Ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες καλοὶ κἀγαθοὶ, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς, καὶ ταῦτα γιγνώσκοντες, ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξαλειπτότερον, ἢ τὸ ὑμῶν ἑκάστου. »

54. Ἐκ δὲ τούτου ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κήρυξ τοὺς ἕν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δεκα ἐπὶ τὸν Θηραμένην· ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου, τοῦ θρασυτάτου τε καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας· Παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένην τουτονὶ κατακεκριμένον κατὰ τὸν νόμον· ὑμεῖς δὲ λαβόντες καὶ ἀπαγαγόντες, οἱ ἕνδεκα, οἷ δεῖ, τὰ ἐκ τούτων πράττετε. 55. Ὡς δὲ ταῦτα εἶπεν, εἶλκε μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἶλκον δὲ οἱ ὑπηρέται. Ὁ δὲ Θηραμένης, ὥσπερ εἰκός, καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους, καθορᾶν τὰ γιγνόμενα. Ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν, ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ, καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν ῥοπλοφόρων, καὶ οὐκ ἀγνοοῦντες, ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν. 56. Οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς, μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα, οἷα ἔπασχε. Λέγεται δ' ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ· ὡς εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν, ἐπήρετο· Ἂν δὲ σιωπῶ, οὐκ ἄρ', ἔφη, οἰμώξομαι; Καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν· Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ. Καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα· ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαστὸν, τὸ τοῦ θανάτου παρεστηκότος, μήτε τὸ φρόνιμον μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς.

ΚΕΦΑΛΑΙΟΝ δ'.

Ἐπιχειρήματα τῶν φυγάδων. Ἐλευθέρωσις τῶν Ἀθηνῶν. Διακήρυξις τῆς ἀμνηστίας.

1. Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ τριάκοντα, ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου μὴ εἰσιέναι ἐς τὸ ἄστυ, ἦγον δὲ ἐκ τῶν χωρίων, ἵν' αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. Φευγόντων δὲ εἰς τὸν Πειραιᾶ, καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες ἐνέπλησαν καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

2. Ἐκ δὲ τούτου Θρασύβουλος, ὁρμηθεὶς ἐκ Θηβῶν ὡς σὺν ἑβδομήκοντα, Φυλὴν χωρίον καταλαμβάνει ἰσχυρόν. Οἱ δὲ τριάκον-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τα ἐβοήθουν ἐκ τοῦ ἄστεος σύν τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι, καὶ μάλ' εὐημερίας οὔσης. Ἐπεὶ δὲ ἀρίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον, καὶ ἐποίησαν μὲν οὐδέν, τραύματα δὲ λαβόντες ἀπῆλθον. 3. Βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως ἐκπολιορκήσειαν αὐτοὺς, ἀποκλείσαντες τὰς ἐρόδους τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθὴς καὶ τῇ ὑστεραίᾳ. Οἱ δὲ νιφόμενοι ἀπῆλθον ἐς τὸ ἄστυ, μάλα συχνοὺς τῶν σκευοφόρων ὑπὸ τῶν ἐκ Φυλῆς ἀποβαλόντες. 4. Γιγνώσκοντες δὲ, ὅτι καὶ ἐκ τῶν ἀγρῶν λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν εἰς τὰς ἐσχατιὰς, ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς, τούς τε Λακωνικοὺς πλὴν ὀλίγων ὁρουρούς, καὶ τῶν ἱππέων δύο φυλάς. Οὗτοι δὲ στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ, ἐφύλαττον. 5. Ὁ δὲ Θρασύβουλος, ἤδη συνειλεγμένων εἰς τὴν Φυλὴν περὶ ἑπτακοσίους, λαβὼν αὐτοὺς, καταβαίνει τῆς νυκτός· θέμενος δὲ τὰ ὅπλα ὅσον τρία ἢ τέτταρα στάδια ἀπὸ τῶν ὁρουρῶν, ἡσυχίαν εἶχεν. 6. Ἐπεὶ δὲ πρὸς ἡμέραν ἐγίγνετο, καὶ ἤδη ἀνίσταντο, ὅποι ἐδεῖτο ἕκαστος, ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπποκόμοι ψήχοντες τοὺς ἵππους ψόφον ἐποίουν, ἐν τούτῳ ἀναλαβόντες οἱ περὶ Θρασύβουλον τὰ ὅπλα, δρόμῳ προσέπιπτον· καὶ ἔστι μὲν οὓς αὐτῶν κατέβαλον, πάντας δὲ τρεψάμενοι ἐδίωξαν ἕξ ἢ ἑπτὰ στάδια· καὶ ἀπέκτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατὸν, τῶν δὲ ἱππέων Νικόστρατόν τε, τὸν καλὸν ἐπικαλούμενον, καὶ ἄλλους δὲ δύο, ἔτι καταλαβόντες ἐν ταῖς εὐναῖς. 7. Ἐπαναχωρήσαντες δὲ καὶ τρόπαιον στησάμενοι καὶ συσκευασάμενοι ὅπλα τε ὅσα ἔλαβον καὶ σκεύη, ἀπῆλθον ἐπὶ Φυλῆς. Οἱ δὲ ἐξ ἄστεος ἱππεῖς βοηθήσαντες, τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον· προσμείναντες δὲ, ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προσήκοντες, ἀνεχώρησαν εἰς ἄστυ. 8. Ἐκ δὲ τούτου οἱ τριάκοντα, οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγὴν, εἰ δεήσειε. Καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν, ἦλθον εἰς Ἐλευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα· ἐξέτασίν τε ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες, εἰδέναι βούλεσθαι, πόσοι εἶεν καὶ πόσης φυλακῆς προσδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας· τὸν δ' ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν θάλατταν ἐξιέναι. Ἐπὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ ἔνθεν κατέστησαν, τὸν δ' ἐξιόντα ἀεὶ οἱ ὑπηρέται ξυνέδουν. Ἐπεὶ δὲ πάντες ξυνειλημμένοι ἦσαν, Λυσίμαχον τὸν ἵππαρχον ἐκέλευον ἀναγαγόντα παραδοῦναι αὐτοὺς τοῖς ἔνδεκα. **9.** Τῇ δ' ὑστεραίᾳ εἰς τὸ Ὠδεῖον παρεκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλλους ἱππέας. Ἀναστὰς δὲ Κριτίας ἔλεξεν· Ἡμεῖς, ἔφη, ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν, ἢ ἡμῖν αὐτοῖς. Δεῖ οὖν ὑμᾶς, ὥσπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. Τῶν οὖν ξυνειλημμένων Ἐλευσινίων καταψηφιστέον ἐστίν, ἵνα ταὐτὰ ἡμῖν καὶ θαῤῥῆτε καὶ φοβῆσθε. Δείξας δέ τι χωρίον, εἰς τοῦτο ἐκέλευσε φανερὰν φέρειν τὴν ψῆφον. **10.** Οἱ δὲ Λακωνικοὶ ὁρυφοροὶ ἐν τῷ ἡμίσει τοῦ Ὠδείου ἐξωπλισμένοι ἦσαν· ἦν δὲ ταῦτα ἀρεστὰ καὶ τῶν πολιτῶν ὅσοις τὸ πλεονεκτεῖν μόνον ἔμελεν.

Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς, περὶ χιλίους ἤδη ξυνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς εἰς τὸν Πειραιᾶ. Οἱ δὲ τριάκοντα, ἐπεὶ ᾔσθοντο ταῦτα, ἐβοήθουν εὐθὺς ξύν τε τοῖς Λακωνικοῖς, καὶ ξὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κατὰ τὴν εἰς τὸν Πειραιᾶ ἀμαξιτὸν ἀναφέρουσαν. **11.** Οἱ δὲ ἀπὸ Φυλῆς ἔτι μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς· ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι, οὔπω πολλοῖς οὖσι, ξυνεσπειράθησαν ἐπὶ τὴν Μουνυχίαν. Οἱ δ' ἐκ τοῦ ἄστεος εἰς τὴν Ἱπποδάμειαν ἀγορὰν ἐλθόντες, πρῶτον μὲν ξυνετάξαντο, ὥστε ἐμπλῆσαι τὴν ὁδὸν, ἣ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυχίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον, ἢ ἐπὶ πεντήκοντα ἀσπίδων. Οὕτω δὲ ξυντεταγμένοι ἐχώρουν ἄνω. **12.** Οἱ δὲ ἀπὸ Φυλῆς ἀντανέπλησαν μὲν τὴν ὁδὸν, βάθος δὲ οὐ πλέον ἢ εἰς δέκα ὁπλίτας ἐγένοντο. Ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταὶ, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. Οὗτοι μέντοι συχνοὶ ἦσαν· καὶ γὰρ αὐτόθεν προσεγένοντο. Ἐν ᾧ δὲ προσήεσαν οἱ ἐναντίοι, Θρασύβουλος τοὺς μετ' αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας, καὶ αὐτὸς θέμενος, τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέσον στὰς, ἔλεξεν·

13. « Ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς δὲ ἀναμνῆσαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑμῶν βούλομαι, ὅτι εἰσὶ τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑμεῖς ἡμέραν πέμπτην τρεψάμενοι ἐδιώξατε· οἱ δ' ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὴ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν οὐδὲν ἀδικοῦντας, καὶ οἰκιῶν ἐξήλαυνον, καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο. Ἀλλὰ νῦν τοι παραγεγένηνται οὗ οὗτοι μὲν οὔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ εὐχόμεθα. **14.** Ἔχοντες γὰρ ὅπλα ἐναντίοι μὲν αὐτοῖς καθέσταμεν· οἱ δὲ θεοί, ὅτι ποτὲ καὶ δειπνοῦντες ξυνελαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες, οἱ δὲ καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιδημοῦντες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν ξυμμαχοῦσι. Καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ· καὶ ὅταν ἐγχειρῶμεν, πολλῶν ὄντων ἐναντίων, ὀλίγοις οὖσι τρόπαια ἵστασθαι διδόασι. **15.** Καὶ νῦν δὲ κεκομίκασιν ἡμᾶς εἰς χωρίον, ἐν ᾧ οὗτοι μὲν οὔτε βάλλειν οὔτε ἀκοντίζειν ὑπὲρ τῶν προτεταγμένων, διὰ τὸ πρὸς ὄρθιον ἰέναι, δύναιντ' ἄν· ἡμεῖς δὲ, εἰς τὸ κάταντες καὶ δόρατα ἀφιέντες καὶ ἀκόντια καὶ πέτρους, ἐξιζόμεθά τε αὐτῶν, καὶ πολλοὺς κατατρώσομεν. **16.** Καὶ ᾤετο μὲν ἄν τις δεήσειν τοῖς γε πρωτοστάταις ἐκ τοῦ ἴσου μάχεσθαι· νῦν δὲ, ἂν ὑμεῖς, ὥσπερ προσήκει, προθύμως ἀφιῆτε τὰ βέλη, ἁμαρτήσεται μὲν οὐδεὶς ὧν γε μεστὴ ἡ ὁδὸς, φυλαττόμενοι δὲ δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν· ὥστε ἐξέσται ὥσπερ τυφλοὺς καὶ τύπτειν, ὅπου ἂν βουλώμεθα, καὶ ἐναλλομένους ἀνατρέπειν. **17.** Ἀλλ', ὦ ἄνδρες, οὕτω χρὴ ποιεῖν, ὅπως ἕκαστός τις ἑαυτῷ ξυνείσεται τῆς νίκης αἰτιώτατος ὤν. Αὕτη γὰρ ἡμῖν, ἂν θεὸς θέλῃ, νῦν ἀποδώσει καὶ πατρίδα καὶ οἴκους καὶ ἐλευθερίαν καὶ τιμὰς καὶ παῖδας, οἷς εἰσι, καὶ γυναῖκας. Ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. Εὐδαίμων δὲ καὶ ἄν τις ἀποθάνῃ· μνημείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξεται. Ἐξάρξω μὲν οὖν ἐγὼ, ἡνίκ' ἂν καιρὸς ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον παρακαλέσωμεν, τότε πάντες ὁμοθυμαδὸν, ἀνθ' ὧν ὑβρίσθημεν, τιμωρώμεθα τοὺς ἄνδρας.»

18. Ταῦτα δ' εἰπὼν, καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναντίους, ἡσυχίαν εἶχε· καὶ γὰρ ὁ μάντις παρήγγειλεν αὐτοῖς, μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν τῶν σφετέρων ἢ πέσοι τις, ἢ τρωθείη· ἐπειδὰν μέντοι τοῦτο γένηται, ἡγησόμεθα μὲν, ἔφη, ἡμεῖς· νίκη δ' ἡμῖν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔσται ἑπομένοις, ἐμοὶ μέντοι θάνατος, ὥς γέ μοι δοκεῖ. 19. Καὶ οὐκ ἐψεύσατο, ἀλλ' ἐπεὶ ἀνέλαβον τὰ ὅπλα, αὐτὸς μὲν, ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος, ἐκπηδήσας πρῶτος, ἐμπεσὼν τοῖς πολεμίοις ἀποθνήσκει, καὶ τέθαπται ἐν τῇ διαβάσει τοῦ Κηφισοῦ· οἱ δ' ἄλλοι ἐνίκων, καὶ κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ. Ἀπέθανον δ' ἐνταῦθα τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος, τῶν δ' ἐν Πειραιεῖ δέκα ἀρχόντων Χαρμίδης ὁ Γλαύκωνος, τῶν δ' ἄλλων περὶ ἑβδομήκοντα. Καὶ τὰ μὲν ὅπλα ἔλαβον, τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν. Ἐπεὶ δὲ τοῦτο ἐγένετο, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν, προσιόντες ἀλλήλοις πολλοὶ διελέγοντο. 20. Κλεόκριτος δὲ, ὁ τῶν μυστῶν κήρυξ, μάλ' εὔφωνος ὤν, κατασιωπησάμενος ἔλεξεν· « Ἄνδρες πολῖται, τί ἡμᾶς ἐξελαύνετε; τί ἀποκτεῖναι βούλεσθε; ἡμεῖς γὰρ ὑμᾶς κακὸν μὲν οὐδὲν πώποτε ἐποιήσαμεν, μετεσχήκαμεν δὲ ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων, καὶ θυσιῶν, καὶ ἑορτῶν τῶν καλλίστων, καὶ ξυγχορευταὶ καὶ ξυμφοιτηταὶ γεγενήμεθα καὶ ξυστρατιῶται, καὶ πολλὰ μεθ' ὑμῶν κεκινδυνεύκαμεν κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπὲρ τῆς κοινῆς ἀμφοτέρων ἡμῶν σωτηρίας τε καὶ ἐλευθερίας. 21. Πρὸς θεῶν πατρῴων καὶ μητρῴων, καὶ ξυγγενείας, καὶ κηδεστίας, καὶ ἑταιρίας, πάντων γὰρ τούτων πολλοὶ κοινωνοῦμεν ἀλλήλοις, αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους παύσασθε ἁμαρτάνοντες εἰς τὴν πατρίδα, καὶ μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μησὶν, ἢ πάντες Πελοποννήσιοι δέκα ἔτη πολεμοῦντες. 22. Ἐξὸν δ' ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι, οὗτοι τῶν πάντων αἴσχιστόν τε καὶ χαλεπώτατον καὶ ἀνοσιώτατον καὶ ἔχθιστον καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον ἡμῖν πρὸς ἀλλήλους παρέχουσιν. Ἀλλ' εὖ γε μέντοι ἐπίστασθε, ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν ἀποθανόντων οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ ἡμεῖς ἔστιν οὓς πολλὰ κατεδακρύσαμεν.

Ὁ μὲν τοιαῦτα ἔλεγεν. Οἱ δὲ λοιποὶ ἄρχοντες, καὶ διὰ τὸ τοιαῦτα προσακούειν, τοὺς μεθ' ἑαυτῶν ἀπήγαγον εἰς τὸ ἄστυ. 23. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν τριάκοντα πάνυ δὴ ταπεινοὶ καὶ ἔρημοι ξυνεκάθηντο ἐν τῷ ξυνεδρίῳ· τῶν δὲ τρισχιλίων ὅπου ἕκαστοι τεταγμένοι ἦσαν, πανταχοῦ διεφέροντο πρὸς ἀλλήλους. Ὅσοι μὲν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ ἐπεποιήκεσάν τι βιαιότερον καὶ ἐφοβοῦντο, ἐντόνως ἔλεγον, ὡς οὐ χρὴ καθυρίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο, καὶ τοὺς ἄλλους ἐδίδασκον, ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι, οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. Καὶ τὸ τελευταῖον ἐψηφίσαντο, ἐκείνους μὲν καταπαῦσαι, ἄλλους δὲ ἑλέσθαι. Καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς.

24. Καὶ οἱ μὲν τριάκοντα Ἐλευσῖνά δε ἀπῆλθον· οἱ δὲ δέκα τῶν ἐν ἄστει, καὶ μάλα τεταραγμένων καὶ ἀπιστούντων ἀλλήλοις, ξὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. Ἐξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ὠδείῳ, τούς τε ἵππους καὶ τὰς ἀσπίδας ἔχοντες, καὶ δι' ἀπιστίαν ἐρώδευον τὸ μὲν ἀφ' ἑσπέρας ξὺν ταῖς ἀσπίσι κατὰ τὰ τείχη, τὸ δὲ πρὸς ὄρθρον ξὺν τοῖς ἵπποις, ἀεὶ φοβούμενοι, μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν ἐκ τοῦ Πειραιῶς. 25. Οἱ δὲ, πολλοί τε ἤδη ὄντες καὶ παντοδαποὶ, ὅπλα ἐποιοῦντο, οἱ μὲν ξύλινα, οἱ δὲ οἰσύϊνα, καὶ ταῦτα ἐλευκοῦντο. Πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες, οἵτινες ξυμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν ἔσεσθαι, ἐξήεσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆτες· ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡσεὶ ἑβδομήκοντα· προνομὰς δὲ ποιούμενοι, καὶ λαμβάνοντες ξύλα καὶ ὀπώραν, ἐκάθευδον πάλιν ἐν Πειραιεῖ. 26. Τῶν δ' ἐκ τοῦ ἄστεος ἄλλος μὲν οὐδεὶς ξὺν ὅπλοις ἐξήει, οἱ δὲ ἱππεῖς ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο τῶν ἐκ τοῦ Πειραιῶς, καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. Περιέτυχον δὲ καὶ τῶν Αἰζωνέων τισὶν, εἰς τοὺς αὐτῶν ἀγροὺς ἐπὶ τὰ ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵππαρχος ἀπέσφαξε, πολλὰ λιτανεύοντας, καὶ πολλῶν χαλεπῶς φερόντων ἱππέων. 27. Ἀνταπέκτειναν δὲ καὶ οἱ ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ' ἀγροῦ λαβόντες Καλλίστρατον, φυλῆς Λεοντίδος. Καὶ γὰρ ἤδη μέγα ἐφρόνουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεος προσέβαλον. Εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ μηχανοποιοῦ, τοῦ ἐν τῷ ἄστει, ὃς, ἐπεὶ ἔγνω, ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἀμαξιαίους λίθους ἄγειν, καὶ καταβάλλειν, ὅπου ἕκαστος βούλοιτο τοῦ δρόμου. Ὡς δὲ τοῦτο ἐγένετο, πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα παρεῖχε.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

28. Πεμπόντων δὲ πρέσβεις εἰς Λακεδαίμονα, τῶν μὲν τριάκοντα ἐξ Ἐλευσῖνος, τῶν δ' ἐν τῷ καταλόγῳ ἐξ ἄστεος, καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεστηκότος τοῦ δήμου ἀπὸ Λακεδαιμονίων, Λύσανδρος, λογισάμενος, ὅτι οἷόν τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, ξυνέπραξεν, ἑκατόν τε τάλαντα αὐτοῖς δανεισθῆναι, καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστὴν, Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. 29. Καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευσῖνά δε, ξυνελέγετο ὁπλίτας πολλοὺς Πελοποννησίων· ὁ δὲ ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν, ὅπως μηδὲν εἰσπλέοι αὐτοῖς τῶν ἐπιτηδείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ' ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ. Οὕτω δὲ προχωρούντων, Παυσανίας ὁ βασιλεὺς, φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσοιτο τὰς Ἀθήνας, πείσας τῶν Ἐφόρων τρεῖς, ἐξάγει ῥοπήν. 30. Ξυνείποντο δὲ καὶ οἱ ξύμμαχοι πάντες, πλὴν Βοιωτῶν καὶ Κορινθίων. Οὗτοι δὲ ἔλεγον μὲν, ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι ἐπ' Ἀθηναίους, μηδὲν παράσπονδον ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ πιστὴν ποιήσασθαι.

Ὁ δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ Ἁλιπέδῳ καλουμένῳ πρὸς τῷ Πειραιεῖ, δεξιὸν ἔχων κέρας, Λύσανδρος δὲ ξὺν τοῖς μισθοφόροις τὸ εὐώνυμον. 31. Πέμπων δὲ πρέσβεις ὁ Παυσανίας πρὸς τοὺς ἐν Πειραιεῖ, ἐκέλευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν· ἐπεὶ δ' οὐκ ἐπείθοντο, προσέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν, ὅπως μὴ δῆλος εἴη εὐμενὴς αὐτοῖς ὤν. Ἐπεὶ δ' οὐδὲν ἀπὸ τῆς προσβολῆς πράξας ἀπῆλθε, τῇ ὑστεραίᾳ, λαβὼν τῶν μὲν Λακεδαιμονίων δύω μόρας, τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς φυλὰς, παρῆλθεν ἐπὶ τὸν Κωφὸν λιμένα, σκοπῶν, ᾗ εὐαποτειχιστότατος εἴη ὁ Πειραιεύς. 32. Ἐπεὶ δὲ ἀπιόντος αὐτοῦ προσέθεόν τινες, καὶ πράγματα αὐτῷ παρεῖχον, ἀχθεσθεὶς παρήγγειλε, τοὺς μὲν ἱππέας ἐλᾶν εἰς αὐτοὺς ἐνέντας, καὶ [τοὺς] τὰ δέκα ἀφ' ἥβης ξυνέπεσθαι· ξὺν δὲ τοῖς ἄλλοις αὐτὸς ἐπηκολούθει. Καὶ ἀπέκτειναν μὲν ἐγγὺς τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους κατεδίωξαν πρὸς τὸ Πειραιοῖ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θέατρον. 33. Ἐκεῖ δὲ ἔτυχον ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ πάντες, καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς. Καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι ἀνεχώρουν ἐπὶ πόδα· οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. Ἐνταῦθα δὲ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω, καὶ Λακράτης ὁ Ὀλυμπιονίκης, καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμονίων πρὸ τῶν πυλῶν ἐν Κεραμεικῷ. 34. Ὁρῶν δὲ ταῦτα ὁ Θρασύβουλος καὶ οἱ ἄλλοι ὁπλῖται, ἐβοήθουν, καὶ ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων ἐπ' ὀκτώ. Ὁ δὲ Παυσανίας, μάλα πιεσθείς, καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινά, παρήγγειλε τοῖς Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. Ἐκεῖ δὲ ξυνταξάμενος παντελῶς βαθεῖαν τὴν φάλαγγα, ἦγεν ἐπὶ τοὺς Ἀθηναίους. Οἱ δ' εἰς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν εἰς τὸν ἐν ταῖς Ἁλαῖς πηλόν, οἱ δὲ ἐνέκλιναν. Καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα καὶ ἑκατόν.

35. Ὁ δὲ Παυσανίας τρόπαιον στησάμενος ἀνεχώρησε· καὶ οὐδ' ὡς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρα πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ, οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας Ἐφόρους· οἱ δ' ἐπείθοντο. Διΐστη δὲ καὶ τοὺς ἐν τῷ ἄστει, καὶ ἐκέλευε, πρὸς σφᾶς προσιέναι ὡς πλείστους ξυλλεγομένους, λέγοντας, ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ, διαλυθέντες κοινῇ ἀμφότεροι Λακεδαιμονίοις φίλοι εἶναι. 36. Ἡδέως δὲ ταῦτα καὶ Ναυκλείδας Ἔφορος ὢν ξυνήκουεν· ὥσπερ γὰρ νομίζεται ξὺν βασιλεῖ δύο τῶν Ἐφόρων ξυστρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες μᾶλλον, ἢ τῆς μετὰ Αυσάνδρου· διὰ ταῦτα οὖν καὶ εἰς τὴν Λακεδαίμονα προθύμως ἔπεμπον τούς τ' ἐκ τοῦ Πειραιῶς ἔχοντας τὰς πρὸς Λακεδαιμονίους σπονδάς, καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ ἄστει ἰδιώτας, Κηφισοφῶντά τε καὶ Μέλητον. 37. Ἐπεὶ μέντοι οὗτοι ᾤχοντο εἰς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄστεος λέγοντας, ὅτι αὐτοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη, ἃ ἔχουσι, καὶ σφᾶς αὐτοὺς Λακε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δαιμονίοις χρῆσθαι ὅ,τι βούλονται· ἀξιοῦν δ' ἔφασαν, καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμονίοις, παραδιδόναι τόν τε Πειραιᾶ καὶ τὴν Μουνυχίαν. 38. Ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ Ἔφοροι καὶ οἱ ἔκκλητοι, ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας εἰς τὰς Ἀθήνας, καὶ ἐπέταξαν ξὺν Παυσανίᾳ διαλλάξαι, ὅπῃ δύναιντο κάλλιστα. Οἱ δὲ διήλλαξαν, ἐφ' ᾧ τε εἰρήνην μὲν ἔχειν ὡς πρὸς ἀλλήλους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἕκαστον, πλὴν τῶν τριάκοντα, καὶ τῶν ἕνδεκα, καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. Εἴ δέ τινες φοβοῖντο τῶν ἐξ ἄστεος, ἔδοξεν αὐτοῖς Ἐλευσῖνα κατοικεῖν.

39. Τούτων δὲ περανθέντων, Παυσανίας μὲν διῆκε τὸ στράτευμα· οἱ δὲ ἐκ τοῦ Πειραιῶς, ἀνελθόντες ξὺν τοῖς ὅπλοις εἰς τὴν ἀκρόπολιν, ἔθυσαν τῇ Ἀθηνᾷ. Ἐπεὶ δὲ κατέβησαν οἱ στρατηγοί, ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν· 40· « Ὑμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄστεος ἄνδρες, ξυμβουλεύω ἐγὼ, γνῶναι ὑμᾶς αὐτούς. Μάλιστα δ' ἂν γνοίητε, εἰ ἀναλογίσαισθε, ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐστὶν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. Πότερον δικαιότεροί ἐστε; Ἀλλ' ὁ μὲν δῆμος πενέστερος ὑμῶν ὢν, οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκηκεν· ὑμεῖς δὲ, πλουσιώτεροι πάντων ὄντες, πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιήκατε. Ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέψασθε, εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα φρονητέον. 41. Καὶ τίς ἂν καλλίων κρίσις τούτου γένοιτο, ἢ ὡς ἐπολεμήσαμεν πρὸς ἀλλήλους; Ἀλλὰ γνώμῃ φαίητ' ἂν προέχειν, οἳ, ἔχοντες καὶ τεῖχος καὶ ὅπλα καὶ χρήματα καὶ ξυμμάχους Πελοποννησίους, ὑπὸ τῶν οὐδὲν τούτων ἐχόντων παρελύθητε; Ἀλλ' ἐπὶ Λακεδαιμονίοις δὴ οἴεσθε μέγα φρονητέον εἶναι; πῶς; οἵ γε, ὥσπερ [οἱ] τοὺς δάκνοντας κύνας κλοιῷ δήσαντες παραδιδόασιν, οὕτω κἀκεῖνοι ὑμᾶς παραδόντες τῷ ἠδικημένῳ τούτῳ δήμῳ, οἴχονται ἀπιόντες; 42. Οὐ μέντοι γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγὼ, ὧν ἁμαρτάνετε, παραβῆναι οὐδὲν, ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι καὶ εὔορκοι καὶ ὅσιοί ἐστε. »

Εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα, καὶ ὅτι οὐδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέστησε τὴν ἐκκλησίαν. 43. Καὶ τότε μὲν ἀρχὰς καταστησάμενοι ἐπολιτεύοντο· ὑστέρῳ δὲ χρόνῳ ἀκούσαντες, ξένους μισθοῦσθαι τοὺς [ἐν] Ἐλευσῖνι,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στρατευσάμενοι πανδημεὶ ἐπ' αὐτοὺς, τοὺς μὲν στρατηγοὺς αὐτῶν εἰς λόγους ἐλθόντας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις εἰσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους, ἔπεισαν ξυναλλαγῆναι· καὶ ὁμόσαντες ὅρκους, ἢ μὴν μὴ μνησικακήσειν, ἔτι καὶ νῦν ὁμοῦ τε πολιτεύονται, καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

Β΄.

ΞΕΝΟΦΩΝΤΟΣ

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ ΣΩΚΡΑΤΟΥΣ (1)

ΒΙΒΛΙΟΝ Α΄. ΚΕΦΑΛΑΙΟΝ ά.

Ἀπολογία τοῦ Σωκράτους περὶ τῶν εἰς αὐτὸν γιγνομένων κατηγοριῶν τῆς ἀθεΐας καὶ τῆς τῶν νέων διαφθορᾶς.

1. Πολλάκις ἐθαύμασα, τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. Ἡ μὲν γὰρ γραφὴ κατ' αὐτοῦ τοιάδε τις ἦν· *Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς, οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων.*

2. Πρῶτον μὲν οὖν, ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει θεοὺς, ποίῳ ποτ' ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν, πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν. Καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν· διετεθρύλλητο· γὰρ, ὡς φαίη Σωκράτης, τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν. Ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν.

---

(1) Κατὰ τὴν ἐν Παρισίοις ἔκδοσιν Α. Κοραῆ — 1825 (Βλ. Ἑλλην. βιβλιοθ. Τόμ. ΙΕ΄, σελ. 1 καὶ ἑπομ).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3. Ὁ δὲ οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι, μαντικὴν νομίζοντες, οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ συμβόλοις καὶ θυσίαις. Οὗτοί τε γὰρ ὑπολαμβάνουσιν, οὐ τοὺς ὄρνιθας οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν· κἀκεῖνος οὕτως ἐνόμιζεν.

4. Ἀλλ' οἱ μὲν πλεῖστοι φασὶν ὑπό τε τῶν ὀρνίθων καὶ τῶν ἀπαντώντων ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι· Σωκράτης δὲ, ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε· τὸ δαιμόνιον γὰρ ἔφη σημαίνειν. Καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος. Καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε.

5. Καίτοι τίς οὐκ ἂν ὁμολογήσειεν, αὐτὸν βούλεσθαι μήτ' ἠλίθιον μήτ' ἀλαζόνα φαίνεσθαι τοῖς συνοῦσιν; ἐδόκει δ' ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς ὑπὸ θεοῦ φαινόμενα κᾆτα ψευδόμενος ἐφαίνετο. Δῆλον οὖν, ὅτι οὐκ ἂν προέλεγεν, εἰ μὴ ἐπίστευεν ἀληθεύσειν. Ταῦτα δὲ τίς ἂν ἄλλῳ πιστεύσειεν ἢ θεῷ; Πιστεύων δὲ θεοῖς, πῶς οὐκ εἶναι θεοὺς ἐνόμιζεν;

6. Ἀλλὰ μὴν ἐποίει καὶ τάδε πρὸς τοὺς ἐπιτηδείους. Τὰ μὲν γὰρ ἀναγκαῖα συνεβούλευε καὶ πράττειν, ὡς ἐνόμιζεν ἄριστ' ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων, ὅπως ἂν ἀποβήσοιτο, μαντευσομένους ἔπεμπεν, εἰ ποιητέα.

7. Καὶ τοὺς μέλλοντας οἴκους τε καὶ πόλεις καλῶς οἰκήσειν, μαντικῆς ἔφη προσδεῖσθαι. Τεκτονικὸν γὰρ ἢ χαλκευτικὸν ἢ γεωργικὸν ἢ ἀνθρώπων ἀρχικὸν ἢ τῶν τοιούτων ἔργων ἐξεταστικὸν ἢ λογιστικὸν ἢ οἰκονομικὸν ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα καὶ ἀνθρώπου γνώμῃ αἱρετὰ ἐνόμιζεν εἶναι.

8. Τὰ δὲ μέγιστα τῶν ἐν τούτοις ἔφη τοὺς θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις. Οὔτε γὰρ τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον, ὅστις καρπώσεται· οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον, ὅστις οἰκήσει· οὔτε τῷ στρατηγικῷ δῆλον, εἰ συμφέρει στρατηγεῖν· οὔτε τῷ πολιτικῷ δῆλον, εἰ συμφέρει τῆς πόλεως προστατεῖν· οὔτε τῷ καλὴν γήμαντι, ἵνα εὐφραίνηται, δῆλον, εἰ διὰ ταύτην ἀνιάσεται· οὔτε τῷ δυνατοὺς ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῇ πόλει κηδεστὰς λαβόντι δῆλον, εἰ διὰ τούτους στερήσεται τῆς πόλεως.

9. Τοὺς δὲ μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν ἔφη· δαιμονᾶν δὲ καὶ τοὺς μαντευομένους, ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν· οἷον, εἴ τις ἐπερωτῴη, πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον ἢ μὴ ἐπιστάμενον· ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν ἢ μὴ ἐπιστάμενον· ἢ ἃ ἔξεστιν ἀριθμήσαντας ἢ μετρήσαντας ἢ στήσαντας εἰδέναι· τοὺς τὰ τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους ἀθέμιστα ποιεῖν ἡγεῖτο· ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοί, μανθάνειν· ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστί, πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι· τοὺς θεοὺς γὰρ, οἷς ἂν ὦσιν ἵλεω, σημαίνειν.

10. Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ. Πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει, καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν ὅπου πλείστοις μέλλοι συνέσεσθαι· καὶ ἔλεγε μὲν ὡς τὸ πολὺ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν.

11. Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς οὐδὲ ἀνόσιον οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. Οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως, ἥπερ τῶν ἄλλων οἱ πλεῖστοι, διελέγετο, σκοπῶν, ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔφυ, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων. Ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἀπεδείκνυε.

12. Καὶ πρῶτον μὲν περὶ αὐτῶν ἐσκόπει, πότερά ποτε νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι, ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν, ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες, ἡγοῦνται τὰ προσήκοντα πράττειν.

13. Ἐθαύμαζε δὲ, εἰ μὴ φανερὸν αὐτοῖς ἐστὶν, ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ ταὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους.

14. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δὲ οὐδ' ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν· καὶ τοὺς μὲν οὔθ' ἱερὸν οὔτε βωμὸν οὔτε ἄλλο τῶν θείων οὐδὲν τιμᾶν, τοὺς δὲ καὶ λίθους καὶ ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι· τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δὲ ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ κινεῖσθαι πάντα, τοῖς δὲ οὐδὲν ἄν ποτε κινηθῆναι· καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δὲ οὔτ' ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτε ἀπολέσθαι.

15. Ἐσκόπει δὲ περὶ αὐτῶν καὶ τάδε· ἆρ', ὥσπερ οἱ τἀνθρώπεια μανθάνοντες ἡγοῦνται τοῦθ', ὅ τι ἂν μάθωσιν, ἑαυτοῖς τε καὶ τῶν ἄλλων ὅτῳ ἂν βούλωνται, ποιήσειν, οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες νομίζουσιν, ἐπειδὰν γνῶσιν αἷς ἀνάγκαις ἕκαστα γίγνεται, ποιήσειν, ὅταν βούλωνται, καὶ ἀνέμους καὶ ὕδατα καὶ ὥρας καὶ ὅτου ἂν ἄλλου δέωνται τῶν τοιούτων; ἢ τοιοῦτο μὲν οὐδὲν οὐδ' ἐλπίζουσιν, ἀρκεῖ δ' αὐτοῖς γνῶναι μόνον, ᾗ τῶν τοιούτων ἕκαστα γίγνεται.

16. Περὶ μὲν οὖν τῶν ταῦτα πραγματευομένων τοιαῦτα ἔλεγεν. Αὐτὸς δὲ περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο, σκοπῶν, τί εὐσεβὲς, τί ἀσεβές· τί καλὸν, τί αἰσχρόν· τί δίκαιον, τί ἄδικον· τί σωφροσύνη, τί μανία· τί ἀνδρία, τί δειλία· τί πόλις, τί πολιτικός· τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων· καὶ περὶ τῶν ἄλλων, ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς καὶ ἀγαθοὺς εἶναι, τοὺς δὲ ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι.

17. Ὅσα μὲν οὖν μὴ φανερὸς ἦν ὅπως ἐγίγνωσκεν, οὐδὲν θαυμαστὸν, ὑπὲρ τούτων περὶ αὐτοῦ παραγνῶναι τοὺς δικαστάς· ὅσα δὲ πάντες ἤδεσαν, θαυμαστὸν, εἰ μὴ τούτων ἐνεθυμήθησαν.

18. Βουλεύσας γάρ ποτε, καὶ τὸν βουλευτικὸν ὅρκον ὀμόσας, ἐν ᾧ ἦν κατὰ τοὺς νόμους βουλεύσειν, ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ * τοὺς ἀμφὶ Θράσυλον καὶ Ἐρασινίδην * ἀποκτεῖναι πάντας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων· ἀλλὰ περὶ πλείονος ἐποιήσατο εὐορκεῖν, ἢ χαρίσασθαι τῷ δήμῳ παρὰ τὸ δίκαιον, καὶ φυλάξασθαι τοὺς ἀπειλοῦντας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

19. Καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων, οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν. Οὗτοι μὲν γὰρ οἴονται, τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δὲ οὐκ εἰδέναι· Σωκράτης δ' ἡγεῖτο πάντα μὲν θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι, καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.

20. Θαυμάζω οὖν, ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι, Σωκράτην περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβῆ μὲν οὐδέν ποτε *περὶ τοὺς θεοὺς* οὔτ' εἰπόντα οὔτε πράξαντα, τοιαῦτα δὲ καὶ λέγοντα καὶ πράττοντα περὶ θεῶν, οἷά τις ἂν καὶ λέγων καὶ πράττων εἴη τε καὶ νομίζοιτο εὐσεβέστατος.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

1. Θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας, ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὃς πρὸς τοῖς εἰρημένοις, πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν· εἶτα πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος· ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα.

2. Πῶς οὖν, αὐτὸς ὢν τοιοῦτος, ἄλλους ἂν ἢ ἀσεβεῖς ἢ παρανόμους ἢ λίχνους ἢ ἀφροδισίων ἀκρατεῖς ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; Ἀλλ' ἔπαυσε μὲν τούτων πολλοὺς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παρασχὼν, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι.

3. Καίτοι γε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου· ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὤν, ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ, μιμουμένους ἐκεῖνον τοιούσδε γενήσεσθαι.

4. Ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. Τὸ μὲν οὖν ὑπερεσθίοντα ὑπερπονεῖν ἀπεδοκίμαζε, τὸ δὲ, ὅσα γ' ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε. Ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν ἔφη.

5. Ἀλλ' οὐ μὴν θρυπτικός γε, οὐδὲ ἀλαζονικὸς ἦν, οὔτ' ἀμπε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χόνῃ, οὔθ' ὑποδέσει, οὔτε τῇ ἄλλῃ διαίτῃ. Οὐ μὴν οὐδ' ἐρασιχρημάτους γε τοὺς συνόντας ἐποίει. Τῶν μὲν γὰρ ἄλλων ἐπιθυμιῶν ἔπαυε, τοὺς δὲ ἑαυτοῦ ἐπιθυμοῦντας οὐκ ἐπράττετο χρήματα.

6. [Τοὺς] τούτου δ' ἀπεχομένους (1) ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι· τοὺς δὲ λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδιστὰς ἑαυτῶν ἀπεκάλει, διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι διαλέγεσθαι παρ' ὧν ἂν λάβοιεν τὸν μισθόν.

7. Ἐθαύμαζε δὲ, εἴ τις, ἀρετὴν ἐπαγγελλόμενος, ἀργύριον πράττοιτο, καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν, φίλον ἀγαθὸν κτησάμενος, ἀλλὰ φοβοῖτο, μὴ ὁ γενόμενος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι μὴ τὴν μεγίστην χάριν ἔξοι.

8. Σωκράτης δὲ ἐπηγγείλατο μὲν οὐδενὶ πώποτε τοιοῦτον οὐδέν· ἐπίστευε δὲ τῶν ξυνόντων αὐτῷ τοὺς ἀποδεξαμένους, ἅπερ αὐτὸς ἐδοκίμαζεν, εἰς τὸν πάντα βίον ἑαυτῷ τε καὶ ἄλλοις φίλους ἀγαθοὺς ἔσεσθαι. Πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους; εἰ μὴ ἄρα ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν.

9. Ἀλλὰ, νὴ Δία, ὁ κατήγορος ἔφη, ὑπερορᾶν ἐποίει τῶν καθεστώτων νόμων τοὺς συνόντας λέγων ὡς μωρῶν εἴη τοὺς μὲν τῆς πόλεως ἄρχοντας ἀπὸ κυάμου καθίστασθαι, κυβερνήτην δὲ μηδένα θέλειν κεχρῆσθαι κυαμευτῷ, μηδὲ τέκτονι, μηδ' αὐλητῇ, μηδ' ἐπ' ἄλλα τοιαῦτα, ἃ πολλῷ ἐλάττονας βλάβας ἁμαρτανόμενα ποιεῖ τῶν περὶ τὴν πόλιν ἁμαρτανομένων· τοὺς δὲ τοιούτους λόγους ἐπαίρειν ἔφη τοὺς νέους καταφρονεῖν τῆς καθεστώσης πολιτείας, καὶ ποιεῖν βιαίους.

10. Ἐγὼ δ' οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας, καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας, ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεισιν ἔχθραι καὶ

(1) Παρά τισι μὲν γράφεται, τούτου δ' ἀπεχομένους· παρ' ἄλλοις δὲ (Βλ. Elementarbuch der Griechischen Sprache von F. Jacobs. — Jena 1828· Dritter Theil, pag. 15.—Βλ. καὶ σελ. 6 τῶν Ξενοφ. Ἀπομνημον. ἐκδ. Α. Δινδορφίου, ἐν Λειψίᾳ 1852), τούτου δ' ἀπεχόμενος· ὁ Σωκράτης δηλονότι, τοῦ λαμβάνειν μισθόν. Τὴν δευτέραν ταύτην γραφὴν δὲν ἔκρινε μὲν ἀπίθανον καὶ ὁ ἡμέτερος Κοραῆς· προείλετο δὲ τὴν πρώτην, μετὰ προσθήκης τοῦ ἄρθρου τοὺς, ἐξ οἰκείας διορθώσεως (Βλ. Ἕλλην. Βιβλιοθ. Τόμ. ΙΕ'. σελ. 244).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κίνδυνοι, διὰ δὲ τοῦ πείθειν ἀκινδύνως τε καὶ μετὰ φιλίας τὰ αὐτὰ γίγνεται. Οἱ μὲν γὰρ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ πεισθέντες ὡς κεχαρισμένοι φιλοῦσιν. Οὐκ οὖν τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν.

11. Ἀλλὰ μὴν καὶ συμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ' ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυνάμενος, οὐδενός· καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν. Καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει· τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον, ἢ ζῶντι πειθομένῳ χρῆσθαι;

12. Ἀλλ', ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω, Κριτίας τε καὶ Ἀλκιβιάδης, πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο, Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος καὶ ὑβριστότατος *καὶ βιαιότατος*.

13. Ἐγὼ δ', εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν ἐποιησάτην, οὐκ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτην συνουσίαν αὐτοῖν, ὡς ἐγένετο, διηγήσομαι.

14. Ἐγενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων Ἀθηναίων, βουλομένω τε πάντα δι' ἑαυτῶν πράττεσθαι, καὶ πάντων ὀνομαστοτάτω γενέσθαι. Ἤδεσαν δὲ, Σωκράτην ἀπ' ἐλαχίστων μὲν χρημάτων αὐταρκέστατα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα, τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λόγοις ὅπως βούλοιτο.

15. Ταῦτα δὲ ὁρῶντε, καὶ ὄντε οἷω προείρησθον, πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ Σωκράτους ἐπιθυμήσαντε καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος εἶχεν, ὀρέξασθαι τῆς ὁμιλίας αὐτοῦ, ἢ νομίσαντε, εἰ ὁμιλησαίτην ἐκείνῳ, γενέσθαι ἂν ἱκανοτάτω λέγειντε καὶ πράττειν;

16. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι, θεοῦ διδόντος αὐτοῖν ἢ ζῆν ὅλον τὸν βίον, ὥσπερ ζῶντα Σωκράτην ἑώρων, ἢ τεθνάναι, ἑλέσθαι ἂν αὐτὼ μᾶλλον τεθνάναι. Δήλω δ' ἐγενέσθην ἐξ ὧν ἐπραξάτην· ὡς γὰρ τάχιστα κρείττονε τῶν συγγινομένων ἡγησάσθην εἶναι, εὐθὺς ἀποπηδήσαντε Σωκράτους ἐπραττέτην τὰ πολιτικά, ὥνπερ ἕνεκα Σωκράτους ὠρεχθήτην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

17. Ἴσως οὖν εἴποι τις ἂν πρὸς ταῦτα, ὅτι χρῆν τὸν Σωκράτην μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς συνόντας ἢ σωφρονεῖν. Ἐγὼ δὲ πρὸς τοῦτο μὲν οὐκ ἀντιλέγω· πάντας δὲ τοὺς διδάσκοντας ὁρῶ αὐτοὺς δεικνύντας τε τοῖς μανθάνουσιν, ἅπερ αὐτοὶ ποιοῦσιν ἃ διδάσκουσι, καὶ τῷ λόγῳ προσβιβάζοντας.

18. Οἶδα δὲ καὶ Σωκράτην δεικνύντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα, καὶ διαλεγόμενον κάλλιστα περὶ ἀρετῆς καὶ τῶν ἄλλων ἀνθρωπίνων. Οἶδα δὲ κἀκείνῳ σωφρονοῦντε, ἔς τε Σωκράτει συνήστην, οὐ φοβουμένω μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ Σωκράτους, ἀλλ' οἰομένω τότε, κράτιστον εἶναι τοῦτο πράττειν.

19. Ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν, ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων ὑβριστὴς, οὐδὲ ἄλλο οὐδέν, ὧν μάθησίς ἐστιν, ὁ μαθὼν ἀνεπιστήμων ἄν ποτε γένοιτο. Ἐγὼ δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω· ὁρῶ γὰρ, ὥσπερ τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους· οὔτε γὰρ, ἃ δεῖ, πράττειν, οὔτε, ὧν δεῖ, ἀπέχεσθαι δύνανται.

20. Διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, εἴργουσιν ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν, κατάλυσιν. Μαρτυρεῖ δὲ καὶ τῶν ποιητῶν ὅ τε λέγων,

> Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
> Συμμιγέῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

Καὶ ὁ λέγων,

> Αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακὸς, ἄλλοτε δ' ἐσθλός.

21. Κἀγὼ δὲ μαρτυρῶ τούτοις· ὁρῶ γὰρ, ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐγγιγνομένην. Ὅταν δὲ τῶν νουθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπιθυμεῖ· τούτων δὲ ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι.

22. Ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας, καὶ τοὺς εἰς ἔρωτας ἐκκυλισθέντας, ἧττον δυναμένους τῶν τε δεόντων ἐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πιμελεῖσθαι, καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. Πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι, πρὶν ἐρᾶν, ἐρασθέντες οὐκ ἔτι δύνανται· καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται.

23. Πῶς οὖν οὐκ ἐνδέχεται, σωφρονήσαντα πρόσθεν, αὖθις μὴ σωφρονεῖν, καὶ δίκαια δυνηθέντα πράττειν, αὖθις ἀδυνατεῖν; Πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητέα εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη. Ἐν τῷ γὰρ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι.

24. Καὶ Κριτίας δὴ καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει συνήστην, ἐδυνάσθην, ἐκείνῳ χρωμένω συμμάχω, τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· ἐκείνου δ' ἀπαλλαγέντε, Κριτίας μὲν φυγῶν εἰς Θετταλίαν, ἐκεῖ συνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις· Ἀλκιβιάδης δ' αὖ διὰ μὲν κάλλος ὑπὸ πολλῶν καὶ σεμνῶν γυναικῶν θηρώμενος, διὰ δύναμιν δὲ τὴν ἐν τῇ πόλει καὶ τοῖς συμμάχοις ὑπὸ πολλῶν καὶ δυνατῶν κολακεύειν ἀνθρώπων διαθρυπτόμενος, ὑπὸ δὲ τοῦ δήμου τιμώμενος, καὶ ῥᾳδίως πρωτεύων, ὥσπερ οἱ τῶν γυμνικῶν ἀγώνων ἆθληταὶ ῥᾳδίως πρωτεύοντες ἀμελοῦσι τῆς ἀσκήσεως, οὕτω κἀκεῖνος ἠμέλησεν αὑτοῦ.

25. Τοιούτων δὲ συμβάντων αὐτοῖν, καὶ ὠγκομένω μὲν ἐπὶ γένει, ἐπῳρμένω δ' ἐπὶ πλούτῳ, περυσιμένω δ' ἐπὶ δυνάμει, διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένω, καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους γεγονότε, τί θαυμαστόν, εἰ ὑπερηράνω ἐγενέσθην;

26. Εἶτα, εἰ μέν τι ἐπλημμελησάτην, τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται· ὅτι δὲ νέω ὄντε αὐτὼ (ἥνίκα καὶ ἀγνωμονεστάτω καὶ ἀκρατεστάτω εἰκὸς εἶναι) Σωκράτης παρέσχε σώφρονε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ ἄξιος εἶναι.

27. Οὐ μὴν τά γε ἄλλα οὕτω κρίνεται. Τίς μὲν γὰρ αὐλητής, τίς δὲ καὶ κιθαριστής, τίς δὲ ἄλλος διδάσκαλος ἱκανοὺς ποιήσας τοὺς μαθητάς, ἐὰν πρὸς ἄλλους ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; Τίς δὲ πατὴρ, ἐάν ὁ παῖς αὐτοῦ συνδιατρίβων τῳ σώφρων ᾖ, ὕστερον δὲ ἄλλῳ τῳ συγγενόμενος πονηρὸς γένηται,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν πρόσθεν αἰτιᾶται; ἀλλ' οὐχ ὅσῳ ἂν παρὰ τῷ ὑστέρῳ χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν πρότερον; Ἀλλ' οἵ γε πατέρες αὐτοὶ συνόντες τοῖς υἱέσι, τῶν παίδων πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν, ἐὰν αὐτοὶ σωφρονῶσιν.

28. Οὕτω δὲ καὶ Σωκράτην δίκαιον ἦν κρίνειν· εἰ μὲν αὐτὸς ἐποίει τι φαῦλον, εἰκότως ἂν ἐδόκει πονηρὸς εἶναι· εἰ δὲ αὐτὸς σωφρονῶν διετέλει, πῶς ἂν δικαίως τῆς οὐκ ἐνούσης αὐτῷ κακίας αἰτίαν ἔχοι;

29. Ἀλλ' εἰ καὶ μηδὲν αὐτὸς πονηρὸν ποιῶν, ἐκείνους φαῦλα πράττοντας ὁρῶν ἐπῄνει, δικαίως ἂν ἐπετιμᾶτο. Κριτίαν μὲν τοίνυν αἰσθανόμενος ἐρῶντα Εὐθυδήμου, καὶ πειρῶντα χρῆσθαι, καθάπερ οἱ πρὸς ταῤῥοδίσια τῶν σωμάτων ἀπολαύοντες, ἀπέτρεπε, φάσκων ἀνελεύθερόν τε εἶναι καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ, τὸν ἐρώμενον, ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι, προσαιτεῖν ὥσπερ τοὺς πτωχοὺς ἱκετεύοντα καὶ δεόμενόν πως δοῦναι, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ.

30. Τοῦ δὲ Κριτίου τοῖς τοιούτοις οὐχ ὑπακούοντος, οὐδὲ ἀποτρεπομένου, λέγεται, τὸν Σωκράτην, ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμου, εἰπεῖν, ὅτι οἱ ὑϊκὸν δοκοίη [τι] πάσχειν ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκνήσασθαι, ὥςπερ τὰ ὑΐδια τοῖς λίθοις.

31. Ἐξ ὧν δὴ καὶ ἐμίσει τὸν Σωκράτην ὁ Κριτίας, ὥστε καὶ, ὅτε, τῶν Τριάκοντα ὤν, νομοθέτης μετὰ Χαρικλέους ἐγένετο, ἀπεμνημόνευσεν αὐτῷ, καὶ ἐν τοῖς νόμοις ἔγραψε, λόγων τέχνην μὴ διδάσκειν, ἐπηρεάζων ἐκείνῳ, καὶ οὐκ ἔχων ὅπῃ ἐπιλάβοιτο, ἀλλὰ τὸ κοινῇ τοῖς φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον ἐπιφέρων αὐτῷ, καὶ διαβάλλων πρὸς τοὺς πολλούς. Οὔτε γὰρ ἔγωγε αὐτὸς τοῦτο πώποτε Σωκράτους ἤκουσα, οὔτ' ἄλλου φάσκοντος ἀκηκοέναι ἠσθόμην.

32. Ἐδήλωσε δέ· ἐπεὶ γὰρ οἱ Τριάκοντα πολλοὺς μὲν τῶν πολιτῶν καὶ οὐ τοὺς χειρίστους ἀπέκτεινον, πολλοὺς δὲ προετρέποντο ἀδικεῖν, εἶπέ που ὁ Σωκράτης, ὅτι θαυμαστόν οἱ δοκεῖ εἶναι, εἴ τις, γενόμενος βοῶν ἀγέλης νομεὺς καὶ τὰς βοῦς ἐλάττους τε καὶ χείρους ποιῶν, μὴ ὁμολογοίη κακὸς βουκόλος εἶναι· ἔτι δὲ θαυμαστότερον, εἴ τις, προστάτης γενόμενος πόλεως καὶ ποιῶν τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολίτας ἐλάττους καὶ χείρους, μὴ αἰσχύνοιτο, μηδ' οἴοιτο κακὸς εἶναι προστάτης τῆς πόλεως.

33. Ἀπαγγελθέντος δὲ αὐτοῖς τούτου, καλέσαντες ὅ τε Κριτίας καὶ ὁ Χαρικλῆς τὸν Σωκράτην, τόν τε νόμον ἐδεικνύτην αὐτῷ καὶ τοῖς νέοις ἀπειπέτην μὴ διαλέγεσθαι. Ὁ δὲ Σωκράτης ἐπήρετο αὐτὼ, εἰ ἐξείη πυνθάνεσθαι, εἴ τι ἀγνοοῖτο τῶν προηγορευμένων· τὼ δ' ἐράτην.

34. Ἐγὼ τοίνυν, ἔφη, παρεσκεύασμαι μὲν πείθεσθαι τοῖς νόμοις· ὅπως δὲ μὴ δι' ἄγνοιαν λάθω τι παρανομήσας, τοῦτο βούλομαι σαφῶς μαθεῖν παρ' ὑμῶν, πότερον τὴν τῶν λόγων τέχνην σὺν τοῖς ὀρθῶς λεγομένοις εἶναι νομίζοντες, ἢ σὺν τοῖς μὴ ὀρθῶς, ἀπέχεσθαι κελεύετε αὐτῆς. Εἰ μὲν γὰρ σὺν τοῖς ὀρθῶς, δῆλον ὅτι ἀφεκτέον εἴη τοῦ ὀρθῶς λέγειν· εἰ δὲ σὺν τοῖς μὴ ὀρθῶς, δῆλον ὅτι πειρατέον ὀρθῶς λέγειν.

35. Καὶ ὁ Χαρικλῆς ὀργισθεὶς αὐτῷ, Ἐπειδή, ἔφη, ὦ Σώκρατες, ἀγνοεῖς, τάδε σοι εὐμαθέστερα ὄντα προαγορεύομεν, τοῖς νέοις ὅλως μὴ διαλέγεσθαι. Καὶ ὁ Σωκράτης, Ἵνα τοίνυν, ἔφη, μὴ ἀμφίβολον ᾖ, ὡς ἄλλο τι ποιῶ ἢ τὰ προηγορευμένα, ὁρίσατέ μοι, μέχρι πόσων ἐτῶν δεῖ νομίζειν νέους εἶναι τοὺς ἀνθρώπους. Καὶ ὁ Χαρικλῆς, Ὅσου περ, εἶπε, χρόνου βουλεύειν οὐκ ἔξεστιν, ὡς οὔπω φρονίμους οὖσι, μηδὲ σὺ διαλέγου νεωτέροις τριάκοντα ἐτῶν.

36. Μηδὲ, ἄν τι ὠνῶμαι, ἔφη, ἢν πωλῇ νεώτερος τριάκοντα ἐτῶν, ἔρωμαι, ὁπόσου πωλεῖ; Ναὶ τάγε τοιαῦτα, ἔφη ὁ Χαρικλῆς· ἀλλά τοι σύγε, ὦ Σώκρατες, εἴωθας, εἰδὼς πῶς ἔχει, τὰ πλεῖστα ἐρωτᾶν. Ταῦτα οὖν μὴ ἐρώτα. Μηδ' ἀποκρίνωμαι οὖν, ἔφη, ἄν τίς με ἐρωτῶν τάχα ἐξετάσῃ, ποῦ οἰκεῖ Χαρικλῆς; ἢ, ποῦ ἐστι Κριτίας;

37. Ναὶ τά γε τοιαῦτα, ἔφη ὁ Χαρικλῆς. Ὁ δὲ Κριτίας, Ἀλλὰ τῶνδέ τοί σε ἀπέχεσθαι, ἔφη, δεήσει, ὦ Σώκρατες, τῶν σκυτέων καὶ τῶν τεκτόνων καὶ τῶν χαλκέων· καὶ γὰρ οἶμαι αὐτοὺς ἤδη κατατετρίφθαι διαθρυλλουμένους ὑπὸ σοῦ. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῶν ἑπομένων τούτοις, τοῦ τε δικαίου καὶ τοῦ ὁσίου καὶ τῶν ἄλλων τῶν τοιούτων; Ναὶ μὰ Δι', ἔφη ὁ Χαρικλῆς, καὶ τῶν βουκόλων γε· εἰ δὲ μή, φυλάττου, ὅπως μὴ καὶ σὺ ἐλάττους τὰς βοῦς ποιήσῃς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

38. Ἔνθα καὶ δῆλον ἐγένετο, ὅτι, ἀπαγγελθέντος αὐτοῖς τοῦ περὶ τῶν βοῶν λόγου, ὠργίζοντο τῷ Σωκράτει. Οἷα μὲν οὖν ἡ συνουσία ἐγεγόνει Κριτίᾳ πρὸς Σωκράτην, καὶ ὡς εἶχον πρὸς ἀλλήλους, εἴρηται.

39. Φαίην δ' ἂν ἔγωγε, μηδενὶ μηδεμίαν εἶναι παίδευσιν παρὰ τοῦ μὴ ἀρέσκοντος. Κριτίας δὲ καὶ Ἀλκιβιάδης, οὐκ ἀρέσκοντος αὐτοῖς Σωκράτους, ὡμίλησάτην, ὃν χρόνον ὡμιλείτην αὐτῷ, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι τῆς πόλεως. Ἔτι γὰρ Σωκράτει συνόντες οὐκ ἄλλοις τισὶ μᾶλλον ἐπεχείρουν διαλέγεσθαι ἢ τοῖς μάλιστα πράττουσι τὰ πολιτικά.

40. Λέγεται γὰρ, Ἀλκιβιάδην, πρὶν εἴκοσιν ἐτῶν εἶναι, Περικλεῖ ἐπιτρόπῳ μὲν ὄντι ἑαυτοῦ, προστάτῃ δὲ τῆς πόλεως, τοιάδε διαλεχθῆναι περὶ νόμων.

41. Εἰπέ μοι, φάναι, ὦ Περίκλεις, ἔχοις ἄν με διδάξαι, τί ἐστι νόμος; Πάντως δήπου, φάναι τὸν Περικλέα. Δίδαξον δὴ πρὸς τῶν θεῶν, φάναι τὸν Ἀλκιβιάδην· ὡς ἔγωγ' ἀκούων τινῶν ἐπαινουμένων, ὅτι νόμιμοι ἄνδρες εἰσὶν, οἶμαι μὴ ἂν δικαίως τούτου τυγεῖν τοῦ ἐπαίνου τὸν μὴ εἰδότα τί ἐστι νόμος.

42. Ἀλλ' οὐδέν τι χαλεποῦ πράγματος ἐπιθυμεῖς, ὦ Ἀλκιβιάδη, φάναι τὸν Περικλέα, βουλόμενος γνῶναι, τί ἐστι νόμος· πάντες γὰρ οὗτοι νόμοι εἰσὶν, οὓς τὸ πλῆθος συνελθὸν καὶ δοκιμάσαν ἔγραψε, φράζον ἃ τε δεῖ ποιεῖν, καὶ ἃ μή. Πότερον δὲ τἀγαθὰ ἐνόμισαν δεῖν ποιεῖν, ἢ τὰ κακά; Τἀγαθὰ, νὴ Δία, φάναι, ὦ μειράκιον, τὰ δὲ κακὰ οὔ.

43. Ἐὰν δὲ μὴ τὸ πλῆθος, ἀλλ', ὥσπερ ὅπου ὀλιγαρχία ἐστὶν, ὀλίγοι συνελθόντες γράψωσιν, ὅτι χρὴ ποιεῖν, ταῦτα τί ἐστι; Πάντα, φάναι, ὅσα γ' ἂν τὸ κρατοῦν τῆς πόλεως, βουλευσάμενον ἃ χρὴ ποιεῖν, γράψῃ, νόμος καλεῖται. Καὶ ἂν τύραννος οὖν κρατῶν τῆς πόλεως γράψῃ τοῖς πολίταις, ἃ χρὴ ποιεῖν, καὶ ταῦτα νόμος ἐστί; Καὶ ὅσα τύραννος ἄρχων, φάναι, γράφει, καὶ ταῦτα νόμος καλεῖται.

44. Βία δὲ, φάναι, καὶ ἀνομία τί ἐστιν, ὦ Περίκλεις; ἆρ' οὐχ ὅταν ὁ κρείττων τὸν ἧττω μὴ πείσας, ἀλλὰ βιασάμενος ἀναγκάσῃ ποιεῖν, ὅ,τι ἂν αὐτῷ δοκῇ; Ἐμοί γε δοκεῖ, φάναι τὸν Περικλέα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ ὅσα ἄρα τύραννος μὴ πείσας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων, ἀνομία ἐστί· Δοκεῖ μοι, φάναι τὸν Περικλέα· ἀνατίθεμαι γάρ τοι, ὅσα τύραννος μὴ πείσας γράφει, νόμον εἶναι.

45. Ὅσα δὲ οἱ ὀλίγοι τοῖς πολλοῖς μὴ πείσαντες ἀλλὰ κρατοῦντες γράφουσι, πότερον βίαν φῶμεν, ἢ μὴ φῶμεν εἶναι; Πάντα μοι δοκεῖ, φάναι τὸν Περικλέα, ὅσα τις μὴ πείσας ἀναγκάζει τινὰ ποιεῖν, εἴτε γράφων, εἴτε μὴ βία, μᾶλλον ἢ νόμος εἶναι. Καὶ ὅσα ἄρα τὸ πᾶν πλῆθος κρατοῦν τῶν τὰ χρήματα ἐχόντων, γράφει μὴ πεῖσαν, βία μᾶλλον ἢ νόμος ἂν εἴη.

46. Μάλα τοι, φάναι τὸν Περικλέα, ὦ Ἀλκιβιάδη. Καὶ ἡμεῖς τηλικοῦτοι ὄντες, δεινοὶ τὰ τοιαῦτα ἦμεν· τοιαῦτα γὰρ καὶ ἐμελετῶμεν καὶ ἐσοφιζόμεθα, οἷά περ καὶ σὺ νῦν ἐμοὶ δοκεῖς μελετᾶν. Τὸν δὲ Ἀλκιβιάδην φάναι· Εἴθε σοι, ὦ Περίκλεις, τότε συνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτα ἦσθα!

47. Ἐπεὶ τοίνυν τάχιστα τῶν πολιτευομένων ὑπέλαβον κρείττονες εἶναι, Σωκράτει μὲν οὐκ ἔτι προσήεσαν (οὔτε γὰρ αὐτοῖς ἄλλως ἤρεσκεν· εἴτε προσέλθοιεν, ὑπὲρ ὧν ἡμάρτανον ἐλεγχόμενοι ἤχθοντο), τὰ δὲ τῆς πόλεως ἔπραττον, ὥνπερ ἕνεκεν καὶ Σωκράτει προσῆλθον.

48. Ἀλλὰ Κρίτων τε Σωκράτους ἦν ὁμιλητὴς, καὶ Χαιρεφῶν, καὶ Χαιρεκράτης, καὶ Ἑρμοκράτης, καὶ Σιμμίας, καὶ Κέβης, καὶ Φαιδώνδης, καὶ ἄλλοι, οἳ ἐκείνῳ συνῆσαν, οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ', ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι, καὶ οἴκῳ καὶ οἰκέταις καὶ οἰκείοις καὶ φίλοις καὶ πόλει καὶ πολίταις δύναιντο καλῶς χρῆσθαι. Καὶ τούτων οὐδεὶς, οὔτε νεώτερος οὔτε πρεσβύτερος ὤν, οὔτ' ἐποίησε κακὸν οὐδὲν, οὔτ' αἰτίαν ἔσχεν.

49. Ἀλλὰ Σωκράτης γ', ἔρη ὁ κατήγορος, τοὺς πατέρας προπηλακίζειν ἐδίδασκε, πείθων μὲν τοὺς συνόντας, αὐτοὺς σοφωτέρους ποιεῖν τῶν πατέρων, φάσκων δὲ, κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι, τεκμηρίῳ χρώμενος, ὡς τὸν ἀμαθέστερον ὑπὸ τοῦ σοφωτέρου νόμιμον εἶη δεδέσθαι.

50. Σωκράτης δὲ τὸν μὲν ἀμαθίας ἕνεκα δεσμεύοντα δικαίως ἂν καὶ αὐτὸν ᾤετο δεδέσθαι ὑπὸ τῶν ἐπισταμένων, ἃ μὴ αὐτὸς ἐπίσταται· καὶ τῶν τοιούτων ἕνεκα πολλάκις ἐσκόπει, τί διαφέρει

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μανίας ἀμαθία· καὶ τοὺς μὲν μαινομένους ὤετο συμφερόντως ἂν δεδέσθαι καὶ αὐτοῖς καὶ τοῖς φίλοις, τοὺς δὲ μὴ ἐπισταμένους τὰ δέοντα δικαίως ἂν μανθάνειν παρὰ τῶν ἐπισταμένων.

51. Ἀλλὰ Σωκράτης γε, ἔφη ὁ κατήγορος, οὐ μόνον τοὺς πατέρας, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς ἐποίει ἐν ἀτιμίᾳ εἶναι παρὰ τοῖς αὐτῷ συνοῦσι, λέγων, ὡς οὔτε τοὺς κάμνοντας οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροί, τοὺς δὲ οἱ συνδικεῖν ἐπιστάμενοι.

52. Ἔφη δὲ, καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν, ὡς οὐδὲν ὄφελος εὔνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δυνήσονται· μόνους δὲ φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα, καὶ ἑρμηνεῦσαι δυναμένους. Ἀναπείθοντα οὖν τοὺς νέους αὐτόν, ὡς αὐτὸς εἴη σοφώτατός τε καὶ ἄλλους ἱκανώτατος ποιῆσαι σοφούς, οὕτω διατιθέναι τοὺς αὐτῷ συνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν.

53. Ἐγὼ δὲ αὐτὸν οἶδα μὲν καὶ περὶ πατέρων τε καὶ τῶν ἄλλων συγγενῶν *τε* καὶ περὶ φίλων ταῦτα λέγοντα· καὶ πρὸς τούτοις γε, ὅτι τῆς ψυχῆς ἐξελθούσης, ἐν ᾗ μόνῃ γίγνεται φρόνησις, τὸ σῶμα τοῦ οἰκειοτάτου ἀνθρώπου τὴν ταχίστην ἐξενέγκαντες ἀφανίζουσιν.

54. Ἔλεγε δὲ, ὅτι καὶ ζῶν ἕκαστος ἑαυτοῦ, ὃ πάντων μάλιστα φιλεῖ, τοῦ σώματος ὅ τι ἂν ἀχρεῖον ᾖ καὶ ἀνωφελὲς, αὐτός τε ἀφαιρεῖ καὶ ἄλλῳ παρέχει. Αὐτοί τε γὰρ αὐτῶν ὄνυχάς τε καὶ τρίχας καὶ τύλους ἀφαιροῦσι, καὶ τοῖς ἰατροῖς παρέχουσι μετὰ πόνων τε καὶ ἀλγηδόνων καὶ ἀποτέμνειν καὶ ἀποκάειν, καὶ τούτου χάριν οἴονται δεῖν αὐτοῖς καὶ μισθὸν τίνειν· καὶ τὸ σίαλον ἐκ τοῦ στόματος ἀποπτύουσιν ὡς δύνανται πορρωτάτω, διότι ὠφελεῖ μὲν οὐδὲν αὐτοὺς ἐνὸν, βλάπτει δὲ πολὺ μᾶλλον.

55. Ταῦτα μὲν οὖν ἔλεγεν, οὐ τὸν μὲν πατέρα ζῶντα κατορύττειν διδάσκων, ἑαυτὸν δὲ κατατέμνειν· ἀλλ' ἐπιδεικνύων, ὅτι τὸ ἄφρον ἄτιμόν ἐστι. Καὶ παρεκάλει ἐπιμελεῖσθαι τοῦ ὡς φρονιμώτατον εἶναι καὶ ὠφελιμώτατον, ὅπως, ἐάν τε ὑπὸ πατρὸς ἐάν τε ὑπὸ ἀδελφοῦ ἐάν τε ὑπ' ἄλλου τινὸς βούληται τιμᾶσθαι, μὴ, τῷ οἰκεῖος εἶναι πιστεύων, ἀμελῇ, ἀλλὰ πειρᾶται, ὑφ' ὧν ἂν βούλοιτο τιμᾶσθαι, τούτοις ὠφέλιμος εἶναι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

56. Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα, καὶ τούτοις μαρτυρίοις χρώμενον, διδάσκειν τοὺς συνόντας κακούργους εἶναι καὶ τυραννικούς. Ἡσιόδου μὲν τὸ,

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος.

[καὶ] τοῦτο δὴ λέγειν αὐτὸν, ὡς ὁ ποιητὴς κελεύοι μηδενὸς ἔργου μήτε ἀδίκου μήτε αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει.

57. Σωκράτης δ' ἐπεὶ διωμολογήσατο, τὸ μὲν ἐργάτην εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακὸν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθὸν, τὸ δὲ ἀργεῖν κακόν· τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαί τε ἔφη, καὶ ἐργάτας *ἀγαθοὺς* εἶναι· τοὺς δὲ κυβεύοντας ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας, ἀργοὺς ἀπεκάλει. Ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ,

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος.

58. Τὸ δὲ Ὁμήρου ἔφη ὁ κατήγορος πολλάκις αὐτὸν λέγειν, ὅτι Ὀδυσσεὺς

Ὄντινα μὲν βασιλῆα καὶ ἐξοχον ἄνδρα κιχείη,
Τὸν δ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
Δαιμόνι', οὔ σε ἔοικε, κακὸν ὣς, δειδίσσεσθαι,
Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ·
Δαιμόνι', ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε,
Οἳ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
Οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ.

Ταῦτα δὲ αὐτὸν ἐξηγεῖσθαι, ὡς ὁ ποιητὴς ἐπαινοίη παίεσθαι τοὺς δημότας καὶ πένητας.

59. Σωκράτης δ' οὐ ταῦτ' ἔλεγε (καὶ γὰρ ἑαυτὸν οὕτω γ' ἂν ᾤετο δεῖν παίεσθαι), ἀλλ' ἔφη, δεῖν τοὺς μήτε λόγῳ, μήτε ἔργῳ ὠφελίμους ὄντας, καὶ μήτε στρατεύματι μήτε πόλει μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι δέοι, βοηθεῖν ἱκανοὺς, ἄλλως τε [καὶ] ἐὰν πρὸς τούτῳ καὶ θρασεῖς ὦσι, πάντα τρόπον κωλύεσθαι, κἂν πάνυ πλούσιοι τυγχάνωσιν ὄντες.

60. Ἀλλὰ Σωκράτης γε, τἀναντία τούτων, φανερὸς ἦν καὶ δημοτικὸς καὶ φιλάνθρωπος ὤν. Ἐκεῖνος γὰρ πολλοὺς ἐπιθυμητὰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἀστοὺς καὶ ξένους λαβὼν, οὐδένα πώποτε μισθὸν τῆς συνουσίας ἐπράξατο, ἀλλὰ πᾶσιν ἀρθόνως ἐπήρκει τῶν ἑαυτοῦ· ὧν τινες μικρὰ μέρη, παρ' ἐκείνου προῖκα λαβόντες, πολλοῦ τοῖς ἄλλοις ἐπώλουν, καὶ οὐκ ἦσαν, ὥσπερ ἐκεῖνος, δημοτικοί. Τοῖς γὰρ μὴ ἔχουσι χρήματα διδόναι οὐκ ἤθελον διαλέγεσθαι.

61. Ἀλλὰ Σωκράτης γε καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους κόσμον τῇ πόλει παρεῖχε, πολλῷ μᾶλλον ἢ Λίχας τῇ Λακεδαιμονίων, ὃς ὀνομαστὸς ἐπὶ τούτῳ γέγονε. Λίχας μὲν γὰρ ταῖς γυμνοπαιδίαις τοὺς ἐπιδημοῦντας ἐν Λακεδαίμονι ξένους ἐδείπνιζε. Σωκράτης δὲ, διὰ παντὸς τοῦ βίου τὰ ἑαυτοῦ δαπανῶν, τὰ μέγιστα πάντας τοὺς βουλομένους ὠφέλει· βελτίους γὰρ ποιῶν τοὺς συγγιγνομένους ἀπέπεμπεν.

62. Ἐμοὶ μὲν δὴ Σωκράτης, τοιοῦτος ὢν, ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου· καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις τοῦθ' εὕροι. Κατὰ γὰρ τοὺς νόμους, ἐάντις φανερὸς γένηται κλέπτων ἢ λωποδυτῶν ἢ βαλαντιοτομῶν ἢ τοιχωρυχῶν ἢ ἀνδραποδιζόμενος ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν.

63. Ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς συμβάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο. Οὐδὲ μὴν ἰδίᾳ γε οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέβαλεν· ἀλλ' οὐδ' αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ' ἔσχε.

64. Πῶς οὖν ἔνοχος ἂν εἴη τῇ γραφῇ; ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν θεοὺς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, φανερὸς ἦν θεραπεύων τοὺς θεοὺς μάλιστα πάντων ἀνθρώπων· ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, ὃ δὴ ὁ γραψάμενος αὐτὸν ᾐτιᾶτο, φανερὸς ἦν τῶν συνόντων τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ᾗ πόλεις τε καὶ οἴκους εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν· ταῦτα δὲ πράττων, πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΒΛΙΟΝ Β'. ΚΕΦΑΛΑΙΟΝ ά.

Διάλογος Σωκράτους καὶ Ἀριστίππου περὶ ἐγκρατείας.

1. Ἐδόκει δέ μοι καὶ τοιαῦτα λέγων προτρέπειν τοὺς συνόντας ἀσκεῖν ἐγκράτειαν * πρὸς ἐπιθυμίαν * βρωτοῦ καὶ ποτοῦ καὶ λαγνείας καὶ ὕπνου, καὶ ῥίγους καὶ θάλπους καὶ πόνου. Γνοὺς δέ τινα τῶν συνόντων ἀκολαστοτέρως ἔχοντα πρὸς τὰ τοιαῦτα, Εἰπέ μοι, ἔφη, ὦ Ἀρίστιππε, εἰ δέοι σε παιδεύειν παραλαβόντα δύο τῶν νέων, τὸν μέν, ὅπως ἱκανὸς ἔσται ἄρχειν, τὸν δὲ, ὅπως μὴ ἀντιποιήσεται ἀρχῆς, πῶς ἂν ἑκάτερον παιδεύοις ; βούλει σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς τροφῆς ὥσπερ ἀπὸ τῶν στοιχείων ; Καὶ ὁ Ἀρίστιππος ἔφη, Δοκεῖ γοῦν μοι ἡ τροφὴ ἀρχὴ εἶναι· οὐδὲ γὰρ ζῴη γ' ἄν τις, εἰ μὴ τρέφοιτο.

2. Οὐκοῦν τὸ μὲν βούλεσθαι σίτου ἅπτεσθαι, ὅταν ὥρα ἧκῃ, ἀμφοτέροις εἰκὸς παραγίγνεσθαι ; Εἰκὸς γὰρ ἔφη. Τὸ οὖν προαιρεῖσθαι τὸ κατεπεῖγον μᾶλλον πράττειν, ἢ τῇ γαστρὶ χαρίζεσθαι, πότερον ἂν αὐτῶν ἐθίζοιμεν ; Τὸν εἰς τὸ ἄρχειν, ἔφη, νὴ Δία, παιδευόμενον, ὅπως μὴ τὰ τῆς πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀργίαν. Οὐκοῦν, ἔφη, καὶ ὅταν πιεῖν βούλωνται, τὸ δύνασθαι διψῶντα ἀνέχεσθαι τῷ αὐτῷ προσθετέον ; Πάνυ μὲν οὖν, ἔφη.

3. Τὸ δὲ ὕπνου ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ οὐὲ κοιμηθῆναι, καὶ πρωὶ ἀναστῆναι, καὶ ἀγρυπνῆσαι, εἴ τι δέοι, ποτέρῳ ἂν προσθείημεν ; Καὶ τοῦτο, ἔφη, τῷ αὐτῷ. Τί δὲ, ἔφη, τὸ ἀφροδισίων ἐγκρατῆ εἶναι, ὥστε μὴ διὰ ταῦτα κωλύεσθαι πράττειν, εἴ τι δέοι ; Καὶ τοῦτο, ἔφη, τῷ αὐτῷ. Τί δέ ; τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἐθελοντὴν ὑπομένειν, ποτέρῳ ἂν προσθείημεν ; Καὶ τοῦτο, ἔφη, τῷ ἄρχειν παιδευομένῳ. Τί δέ ; τὸ μαθεῖν, εἴ τι ἐπιτήδειόν ἐστι μάθημα πρὸς τὸ κρατεῖν τῶν ἀντιπάλων, ποτέρῳ ἂν προσεῖναι μᾶλλον πρέποι ; Πολὺ, νὴ Δί', ἔφη, τῷ ἄρχειν παιδευομένῳ· καὶ γὰρ καὶ τῶν ἄλλων οὐδὲν ὄφελος ἄνευ τῶν τοιούτων μαθημάτων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. Οὐκοῦν ὁ οὕτω πεπαιδευμένος ἧττον ἂν δοκεῖ σοι ὑπὸ τῶν ἀντιπάλων ἢ τὰ λοιπὰ ζῶα ἁλίσκεσθαι; τούτων γὰρ δήπου τὰ μὲν γαστρὶ δελεαζόμενα, καὶ μάλα ἔνια δυσωπούμενα, ὅμως τῇ ἐπιθυμίᾳ τοῦ φαγεῖν ἀγόμενα πρὸς τὸ δέλεαρ ἁλίσκεται, τὰ δὲ ποτῷ ἐνεδρεύεται. Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ ἄλλα ὑπὸ λαγνείας, οἷον οἵ τε ὄρτυγες καὶ οἱ πέρδικες, πρὸς τὴν τῆς θηλείας φωνὴν τῇ ἐπιθυμίᾳ καὶ τῇ ἐλπίδι τῶν ἀφροδισίων φερόμενοι, καὶ ἐξιστάμενοι τοῦ τὰ δεινὰ ἀναλογίζεσθαι, τοῖς θηράτροις ἐμπίπτουσι; Συνέφη καὶ ταῦτα.

5. Οὐκοῦν δοκεῖ σοι αἰσχρὸν εἶναι ἀνθρώπῳ, ταὐτὰ πάσχειν τοῖς ἀφρονεστάτοις τῶν θηρίων; ὥσπερ οἱ μοιχοὶ εἰσέρχονται εἰς τὰς εἱρκτὰς, εἰδότες ὅτι κίνδυνος τῷ μοιχεύοντι, ἅτε ὁ νόμος ἀπειλεῖ, παθεῖν καὶ ἐνεδρευθῆναι, καὶ ληφθέντα ὑβρισθῆναι· καὶ τηλικούτων μὲν ἐπικειμένων τῷ μοιχεύοντι κακῶν τε καὶ αἰσχρῶν, ὄντων δὲ πολλῶν τῶν ἀπολυσόντων τῆς τῶν ἀφροδισίων ἐπιθυμίας ἐν ἀδείᾳ, ὅμως εἰς τὰ ἐπικίνδυνα φέρεσθαι, ἆρ' οὐκ ἤδη τοῦτο παντάπασι κακοδαιμονῶντός ἐστιν; Ἔμοι γε δοκεῖ, ἔφη.

6. Τὸ δὲ εἶναι μὲν τὰς ἀναγκαιοτάτας πλείστας πράξεις τοῖς ἀνθρώποις ἐν ὑπαίθρῳ, οἷον τάς τε πολεμικὰς καὶ τὰς γεωργικὰς καὶ τῶν ἄλλων οὐ τὰς ἐλαχίστας, τοὺς δὲ πολλοὺς ἀγυμνάστως ἔχειν πρός τε ψύχη καὶ πρὸς θάλπη, οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι; Συνέφη καὶ τοῦτο. Οὐκοῦν δοκεῖ σοι τὸν μέλλοντα ἄρχειν ἀσκεῖν δεῖν καὶ ταῦτα εὐπετῶς φέρειν; Πάνυ μὲν οὖν ἔφη.

7. Οὐκοῦν, εἰ τοὺς ἐγκρατεῖς τούτων ἁπάντων εἰς τοὺς ἀρχικοὺς τάττομεν, τοὺς ἀδυνάτους ταῦτα ποιεῖν εἰς τοὺς μηδ' ἀντιποιησομένους τοῦ ἄρχειν τάξομεν; Συνέφη καὶ τοῦτο. Τί οὖν; ἐπειδὴ καὶ τούτων ἑκατέρου τοῦ φύλου τὴν τάξιν οἶσθα, ἤδη ποτ' ἐπεσκέψω, εἰς ποτέραν τῶν τάξεων τούτων σαυτὸν δικαίως ἂν τάττοις;

8. Ἔγωγ', ἔφη ὁ Ἀρίστιππος, οὐδ' ὅλως γε τάττω ἐμαυτὸν εἰς τὴν τῶν ἄρχειν βουλομένων τάξιν. Καὶ γὰρ πάνυ μοι δοκεῖ ἄφρονος ἀνθρώπου εἶναι τὸ, μεγάλου ἔργου ὄντος τοῦ ἑαυτῷ τὰ δέοντα παρασκευάζειν, μὴ ἀρκεῖν τοῦτο, ἀλλὰ προσαναθέσθαι τὸ καὶ τοῖς ἄλλοις πολίταις, ὧν δέονται, πορίζειν· καὶ ἑαυτῷ μὲν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολλὰ, ὧν βούλεται, ἐλλείπειν, τῆς δὲ πόλεως προεστῶτα, ἐὰν μὴ πάντα ὅσα ἡ πόλις βούλεται καταπράττῃ, τούτου δίκην ὑπέχειν, τοῦτο πῶς οὐ πολλὴ ἀφροσύνη ἐστί;

9. Καὶ γὰρ ἀξιοῦσιν αἱ πόλεις τοῖς ἄρχουσιν, ὥσπερ ἐγὼ τοῖς οἰκέταις, χρῆσθαι. Ἐγώ τε γὰρ ἀξιῶ τοὺς θεράποντας ἐμοὶ μὲν ἄρθονα τὰ ἐπιτήδεια παρασκευάζειν, αὐτοὺς δὲ μηδενὸς τούτων ἅπτεσθαι· αἵ τε πόλεις οἴονται χρῆναι τοὺς ἄρχοντας ἑαυταῖς μὲν ὡς πλεῖστα ἀγαθὰ πορίζειν, αὐτοὺς δὲ πάντων τούτων ἀπέχεσθαι. Ἐγὼ οὖν τοὺς μὲν βουλομένους πολλὰ πράγματα ἔχειν αὐτούς τε καὶ ἄλλοις παρέχειν, οὕτως ἂν παιδεύσας εἰς τοὺς ἀρχικοὺς καταστήσαιμι. Ἐμαυτὸν τοίνυν τάττω εἰς τοὺς βουλομένους ἥ ῥᾷστά τε καὶ ἥδιστα βιοτεύειν.

10. Καὶ ὁ Σωκράτης ἔφη, Βούλει οὖν καὶ τοῦτο σκεψώμεθα, πότεροι ζῶσιν ἥδιον, οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι; Πάνυ μὲν οὖν, ἔφη. Πρῶτον μὲν τοίνυν τῶν ἐθνῶν, ὧν ἡμεῖς ἴσμεν, ἐν μὲν τῇ Ἀσίᾳ Πέρσαι μὲν ἄρχουσιν, ἄρχονται δὲ Σύροι καὶ Φρύγες καὶ Λυδοί· ἐν δὲ τῇ Εὐρώπῃ Σκύθαι μὲν ἄρχουσι, Μαιῶται δὲ ἄρχονται· ἐν δὲ τῇ Λιβύῃ Καρχηδόνιοι μὲν ἄρχουσι, Λίβυες δὲ ἄρχονται. Τούτων οὖν ποτέρους ἥδιον οἴει ζῆν; ἢ τῶν Ἑλλήνων, ἐν οἷς καὶ αὐτὸς εἶ, πότεροί σοι δοκοῦσιν ἥδιον, οἱ κρατοῦντες ἢ οἱ κρατούμενοι, ζῆν;

11. Ἀλλ' ἐγώ τοι, ἔφη ὁ Ἀρίστιππος, οὐδὲ εἰς τὴν δουλείαν αὖ ἐμαυτὸν τάττω· ἀλλ' εἶναί τίς μοι δοκεῖ μέση τούτων ὁδός, ἣν πειρῶμαι βαδίζειν, οὔτε δι' ἀρχῆς, οὔτε διὰ δουλείας, ἀλλὰ δι' ἐλευθερίας, ἥπερ μάλιστα πρὸς εὐδαιμονίαν ἄγει.

12. Ἀλλ', εἰ μέντοι, ἔφη ὁ Σωκράτης, ὥσπερ οὔτε δι' ἀρχῆς οὔτε διὰ δουλείας ἡ ὁδὸς αὕτη φέρει, οὕτω μηδὲ δι' ἀνθρώπων, ἴσως ἄν τι λέγοις· εἰ μέντοι ἐν ἀνθρώποις ὢν μήτε ἄρχειν ἀξιώσεις μήτε ἄρχεσθαι, μήτε τοὺς ἄρχοντας ἑκὼν θεραπεύσεις, οἶμαί σε ὁρᾷν, ὡς ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας, καὶ κοινῇ καὶ ἰδίᾳ κλαίοντας καθίσαντες, ὡς δούλοις χρῆσθαι.

13. Ἦ λανθάνουσί σε οἱ ἄλλων σπειράντων καὶ φυτευσάντων τόν τε σῖτον τέμνοντες καὶ δενδροκοποῦντες, καὶ πάντα τρόπον πολιορκοῦντες τοὺς ἥττονας καὶ μὴ θέλοντας θεραπεύειν, ἕως ἂν πείσωσιν ἐλέσθαι δουλεύειν ἀντὶ τοῦ πολεμεῖν τοῖς κρείττοσι;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἰδίᾳ αὖ οἱ ἀνδρεῖοι καὶ δυνατοὶ τοὺς ἀνάνδρους καὶ ἀδυνάτους οὐκ οἶσθα ὅτι καταδουλωσάμενοι καρποῦνται; Ἀλλ' ἐγώ τοι, ἔφη, ἵνα μὴ πάσχω ταῦτα, οὐδ' εἰς πολιτείαν ἐμαυτὸν κατακλείω, ἀλλὰ ξένος παντάχοῦ εἰμί.

14. Καὶ ὁ Σωκράτης ἔφη, Τοῦτο μέντοι ἤδη λέγεις δεινὸν πάλαισμα. Τοὺς γὰρ ξένους, ἐξ οὗ ὅ τε Σίννις καὶ ὁ Σκείρων καὶ ὁ Προκρούστης ἀπέθανον, οὐδεὶς ἔτι ἀδικεῖ· ἀλλὰ νῦν οἱ μὲν πολιτευόμενοι ἐν ταῖς πατρίσι καὶ νόμους τίθενται ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς τοῖς ἀναγκαίοις καλουμένοις ἄλλους κτῶνται βοηθοὺς, καὶ ταῖς πόλεσιν ἐρύματα περιβάλλονται, καὶ ὅπλα κτῶνται οἷς ἀμύνωνται τοὺς ἀδικοῦντας, καὶ πρὸς τούτοις ἄλλους ἔξωθεν συμμάχους κατασκευάζονται· καὶ οἱ μὲν πάντα ταῦτα κεκτημένοι ὅμως ἀδικοῦνται.

15. Σὺ δὲ οὐδὲν μὲν τούτων ἔχων, ἐν δὲ ταῖς ὁδοῖς, ἔνθα πλεῖστοι ἀδικοῦνται, πολὺν χρόνον διατρίβων, εἰς ὁποίαν δ' ἂν πόλιν ἀφίκῃ, τῶν πολιτῶν πάντων ἥττων ὤν, καὶ τοιοῦτος, οἵοις μάλιστα ἐπιτίθενται οἱ βουλόμενοι ἀδικεῖν, ὅμως, διὰ τὸ ξένος εἶναι, οὐκ ἂν οἴει ἀδικηθῆναι; ἦ, διότι αἱ πόλεις σοι κηρύττουσιν ἀσφάλειαν καὶ προσιόντι καὶ ἀπιόντι, θαῤῥεῖς; ἢ διότι καὶ δοῦλος ἂν οἴει τοιοῦτος εἶναι, οἷος μηδενὶ δεσπότῃ λυσιτελεῖν; τίς γὰρ ἂν ἐθέλοι ἄνθρωπον ἐν οἰκίᾳ ἔχειν, πονεῖν μὲν μηδὲν ἐθέλοντα, τῇ δὲ πολυτελεστάτῃ διαίτῃ χαίροντα;

16. Σκεψώμεθα δὲ καὶ τοῦτο, πῶς οἱ δεσπόται τοῖς τοιούτοις οἰκέταις χρῶνται. Ἆρα οὐ τὴν μὲν λαγνείαν αὐτῶν τῷ λιμῷ σωφρονίζουσι; κλέπτειν δὲ κωλύουσιν, ἀποκλείοντες ὅθεν ἄν τι λαβεῖν ᾖ; τοῦ δὲ δραπετεύειν δεσμοῖς ἀπείργουσι; τὴν ἀργίαν δὲ πληγαῖς ἐξαναγκάζουσιν; ἢ σὺ πῶς ποιεῖς, ὅταν τῶν οἰκετῶν τινὰ τοιοῦτον ὄντα καταμανθάνῃς;

17. Κολάζω, ἔφη, πᾶσι κακοῖς, ἕως ἂν δουλεύειν ἀναγκάσω. Ἀλλὰ γὰρ, ὦ Σώκρατες, οἱ εἰς τὴν βασιλικὴν τέχνην παιδευόμενοι, ἣν δοκεῖς μοι σὺ νομίζειν εὐδαιμονίαν εἶναι, τί διαφέρουσι τῶν ἐξ ἀνάγκης κακοπαθούντων, εἴγε πεινήσουσι καὶ διψήσουσι καὶ ῥιγώσουσι καὶ ἀγρυπνήσουσι καὶ τἆλλα πάντα μοχθήσουσιν ἑκόντες; ἐγὼ μὲν γὰρ οὐκ οἶδ', ὅ,τι διαφέρει τὸ αὐτὸ δέρμα ἐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κόντα ἢ ἄκοντα μαστιγοῦσθαι. Ἢ ὅλως τὸ αὐτὸ σῶμα πᾶσι τοῖς τοιούτοις ἑκόντα ἢ ἄκοντα πολιορκεῖσθαι· ἄλλο γε ἡ ἀρρωσύνη πρόσεστι τῷ ἐθελοντὶ τὰ λυπηρὰ ὑπομένειν;

18. Τί δ', ὦ Ἀρίστιππε, ὁ Σωκράτης ἔφη, οὐ δοκεῖσοι τούτῳ διαφέρειν τὰ ἑκούσια τῶν ἀκουσίων, ἢ ὁ μὲν ἑκὼν πεινῶν, φάγοι ἂν ὁπότε βούλοιτο, καὶ ὁ ἑκὼν διψῶν, πίοι, καὶ τἆλλ' ὡσαύτως· τῷ δ' ἐξ ἀνάγκης ταῦτα πάσχοντι οὐκ ἔξεστιν, ὁπότ' ἂν βούληται, παύεσθαι; ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπωρῶν ἐπ' ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται· οἷον οἱ τὰ θηρία θηρῶντες, ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι.

19. Καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά ἐστι· τοὺς δὲ πονοῦντας, ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσωνται, ἢ ἵνα δυνατοὶ γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς, καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι, καὶ τοὺς φίλους εὖ ποιῶσι, καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα, καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτούς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων;

20. Ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι, ὡς φασιν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν· αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὡς φασὶν οἱ ἀγαθοὶ ἄνδρες. Λέγει δέ που καὶ Ἡσίοδος,

> Τὴν μὲν γὰρ κακότητα καὶ ἱλαδὸν ἔστιν ἑλέσθαι
> Ῥηϊδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
> Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
> Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
> Καὶ τραχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
> Ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

Μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·

> . . . . . Τῶν πόνων
> Πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

Καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν·

> Ὦ πονηρέ, μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκληρ' ἔχῃς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

21. Καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους (ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται) ὡταύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. Φησὶ γάρ, Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὥρμᾶτο (ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γενόμενοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας), ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται·

22. Καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος *δοκεῖν* φαίνεσθαι, τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ, ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν.

23. Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν, φθάσαι βουλομένην, προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. Ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ.

24. Πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διάξεις, τί ἂν κεχαρισμένον ἢ σῖτον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν ῥαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις.

25. Ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι. Ἀλλ' οἷς ἂν οἱ ἄλλοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐργάζωνται, τούτοις σὺ χρῆσῃ, οὐδενὸς ἀπεχόμενος ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. Πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω.

26. Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, Ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; Ἡ δέ, οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντες ὑποκοριζόμενοι ὀνομάζουσί με Κακίαν.

27. Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε, καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. Οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ', ἥπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα, διηγήσομαι μετ' ἀληθείας.

28. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀρθόνους, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.

29. Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν (ὡς φησι Πρόδικος), Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.

30. Καὶ ἡ Ἀρετὴ εἶπεν· Ὦ τλῆμον! τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πάντων ἐμπίπλασαι, πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα· καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς· ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακὰς, ἀλλὰ καὶ * τὰς κλίνας καὶ * τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις. Οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν, ὅ,τι ποιῇς, ὕπνου ἐπιθυμεῖς. Οὕτω γὰρ παιδεύεις τοὺς σαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα.

31. Ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. Τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἳ, νέοι μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι· ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι· τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαθραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι.

32. Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον, οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ [οὐδὲν] γίγνεται. Τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις οἷς προσήκει· ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός.

33. Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ, ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. Ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις· καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. Καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρου-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. Ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. Τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.

34. Οὕτω πως διῴκει Πρόδικος τὴν ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέν τοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν, ἢ ἐγὼ νῦν. Σοὶ δ' οὖν ἄξιον, ὦ Ἀρίστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

ΒΙΒΛΙΟΝ Γ΄. ΚΕΦΑΛΑΙΟΝ έ.

Τί ἂν ποιοῦντες οἱ Ἀθηναῖοι ἀναλάβοιεν τὴν ἀρχαίαν ἀρετήν;

1. Περικλεῖ δέ ποτε, τῷ τοῦ πάνυ Περικλέους υἱῷ, διαλεγόμενος, Ἐγώ τοι, ἔφη, ὦ Περίκλεις, ἐλπίδα ἔχω, σοῦ στρατηγήσαντος ἀμείνω τε καὶ ἐνδοξοτέραν τὴν πόλιν εἰς τὰ πολεμικὰ ἔσεσθαι, καὶ τῶν πολεμίων κρατήσειν. Καὶ ὁ Περικλῆς, Βουλοίμην ἄν, ἔφη, ὦ Σώκρατες, ἃ λέγεις· ὅπως δὲ ταῦτα γένοιτ' ἄν, οὐ δύναμαι γνῶναι. Βούλει οὖν, ἔφη ὁ Σωκράτης, διαλογιζόμενοι περὶ αὐτῶν ἐπισκοπῶμεν, ὅπου ἤδη τὸ δυνατόν ἐστι; Βούλομαι, ἔφη.

2. Οὐκοῦν οἶσθα, ἔφη, ὅτι πλήθει μὲν οὐδὲν μείους εἰσὶν Ἀθηναῖοι Βοιωτῶν; Οἶδα γάρ, ἔφη. Σώματα δὲ ἀγαθὰ καὶ καλὰ πότερον ἐκ Βοιωτῶν οἴει πλείω ἂν ἐκλεχθῆναι, ἢ ἐξ Ἀθηνῶν; Οὐδὲ ταύτῃ μοι δοκοῦσι λείπεσθαι. Εὐμενεστέρους δὲ ποτέρους ἑαυτοῖς εἶναι νομίζεις; Ἀθηναίους ἔγωγε· Βοιωτῶν μὲν γὰρ πολλοί, πλεονεκτούμενοι ὑπὸ Θηβαίων, δυσμενῶς αὐτοῖς ἔχουσιν· Ἀθήνῃσι δὲ οὐδὲν ὁρῶ τοιοῦτον.

3. Ἀλλὰ μὴν φιλοτιμότατοί γε καὶ φιλοφρονέστατοι πάντων εἰσίν· ἅπερ οὐχ ἥκιστα παροξύνει κινδυνεύειν ὑπὲρ εὐδοξίας τε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ πατρίδος. Οὐδὲ ἐν τούτοις Ἀθηναῖοι μεμπτοί. Καὶ μὴν προγόνων γε καλὰ ἔργα οὐκ ἔστιν οἷς μείζω καὶ πλείω ὑπάρχει ἢ Ἀθηναίοις· ᾧ πολλοὶ ἐπαιρόμενοι προτρέπονταί τε ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ἄλκιμοι γίγνεσθαι.

4. Ταῦτα μὲν ἀληθῆ λέγεις πάντα, ὦ Σώκρατες· ἀλλ' ὁρᾷς ὅτι, ἀφ' οὗ ἥ τε σὺν Τολμίδῃ τῶν χιλίων ἐν Λεβαδείᾳ συμφορὰ ἐγένετο, καὶ ἡ μεθ' Ἱπποκράτους ἐπὶ Δηλίῳ, ἐκ τούτων τεταπείνωται μὲν ἡ τῶν Ἀθηναίων δόξα πρὸς τοὺς Βοιωτούς, ἐπῆρται δὲ τὸ τῶν Θηβαίων φρόνημα πρὸς τοὺς Ἀθηναίους· ὥστε Βοιωτοὶ μὲν, οἱ πρόσθεν οὐδ' ἐν τῇ ἑαυτῶν τολμῶντες Ἀθηναίοις ἄνευ Λακεδαιμονίων τε καὶ τῶν ἄλλων Πελοποννησίων ἀντιτάττεσθαι, νῦν ἀπειλοῦσιν αὐτοὶ καθ' αὑτοὺς ἐμβαλεῖν εἰς τὴν Ἀττικήν· Ἀθηναῖοι δὲ, οἱ πρότερον, ὅτε Βοιωτοὶ μόνοι ἐγένοντο, ὀρθοῦντες τὴν Βοιωτίαν, φοβοῦνται, μὴ Βοιωτοὶ δῃώσωσι τὴν Ἀττικήν.

5. Καὶ ὁ Σωκράτης, Ἀλλ' αἰσθάνομαι μὲν, ἔφη, ταῦτα οὕτως ἔχοντα· δοκεῖ δέ μοι ἀνδρὶ ἀγαθῷ ἄρχοντι νῦν εὐαρεστοτέρως διακεῖσθαι ἡ πόλις. Τὸ μὲν γὰρ θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτοτέρους ποιεῖ.

6. Τεκμήριο δ' ἂν τοῦτο, καὶ ἀπὸ τῶν ἐν ταῖς ναυσίν. Ἔστ' ἂν μὲν γὰρ δήπου μηδὲν φοβῶνται, μεστοί εἰσιν ἀταξίας· ὅταν δὲ ἢ χειμῶνα ἢ πολεμίους δείσωσιν, οὐ μόνον τὰ κελευόμενα πάντα ποιοῦσιν, ἀλλὰ καὶ σιγῶσι καραδοκοῦντες τὰ προσταχθησόμενα, ὥσπερ χορευταί.

7. Ἀλλὰ μὴν, ἔφη, ὁ Περικλῆς, εἴγε νῦν μάλιστα πείθοιντο, ὥρα ἂν εἴη λέγειν, πῶς ἂν αὐτοὺς προτρεψαίμεθα πάλιν ἀνερασθῆναι τῆς ἀρχαίας ἀρετῆς τε καὶ εὐκλείας καὶ εὐδαιμονίας.

8. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ μὲν ἐβουλόμεθα χρημάτων αὐτοὺς, ὧν οἱ ἄλλοι εἶχον, ἀντιποιεῖσθαι, ἀποδεικνύντες αὐτοῖς ταῦτα πατρῷά τε ὄντα καὶ προσήκοντα, μάλιστα ἂν οὕτως αὐτοὺς ἐξορμῷμεν ἀντέχεσθαι τούτων· ἐπεὶ δὲ τοῦ μετ' ἀρετῆς πρωτεύειν αὐτοὺς ἐπιμελεῖσθαι βουλόμεθα, τοῦτ' αὖ δεικτέον ἐκ παλαιοῦ μάλιστα προσῆκον αὐτοῖς· καὶ ὡς, τούτου ἐπιμελούμενοι, πάντων ἂν εἶεν κράτιστοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

9. Πῶς οὖν ἂν τοῦτο διδάσκοιμεν ; Οἶμαι μέν, εἰ τούς γε παλαιοτάτους, ὧν ἀκούομεν, προγόνους αὐτῶν ἀναμιμνήσκοιμεν αὐτοὺς ἀκηκοότας, ἀρίστους γεγονέναι.

10. Ἆρα λέγεις τὴν τῶν θεῶν κρίσιν, ἣν οἱ περὶ Κέκροπα δι' ἀρετὴν ἔκριναν; Λέγω γὰρ, καὶ τὴν Ἐρεχθέως γε τροφὴν καὶ γένεσιν, καὶ τὸν πόλεμον τὸν ἐπ' ἐκείνου γενόμενον πρὸς τοὺς ἐκ τῆς ἐχομένης ἠπείρου πάσης, καὶ τὸν ἐφ' Ἡρακλειδῶν πρὸς τοὺς ἐν Πελοποννήσῳ, καὶ πάντας τοὺς ἐπὶ Θησέως πολεμηθέντας, ἐν οἷς πᾶσιν ἐκεῖνοι δῆλοι γεγόνασι τῶν καθ' ἑαυτοὺς ἀνθρώπων ἀριστεύσαντες.

11. Εἰ δὲ βούλει, ἃ ὕστερον οἱ ἐκείνων μὲν ἀπόγονοι, οὐ πολὺ δὲ πρὸ ἡμῶν γεγονότες, ἔπραξαν, τὰ μὲν αὐτοὶ καθ' ἑαυτοὺς ἀγωνιζόμενοι πρὸς τοὺς κυριεύοντας τῆς τε Ἀσίας πάσης καὶ τῆς Εὐρώπης μέχρι Μακεδονίας, καὶ πλείστην τῶν προγεγονότων δύναμιν καὶ ἀφορμὴν κεκτημένους, καὶ μέγιστα ἔργα κατειργασμένους, τὰ δὲ καὶ μετὰ Πελοποννησίων ἀριστεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· οἳ δὴ καὶ λέγονται πολὺ διενεγκεῖν τῶν καθ' ἑαυτοὺς ἀνθρώπων.

12. Λέγονται γὰρ, ἔφη. Τοιγαροῦν πολλῶν μὲν μεταναστάσεων ἐν τῇ Ἑλλάδι γεγονυιῶν, διέμειναν ἐν τῇ ἑαυτῶν· πολλοὶ δὲ ὑπὲρ δικαίων ἀντιλέγοντες ἐπέτρεπον ἐκείνοις· πολλοὶ δὲ ὑπὸ κρειττόνων ὑβριζόμενοι, κατέφευγον πρὸς ἐκείνους.

13. Καὶ ὁ Περικλῆς, Καὶ θαυμάζω γε, ἔφη, ὦ Σώκρατες, ἡ πόλις ὅπως ποτ' ἐπὶ τὸ χεῖρον ἔκλινεν. Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, ὥσπερ καὶ ἀθληταί τινες διὰ τὸ πολὺ ὑπερενεγκεῖν καὶ κρατιστεῦσαι καταῤῥᾳθυμήσαντες ὑστερίζουσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους πολὺ διενεγκόντας ἀμελῆσαι ἑαυτῶν, καὶ διὰ τοῦτο χείρους γεγονέναι.

14. Νῦν οὖν, ἔφη, τί ἂν ποιοῦντες ἀναλάβοιεν τὴν ἀρχαίαν ἀρετήν; Καὶ ὁ Σωκράτης, Οὐδὲν ἀπόκρυφον δοκεῖ μοι εἶναι· ἀλλ' εἰ μὲν, ἐξευρόντες τὰ τῶν προγόνων ἐπιτηδεύματα, μηδὲν χεῖρον ἐκείνων ἐπιτηδεύοιεν, οὐδὲν ἂν χείρους ἐκείνων γενέσθαι· εἰ δὲ μή, τούς γε νῦν πρωτεύοντας μιμούμενοι, καὶ τούτοις τὰ αὐτὰ ἐπιτηδεύοντες, ὁμοίως μὲν τοῖς αὐτοῖς χρώμενοι, οὐδὲν ἂν χείρους ἐκείνων εἶεν· εἰ δ' ἐπιμελέστερον, καὶ βελτίους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

15. Λέγεις, ἔφη, πόῤῥω που εἶναι τῇ πόλει τὴν καλοκἀγαθίαν. Πότε γὰρ οὕτως Ἀθηναῖοι, ὥσπερ Λακεδαιμόνιοι, ἢ πρεσβυτέρους αἰδέσονται; οἳ ἀπὸ τῶν πατέρων ἄρχονται καταφρονεῖν τῶν γεραιτέρων· ἢ σωμασκήσουσιν οὕτως; οἳ οὐ μόνον αὐτοὶ εὐεξίας ἀμελοῦσιν, ἀλλὰ καὶ τῶν ἐπιμελουμένων καταγελῶσι.

16. Πότε δὲ οὕτω πείσονται τοῖς ἄρχουσιν; οἳ καὶ ἀγάλλονται ἐπὶ τὸ καταφρονεῖν τῶν ἀρχόντων· ἢ πότε οὕτως ὁμονοήσουσιν; οἵ γε, ἀντὶ μὲν τοῦ συνεργεῖν ἑαυτοῖς τὰ συμφέροντα, ἐπηρεάζουσιν ἀλλήλοις, καὶ φθονοῦσιν ἑαυτοῖς μᾶλλον ἢ τοῖς ἄλλοις ἀνθρώποις. Μάλιστα δὲ πάντων ἔν τε ταῖς ἰδίαις συνόδοις καὶ ταῖς κοιναῖς διαφέρονται, καὶ πλείστας δίκας ἀλλήλοις δικάζονται, καὶ προαιροῦνται μᾶλλον οὕτω κερδαίνειν ἀπ' ἀλλήλων ἢ συνωφελοῦντες αὑτούς· τοῖς δὲ κοινοῖς ὥσπερ ἀλλοτρίοις χρώμενοι, περὶ τούτων αὖ μάχονται, καὶ ταῖς εἰς τὰ τοιαῦτα δυνάμεσι μάλιστα χαίρουσιν.

17. Ἐξ ὧν πολλὴ μὲν ἀπορία καὶ κακία τῇ πόλει ἐμφύεται, πολλὴ δὲ ἔχθρα καὶ μῖσος ἀλλήλων τοῖς πολίταις ἐγγίγνεται, δι' ἃ ἔγωγε μάλα φοβοῦμαι ἀεί, μή τι μεῖζον, ἢ ὥστε φέρειν δύνασθαι, κακὸν τῇ πόλει συμβῇ.

18. Μηδαμῶς, ἔφη ὁ Σωκράτης, ὦ Περίκλεις, οὕτως ἡγοῦ ἀνηκέστῳ πονηρίᾳ νοσεῖν Ἀθηναίους. Οὐχ ὁρᾷς, ὡς εὐτακτοι μέν εἰσιν ἐν τοῖς ναυτικοῖς, εὐτάκτως δ' ἐν τοῖς γυμνικοῖς ἀγῶσι πείθονται τοῖς ἐπιστάταις, οὐδενῶν δὲ καταδεέστερον ἐν τοῖς χοροῖς ὑπηρετοῦσι τοῖς διδασκάλοις;

19. Τοῦτο γάρ τοι, ἔφη, καὶ θαυμαστόν ἐστι, τὸ τοὺς μὲν τοιούτους πειθαρχεῖν τοῖς ἐφεστῶσι, τοὺς δὲ ὁπλίτας καὶ τοὺς ἱππεῖς, οἳ δοκοῦσι καλοκἀγαθίᾳ προκεκρῖσθαι τῶν πολιτῶν, ἀπειθεστάτους εἶναι πάντων.

20. Καὶ ὁ Σωκράτης ἔφη, Ἡ δὲ ἐν Ἀρείῳ πάγῳ βουλὴ, ὦ Περίκλεις, οὐκ ἐκ τῶν δεδοκιμασμένων καθίσταται; Καὶ μάλα ἔφη. Οἶσθα οὖν τινας, ἔφη, κάλλιον ἢ νομιμώτερον ἢ σεμνότερον ἢ δικαιότερον τάς τε δίκας δικάζοντας καὶ τἆλλα πάντα πράττοντας; Οὐ μέμφομαι, ἔφη, τούτοις. Οὐ τοίνυν, ἔφη, δεῖ ἀθυμεῖν, ὡς οὐκ εὐτάκτων ὄντων Ἀθηναίων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

21. Καὶ μὴν ἔν γε τοῖς στρατιωτικοῖς, ἔφη, ἔνθα μάλιστα δεῖ σωφρονεῖν τε καὶ εὐτακτεῖν καὶ πειθαρχεῖν, οὐδενὶ τούτων προσέχουσιν. Ἴσως γάρ, ἔφη ὁ Σωκράτης, ἐν τούτοις οἱ ἥκιστα ἐπιστάμενοι ἄρχουσιν αὐτῶν. Οὐχ ὁρᾷς, ὅτι κιθαριστῶν μὲν καὶ χορευτῶν καὶ ὀρχηστῶν οὐδὲ εἷς ἐπιχειρεῖ ἄρχειν μὴ ἐπιστάμενος, οὐδὲ παλαιστῶν οὐδὲ παγκρατιαστῶν; ἀλλὰ πάντες, ὅσοι τούτων ἄρχουσιν, ἔχουσι δεῖξαι, ὁπόθεν ἔμαθον ταῦτα, ἐφ' οἷς ἐφεστᾶσι· τῶν δὲ στρατηγῶν οἱ πλεῖστοι αὐτοσχεδιάζουσιν.

22. Οὐ μέντοι σέ γε τοιοῦτον ἐγὼ νομίζω εἶναι, ἀλλ' οἶμαί σε οὐδὲν ἧττον ἔχειν εἰπεῖν, ὁπότε στρατηγεῖν ἢ ὁπότε παλαίειν ἄρξω μανθάνειν. Καὶ πολλὰ μὲν οἶμαί σε τῶν πατρῴων στρατηγημάτων παρειληφότα διασώζειν, πολλὰ δὲ πανταχόθεν συνενηνοχέναι, ὁπόθεν οἷόν τε ἦν μαθεῖν τι ὠφέλιμον εἰς στρατηγίαν.

23. Οἶμαι δέ σε πολλὰ μεριμνᾶν, ὅπως μὴ λάθῃς σεαυτὸν ἀγνοῶν τι τῶν εἰς στρατηγίαν ὠφελίμων· καὶ ἐάν τι τοιοῦτον αἴσθῃ σεαυτὸν μὴ εἰδότα, ζητεῖν τοὺς ἐπισταμένους ταῦτα, οὔτε δώρων οὔτε χαρίτων φειδόμενον, ὅπως μάθῃς παρ' αὐτῶν ἃ μὴ ἐπίστασαι, καὶ συνεργοὺς ἀγαθοὺς ἔχῃς.

24. Καὶ ὁ Περικλῆς, Οὐ λανθάνεις με, ὦ Σώκρατες, ἔφη, ὅτι οὐκ οἰόμενός με τούτων ἐπιμελεῖσθαι ταῦτα λέγεις, ἀλλ' ἐγχειρῶν με διδάσκειν, ὅτι τὸν μέλλοντα στρατηγεῖν τούτων ἁπάντων ἐπιμελεῖσθαι δεῖ. Ὁμολογῶ μέν τοι κἀγώ σοι ταῦτα.

25. Τοῦτο δ', ἔφη, ὦ Περίκλεις, κατανενόηκας, ὅτι πρόκειται τῆς χώρας ἡμῶν ὄρη μεγάλα, καθήκοντα ἐπὶ τὴν Βοιωτίαν, δι' ὧν εἰς τὴν χώραν εἴσοδοι στεναί τε καὶ προσάντεις εἰσί, καὶ ὅτι μέση διέζωσται ὄρεσιν ἐρυμνοῖς; Καὶ μάλα, ἔφη.

26. Τί δέ; οὐδ' ἐκεῖνο ἀκήκοας, ὅτι Μυσοὶ καὶ Πισίδαι ἐν τῇ βασιλέως χώρᾳ κατέχοντες ἐρυμνὰ πάνυ χωρία, καὶ κούφως ὡπλισμένοι, δύνανται πολλὰ μὲν τὴν βασιλέως χώραν καταθέοντες κακοποιεῖν, αὐτοὶ δὲ ζῇν ἐλεύθεροι; Καὶ τοῦτό γε, ἔφη, ἀκούω.

27. Ἀθηναίους δ' οὐκ ἂν οἴει, ἔφη, μέχρι τῆς ἐλαφρᾶς ἡλικίας ὡπλισμένους κουφοτέροις ὅπλοις, καὶ τὰ προκείμενα τῆς χώρας ὄρη κατέχοντας, βλαβεροὺς μὲν τοῖς πολεμίοις εἶναι, μεγάλην δὲ προβολὴν τοῖς πολίταις τῆς χώρας κατεσκευάσθαι; Καὶ ὁ Πε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρικλῆς, Πάντ' οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ταῦτα χρήσιμα εἶναι.

28. Εἰ τοίνυν, ἔφη ὁ Σωκράτης, ἀρέσκει σοι ταῦτα, ἐπιχείρει αὐτοῖς, ὦ ἄριστε· ὅ,τι μὲν γὰρ ἂν τούτων καταπράξῃς, καὶ σοὶ καλὸν ἔσται καὶ τῇ πόλει ἀγαθόν· ἐὰν δέ τι ἀδυνατῇς, οὔτε τὴν πόλιν βλάψεις, οὔτε σαυτὸν καταισχυνεῖς.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Σωκράτους σπουδὴ περὶ παύσεως τοῦ Γλαύκωνος ἀπὸ τοῦ ἐπιχειρεῖν τὰ τῆς πόλεως πράγματα.

1. Γλαύκωνα δὲ τὸν Ἀρίστωνος, ὅτ' ἐπεχείρει δημηγορεῖν, ἐπιθυμῶν προστατεύειν τῆς πόλεως, οὐδέπω εἴκοσιν ἔτη γεγονὼς, ὄντων ἄλλων οἰκείων καὶ φίλων, οὐδεὶς ἠδύνατο παῦσαι ἑλκόμενόν τε ἀπὸ τοῦ βήματος, καὶ καταγέλαστον ὄντα. Σωκράτης δὲ, εὔνους ὢν αὐτῷ διά τε Χαρμίδην τὸν Γλαύκωνος καὶ διὰ Πλάτωνα, μόνος ἔπαυσεν.

2. Ἐντυχὼν γὰρ αὐτῷ, πρῶτον μὲν εἰς τὸ ἐθελῆσαι ἀκούειν τοιάδε λέξας, κατέσχεν. Ὦ Γλαύκων, ἔφη, προστατεύειν ἡμῖν διανενόησαι τῆς πόλεως; Ἔγωγ', ἔφη, ὦ Σώκρατες. Νὴ Δί', ἔφη, καλὸν γὰρ, εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. Δῆλον γὰρ, ὅτι, ἐὰν τοῦτο διαπράξῃ, δυνατὸς μὲν ἔσῃ αὐτὸς τυγχάνειν ὅτου ἂν ἐπιθυμῇς, ἱκανὸς δὲ τοὺς φίλους ὠφελεῖν, ἐπαρεῖς δὲ τὸν πατρῷον οἶκον, αὐξήσεις δὲ τὴν πατρίδα, ὁνομαστὸς δ' ἔσῃ πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα δ' ἐν τῇ Ἑλλάδι, ἴσως δὲ ὥσπερ Θεμιστοκλῆς καὶ ἐν τοῖς βαρβάροις· ὅπου δ' ἂν ᾖς, πανταχοῦ περίβλεπτος ἔσῃ.

3. Ταῦτ' οὖν ἀκούων ὁ Γλαύκων ἐμεγαλύνετο, καὶ ἡδέως παρέμενε. Μετὰ δὲ ταῦτα ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, τοῦτο μὲν, ὦ Γλαύκων, δῆλον, ὅτι, εἴπερ τιμᾶσθαι βούλει, ὠφελητέα σοι ἡ πόλις ἐστί; Πάνυ μὲν οὖν, ἔφη. Πρὸς θεῶν, ἔφη, μὴ τοίνυν ἀποκρύψῃ, ἀλλ' εἰπὲ ἡμῖν, ἐκ τίνος ἄρξῃ τὴν πόλιν εὐεργετεῖν;

4. Ἐπεὶ δὲ ὁ Γλαύκων διεσιώπησεν, ὡς ἂν τότε σκοπῶν, ὁπόθεν ἄρχοιτο· Ἆρ', ἔφη ὁ Σωκράτης, ὥσπερ, φίλου οἶκον εἰ αὐξῆσαι βούλοιο, πλουσιώτερον αὐτὸν ἐπιχειροίης ἂν ποιεῖν, οὕτω καὶ τὴν πόλιν πειράσῃ πλουσιωτέραν ποιῆσαι; Πάνυ μὲν οὖν, ἔφη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5. Οὐκοῦν πλουσιωτέρα γ' ἂν εἴη, προσόδων αὐτῇ πλειόνων γενομένων; Εἰκὸς γοῦν, ἔφη. Λέξον δή, ἔφη, ἐκ τίνων νῦν αἱ πρόσοδοι τῇ πόλει, καὶ πόσαι τινές εἰσι; δῆλον γάρ, ὅτι ἔσκεψαι, ἵνα, εἰ μέν τινες αὐτῶν ἐνδεῶς ἔχουσιν, ἐκπληρώσῃς· εἰ δὲ παραλείπονται, προσπορίσῃς. Ἀλλὰ, μὰ Δί', ἔφη ὁ Γλαύκων, ταῦτά γε οὐκ ἐπέσκεμμαι.

6. Ἀλλ', εἰ τοῦτο, ἔφη, παρέλιπες, τάς γε δαπάνας τῆς πόλεως ἡμῖν εἰπέ· δῆλον γάρ, ὅτι καὶ τούτων τὰς περιττὰς ἀφαιρεῖν διανοεῖ. Ἀλλὰ, μὰ τὸν Δί', ἔφη, οὐδὲ πρὸς ταῦτά πω ἐσχόλασα. Οὐκοῦν, ἔφη, τὸ μὲν πλουσιωτέραν τὴν πόλιν ποιεῖν ἀναβαλούμεθα· πῶς γὰρ οἷόν τε, μὴ εἰδότα γε τὰ ἀναλώματα καὶ τὰς προσόδους, ἐπιμεληθῆναι τούτων;

7. Ἀλλ', ὦ Σώκρατες, ἔφη ὁ Γλαύκων, δυνατόν ἐστι καὶ ἀπὸ πολεμίων τὴν πόλιν πλουτίζειν. Νὴ Δία, σφόδρα γ', ἔφη ὁ Σωκράτης, ἐάν τις αὐτῶν κρείττων ᾖ· ἥττων δὲ ὢν καὶ τὰ οἰκεῖα προσαποβάλοι ἄν. Ἀληθῆ λέγεις, ἔφη.

8. Οὐκοῦν, ἔφη, τόν γε βουλευσόμενον, πρὸς οὓς τινας δεῖ πολεμεῖν, τήν τε τῆς πόλεως δύναμιν καὶ τὴν τῶν ἐναντίων εἰδέναι δεῖ, ἵνα, ἐὰν μὲν ἡ τῆς πόλεως κρείττων ᾖ, συμβουλεύῃ ἐπιχειρεῖν τῷ πολέμῳ· ἐὰν δὲ ἥττων τῆς τῶν ἐναντίων, εὐλαβεῖσθαι πείθῃ. Ὀρθῶς λέγεις, ἔφη.

9. Πρῶτον μὲν τοίνυν, ἔφη, λέξον ἡμῖν τῆς πόλεως τήν τε πεζικὴν καὶ τὴν ναυτικὴν δύναμιν, εἶτα τὴν τῶν ἐναντίων. Ἀλλὰ, μὰ τὸν Δί', ἔφη, οὐκ ἂν ἔχοιμί σοι οὕτως γε ἀπὸ στόματος εἰπεῖν. Ἀλλ', εἰ γέγραπταί σοι, ἔνεγκε, ἔφη· πάνυ γὰρ ἡδέως ἂν τοῦτο ἀκούσαιμι. Ἀλλὰ, μὰ τὸν Δί', ἔφη, οὐδὲ γέγραπταί μοί πω.

10. Οὐκοῦν, ἔφη, καὶ περὶ πολέμου συμβουλεύειν τήν γε πρώτην ἐπισχήσομεν· ἴσως γὰρ καὶ διὰ τὸ μέγεθος αὐτῶν, ἄρτι ἀρχόμενος τῆς προστατείας, οὔπω ἐζήτακας. Ἀλλά τοι περί γε φυλακῆς τῆς χώρας οἶδ' ὅτι σοι μεμέληκε, καὶ οἶσθα, ὁπόσαι τε φυλακαὶ ἐπίκαιροί εἰσι καὶ ὁπόσαι μή, καὶ ὁπόσοι τε φρουροὶ ἱκανοί εἰσι καὶ ὁπόσοι μή εἰσι· καὶ τὰς μὲν ἐπικαίρους φυλακὰς συμβουλεύσεις μείζονας ποιεῖν, τὰς δὲ περιττὰς ἀφαιρεῖν.

11. Νὴ Δί', ἔφη ὁ Γλαύκων, ἁπάσας μὲν οὖν ἔγωγε, ἕνεκά γε τοῦ οὕτως αὐτὰς φυλάττεσθαι, ὥστε ἁρπάζεσθαι τὰ ἐκ τῆς χώ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρας. Ἐάν δέ τις ἀφέλῃ γ', ἔφη, τὰς φυλακάς, οὐκ οἴει καὶ ἁρπάζειν ἐξουσίαν ἔσεσθαι τῷ βουλομένῳ; ἀτὰρ, ἔφη, πότερον ἐλθὼν αὐτὸς ἐξήτακας τοῦτο, ἢ πῶς οἶσθα, ὅτι κακῶς φυλάττονται; Εἰκάζω, ἔφη. Οὐκοῦν, ἔφη, καὶ περὶ τούτων, ὅταν μηκέτι εἰκάζωμεν, ἀλλ' ἤδη εἰδῶμεν, τότε συμβουλεύσομεν; Ἴσως, ἔφη ὁ Γλαύκων, βέλτιον.

12. Εἴς γε μὴν, ἔφη, ταργύρια οἶδ' ὅτι οὐκ ἀρῖξαι, ὥς' ἔχειν εἰπεῖν, διότι νῦν ἐλάττω ἢ πρόσθεν προσέρχεται αὐτόθεν. Οὐ γὰρ οὖν ἐλήλυθα, ἔφη. Καὶ γὰρ, νὴ Δί', ἔφη ὁ Σωκράτης, λέγεται βαρὺ τὸ χωρίον εἶναι. Ὥστε, ὅταν περὶ τούτου δέῃ συμβουλεύειν, αὕτη σοι ἡ πρόφασις ἀρκέσει. Σκέψομαι, ἔφη ὁ Γλαύκων.

13. Ἀλλ' ἐκείνου γέ τοι, ἔφη, οἶδ' ὅτι οὐκ ἠμέληκας, ἀλλ' ἔσκεψαι, πόσον χρόνον ἱκανός ἐστιν ὁ ἐκ τῆς χώρας γιγνόμενος σῖτος διατρέφειν τὴν πόλιν, καὶ πόσου εἰς τὸν ἐνιαυτὸν προσδέεται, ἵνα μὴ τούτου λάθῃ σέ ποτε ἡ πόλις ἐνδεὴς γενομένη, ἀλλ' εἰδὼς, ἔχῃς ὑπὲρ τῶν ἀναγκαίων συμβουλεύων τῇ πόλει βοηθεῖν τε καὶ σώζειν αὐτήν. Λέγεις, ἔφη ὁ Γλαύκων, παρμέγεθες πρᾶγμα, εἴγε καὶ τῶν τοιούτων ἐπιμελεῖσθαι δεήσει.

14. Ἀλλὰ μέν τοι, ἔφη ὁ Σωκράτης, οὐδ' ἂν τὸν ἑαυτοῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται, ὧν προσδέεται, πάντων δὲ ἐπιμελόμενος ἐκπληρώσει. Ἀλλ' ἐπεὶ ἡ μὲν πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε, χαλεπὸν δέ ἐστιν ἅμα τοσούτων οἴκων ἐπιμελεῖσθαι, πῶς οὐχ ἕνα, τὸν τοῦ θείου, πρῶτον ἐπειράθης αὐξῆσαι; δέεται δέ. Κἂν μὲν τοῦτον δύνῃ, καὶ πλείοσιν ἐπιχειρήσεις· ἕνα δὲ μὴ δυνάμενος ὠφελῆσαι, πῶς ἂν πολλούς γε δυνηθείης; ὥσπερ εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερὸν, ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ;

15. Ἀλλ' ἔγωγε, ἔφη ὁ Γλαύκων, ὠφελοίην ἂν τὸν τοῦ θείου οἶκον, εἴ μοι ἐθέλοι πείθεσθαι. Εἶτα, ἔφη ὁ Σωκράτης, τὸν θεῖον οὐ δυνάμενος πείθειν, Ἀθηναίους πάντας μετὰ τοῦ θείου νομίζεις δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι;

16. Φυλάττου, ἔφη, ὦ Γλαύκων, ὅπως μὴ, τοῦ εὐδοξεῖν ἐπιθυμῶν, εἰς τοὐναντίον ἔλθῃς. Ἢ οὐχ ὁρᾷς, ὡς σφαλερόν ἐστι τὸ, ἃ μὴ οἶδέ τις, ταῦτα λέγειν ἢ πράττειν; ἐνθυμοῦ δὲ τῶν ἄλλων,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅσους οἶσθα τοιούτους, οἷοι φαίνονται καὶ λέγοντες ἃ μὴ ἴσασι καὶ πράττοντες. Πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον ἢ ψόγου τυγχάνειν; καὶ πότερον θαυμάζεσθαι μᾶλλον ἢ καταφρονεῖσθαι;

17. Ἐνθυμοῦ δὲ καὶ τῶν εἰδότων ὅ,τι τε λέγουσι καὶ ὅ,τι ποιοῦσι· καὶ ὡς ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσιν ἔργοις τοὺς μὲν εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους ἐκ τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρονουμένους ἐκ τῶν ἀμαθεστάτων.

18. Εἰ οὖν ἐπιθυμεῖς εὐδοκιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ πόλει, πειρῶ κατεργάσασθαι ὡς μάλιστα τὸ εἰδέναι, ἃ βούλει πράττειν· ἐὰν γὰρ τούτῳ διενεγκὼν τῶν ἄλλων ἐπιχειρῇς τὰ τῆς πόλεως πράττειν, οὐκ ἂν θαυμάσαιμι, εἰ πάνυ ῥᾳδίως τύχοις ὧν ἐπιθυμεῖς.

ΚΕΦΑΛΑΙΟΝ. Ζ'.

Ὁ Σωκράτης παραθαῤῥύνει τὸν δειλὸν Χαρμίδην εἰς τὸ πράττειν τὰ τῆς πόλεως.

1. Χαρμίδην δὲ τὸν Γλαύκωνος ὁρῶν ἀξιόλογον μὲν ἄνδρα ὄντα, καὶ πολλῷ δυνατώτερον τῶν τὰ πολιτικὰ τότε πραττόντων, ὀκνοῦντα δὲ προσιέναι τῷ δήμῳ, καὶ τῶν τῆς πόλεως πραγμάτων ἐπιμελεῖσθαι, Εἰπέ μοι, ἔφη, ὦ Χαρμίδη, εἴ τις ἱκανὸς ὢν τοὺς στεφανίτας ἀγῶνας νικᾶν, καὶ διὰ τοῦτο αὐτός τε τιμᾶσθαι καὶ τὴν πατρίδα ἐν τῇ Ἑλλάδι εὐδοκιμωτέραν ποιεῖν, μὴ θέλοι ἀγωνίζεσθαι, ποτόν τινα τοῦτον νομίζοις ἂν τὸν ἄνδρα εἶναι; Δῆλον ὅτι, ἔφη, μαλακόν τε καὶ δειλόν.

2. Εἰ δέ τις, ἔφη, δυνατὸς ὢν, τῶν τῆς πόλεως πραγμάτων ἐπιμελούμενος τήν τε πόλιν αὔξειν καὶ αὐτὸς διὰ τοῦτο τιμᾶσθαι, ὀκνοίη τοῦτο πράττειν, οὐκ ἂν εἰκότως δειλὸς νομίζοιτο; Ἴσως, ἔφη. Ἀτὰρ πρὸς τί με ταῦτα ἐρωτᾷς; Ὅτι, ἔφη, οἶμαί σε, δυνατὸν ὄντα, ὀκνεῖν ἐπιμελεῖσθαι, καὶ ταῦτα, ὧν ἀνάγκη σοι μετέχειν πολίτῃ γε ὄντι.

3. Τὴν δὲ ἐμὴν δύναμιν, ἔφη ὁ Χαρμίδης, ἐν ποίῳ ἔργῳ καταμαθὼν, ταῦτά μου καταγιγνώσκεις; Ἐν ταῖς συνουσίαις, ἔφη, αἷς σύνει τοῖς τὰ τῆς πόλεως πράττουσι· καὶ γὰρ, ὅταν τι ἀνακοινῶν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταί σοι, ὁρῶ σε καλῶς συμβουλεύοντα, καὶ, ὅταν τι ἁμαρτάνωσιν, ὀρθῶς ἐπιτιμῶντα.

4. Οὐ ταὐτόν ἐστιν, ἔφη, ὦ Σώκρατες, ἰδίᾳ τε διαλέγεσθαι, καὶ ἐν τῷ πλήθει ἀγωνίζεσθαι. Καὶ μήν, ἔφη, ὅ γε ἀριθμεῖν δυνάμενος οὐδὲν ἧττον ἐν τῷ πλήθει ἢ μόνος ἀριθμεῖ, καὶ οἱ κατὰ μόνας ἄριστα κιθαρίζοντες οὗτοι καὶ ἐν τῷ πλήθει κρατιστεύουσιν.

5. Αἰδῶ δὲ καὶ φόβον, ἔφη, οὐχ ὁρᾷς ἔμφυτά τε ἀνθρώποις ὄντα, καὶ πολλῷ μᾶλλον ἐν τοῖς ὄχλοις ἢ ἐν ταῖς ἰδίαις ὁμιλίαις παριστάμενα; Καὶ σέ γε διδάξων, ἔφη, ὥρμημαι, ὅτι οὔτε τοὺς φρονιμωτάτους αἰδούμενος οὔτε τοὺς ἰσχυροτάτους φοβούμενος, ἐν τοῖς ἀφρονεστάτοις τε καὶ ἀσθενεστάτοις αἰσχύνῃ λέγειν.

6. Πότερον γὰρ τοὺς γναφεῖς αὐτῶν ἢ τοὺς σκυτεῖς ἢ τοὺς τέκτονας ἢ τοὺς χαλκεῖς ἢ τοὺς γεωργοὺς ἢ τοὺς ἐμπόρους ἢ τοὺς ἐν τῇ ἀγορᾷ μεταβαλλομένους, καὶ φροντίζοντας, ὅ,τι ἐλάττονος πριάμενοι πλείονος ἀποδῶνται, αἰσχύνῃ; ἐκ γὰρ τούτων ἁπάντων ἡ ἐκκλησία συνίσταται.

7. Τί δὲ οἴει διαφέρειν ὃ σὺ ποιεῖς, ἢ τῶν ἀσκητῶν ὄντα κρείττω τοὺς ἰδιώτας φοβεῖσθαι; ἐν γὰρ τοῖς πρωτεύουσιν ἐν τῇ πόλει (ὧν ἔνιοι καταφρονοῦσί σου) ῥᾳδίως διαλεγόμενος, καὶ τῶν ἐπιμελουμένων τοῦ τῇ πόλει διαλέγεσθαι πολὺ περιών, ἐν τοῖς μηδὲ πώποτε φροντίσασι τῶν πολιτικῶν, μηδὲ σοῦ καταπεφρονηκόσιν ὀκνεῖς λέγειν, δεδιὼς μὴ καταγελασθῇς.

8. Τί δ'; ἔφη, οὐ δοκοῦσί σοι πολλάκις οἱ ἐν τῇ ἐκκλησίᾳ τῶν ὀρθῶς λεγόντων καταγελᾶν; Καὶ γὰρ καὶ οἱ ἕτεροι, ἔφη· διὸ καὶ θαυμάζω σου, εἰ ἐκείνους, ὅταν τοῦτο ποιῶσι, ῥᾳδίως χειρούμενος, τούτοις μηδένα τρόπον οἴει δυνήσεσθαι προσενεχθῆναι.

9. Ὦ ἀγαθὲ, μὴ ἀγνόει σεαυτὸν, μηδὲ ἁμάρτανε, ἃ οἱ πλεῖστοι ἁμαρτάνουσιν. Οἱ γὰρ πολλοὶ ὡρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα, οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. Μὴ οὖν ἀποῤῥᾳθύμει τούτου, ἀλλὰ διατείνου μᾶλλον πρὸς τὸ σαυτῷ προσέχειν· καὶ μὴ ἀμέλει τῶν τῆς πόλεως, εἴτι δυνατόν ἐστι διὰ σὲ βέλτιον ἔχειν. Τούτων γὰρ καλῶς ἐχόντων, οὐ μόνον οἱ ἄλλοι πολῖται, ἀλλὰ καὶ οἱ σοὶ φίλοι καὶ αὐτὸς σὺ οὐκ ἐλάχιστα ὠφελήσῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Γ'.

ΙΣΟΚΡΑΤΟΥΣ

1. Η ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ

ΠΑΡΑΙΝΕΣΙΣ (1).

ΕΝ πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεστῶσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. Οἱ μὲν γὰρ τοὺς φίλους, παρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. Καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. Ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους καὶ παιδείας ἀντιποιουμένους, τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητὰς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ὑμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. Πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν.

Ε'. Ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον· σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ· καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. Ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσι ποιεῖν, οὐ μὴν περίγε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν· ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν, οἱ δὲ καὶ

(1) Κατὰ τὴν ἐν Παρισίοις ἔκδοσιν Α. Κοραῆ. 1807. (Βλ. Ἑλληνικ. Βιβλιοθ. Τόμ. Α'. σελ. 1. καὶ ἑπομ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι. Διόπερ ἡμεῖς, οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. Ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν· ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι. Κάλλος μὲν γὰρ ἡ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε. Πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστὶν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. Ῥώμη δὲ, μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης, πλείω τοὺς ἔχοντας ἔβλαψε· καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. Ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ἐν ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί· τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα, δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα· καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη. Ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστὶν ἔκ τε τῶν Ἡρακλέους ἄθλων, καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων.

γ΄. Οὐ μὴν ἀλλὰ, καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ' ἐμοῦ σοι λεγομένων. Οὐ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς, οὐδὲ ῥᾳθυμῶν διετέλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. Οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα· ἀλλ' ἀπήλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος. Οὐδὲ ταπεινῶς διῴκει τὸν ἑαυτοῦ βίον· ἀλλὰ φιλόκαλός τε ἦν, καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινὸς, καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς τῷ γένει προσήκοντας. Ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρίαν πολλῷ κρείττω φύσιν νόμου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης. Ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα. Ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δηλώσομεν· δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃ δεῖ σε ζῆν, ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γενόμενον. Αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. Ἠγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐράμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν. Οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε. Διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι.

δ'. Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεούς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως· οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν. Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. Τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος. Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. Ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. Ἠγοῦ μάλιστα σεαυτῷ πρέπειν, κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις. Τοὺς μὲν θεοὺς φοβοῦ· τοὺς δὲ γονεῖς τίμα· τοὺς δὲ φίλους αἰσχύνου· τοῖς δὲ νόμοις πείθου. Τὰς ἡδονὰς θήρευε, τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στον. Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦτιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀρθήσῃ. Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης. Ἐὰν ᾖς φιλομαθής, ἔσῃ πολυμαθής. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. Κατανάλισκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιλικοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα, συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνον τῶν κτημάτων ἀθάνατον. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ, τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν. Τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. Ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τῷ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. Τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις· τῇ δὲ ὀργῇ, ἂν παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν. Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων. Ἕνεκα δὲ χρημάτων μηδένα θεῶν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. Βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν, μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. Τοῦτο δὲ ποιήσεις, ἂν, μὴ δεόμενός του, δεῖσθαι προσποιῇ, περί τε τῶν ῥητῶν ὡς ἀπορρήτων ἀνακοινοῦ· μὴ τυχὼν μὲν γὰρ, οὐδὲν βλαβήσῃ, τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν. Οὕτω δ' ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος αὐτοῖς ἐν τοῖς καιροῖς βοηθῇς. Ὁμοίως αἰσχρὸν νόμιζε, τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. Εἶναι βούλου τὰ περὶ τὴν ἑσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. Ἔστι δὲ φιλοκάλου μὲν τὸ μεγαλοπρεπὲς, καλλωπιστοῦ δὲ τὸ περίεργον. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν· ἔστι δὲ χρήματα μὲν, τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ, τοῖς κτᾶσθαι δυναμένοις. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦ τε ζημίαν μεγάλην ἐκτίσαι δύνασθαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον βίον, μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα. Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. Τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. Τοὺς κακοὺς εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν. Ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας, ὑλακτοῦσιν· οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν. Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός. Τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν· τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. Ὁμιλητικὸς δ' ἔσῃ, μὴ δύσερις ὢν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς ταχέως ἁπάντων, μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἶκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων (τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν)· μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὢν, βαρὺ γάρ· μηδὲ φιλεπιτιμητὴς, παροξυντικὸν γάρ. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δὲ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστατο πρὸ μέθης. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν. Ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται, διαμαρτάνοντα τῶν εὐθυνούντων· ἥ τε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς δια-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νοίας. Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι· θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας· πολλάκις γὰρ, ὧν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγελοῦντας· ἀρχὴ μὲν γὰρ φιλίας, ἔπαινος, ἔχθρας δὲ, ψόγος. Βουλευόμενος, παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν. Περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις. Ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον, πῶς τὰ ἑαυτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψεις· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν. Μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι, καὶ ζηλοῦν· ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. Ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν. Εἰς ἀρχὴν κατασταθείς, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου, μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος. Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γὰρ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷά περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δύνασθαι, ἀνέχου δὲ τὸ ἴσον ἔχειν· ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει· κἀκείνων μὲν καὶ τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος· ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα. Πᾶν ὅ,τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. Δύω ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. Ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν, ἢ λέγειν. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρής, οὔτε δυστυχῶν περίλυπος. Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν· γίγνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὧν κατάδηλος. Ἄτοπον γὰρ, τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν. Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτήν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν. Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. Τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε.

ε. Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. Οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας, ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. Τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις. Ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρου ζητῇς, ἀλλ' ἐντεῦθεν, ὥσπερ ἐκ ταμιείου, προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν, ὧν ἂν ἔχω σοι συμβουλεύειν. Πολλὴν δ' ἂν τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἧς ἔχων περὶ σοῦ τυγχάνω. Τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. Σὲ δὲ νομίζω τούναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ. Τὸν γὰρ αὐτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι. Μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τούτων μάλιστα γνησίας ἔχομεν. Ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾷν, εὐθὺς αἱ λύπαι ταῖς ἡδοναῖς παραπεπήγασι· τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι. Κἀκεῖ μὲν πρῶτον ἡσθέντες, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ, μετὰ τὰς λύπας, τὰς ἡδονὰς ἔχομεν. Ἐν ἅπασι δὲ τοῖς ἔργοις, οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν· τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν.

ς΄. Ἐνθυμοῦ δὲ, ὅτι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν (εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν)· τοῖς δὲ σπουδαίοις οὐχ οἷόντε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. Πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως. Ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἧπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους, οὐ φαύλους εἶναι φήσομεν. Δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ δόξαν καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. Εἰ δὲ δεῖ, θνητὸν ὄντα, τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας (ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι), τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν. Οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκαγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγινώσκειν. Ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. Μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

ΤΟΥ ΑΥΤΟΥ

2. ΛΟΓΩΝ ΑΠΟΣΠΑΣΜΑΤΑ (1).

α) ΕΚ ΤΟΥ ΑΡΕΙΟΠΑΓΙΤΙΚΟΥ.

Ὑπόθεσις ἐκ τῶν Διονυσίου τοῦ Ἁλικαρνασσέως.

Τις τὸν Ἀρειοπαγιτικὸν ἀναγνοὺς λόγον, οὐκ ἂν γένοιτο κοσμιώτερος; ἢ τίς οὐκ ἂν θαυμάσειε τὴν ἐπιβολὴν τοῦ ῥήτορος; ὃς ἐτόλμησε διαλεχθῆναι περὶ πολιτείας Ἀθηναίοις, ἀξιῶν μεταθέσθαι μὲν τὴν τότε καθεστῶσαν δημοκρατίαν, ὡς μεγάλα βλάπτουσαν τὴν πόλιν· ὑπὲρ ἧς τῶν δημαγωγῶν οὐδεὶς ἐπεχείρει λέγειν, θεωρῶν εἰς τοσαύτην αὐτὴν προεληλυθεῖαν ἀκοσμίαν, ὥστε μηδὲ τοὺς ἄρχοντας ἔτι τῶν ἰδιω-

(1) Κατὰ τὴν ἐν Παρισίοις ἔκδοσιν Α'. Κοραῆ—1807. (Βλ. Ἑλλην. Βιβλιοθ. Τόμ. Α'. σελ. 137 καὶ ἑπόμ.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν κρατεῖν, ἀλλ' ἕκαστον ὅ,τι καθ' ἡδονὴν αὐτῷ γίγνοιτο καὶ ποιοῦντα καὶ λέγοντα, καὶ τὴν ἄκαιρον παῤῥησίαν δημοτικὴν ἐξουσίαν ὑπὸ πάντων νομιζομένην· ἀνασώσασθαι δὲ τὴν ὑπὸ Σόλωνος καὶ Κλεισθένους κατασταθεῖσαν πολιτείαν. Ἧς τὴν προαίρεσιν καὶ τὰ ἤθη διεξιὼν, δεινότερον μὲν ἡγεῖσθαί φησι τοὺς τότε ἀνθρώπους τὸ τοῖς πρεσβυτέροις ἀντειπεῖν, ἢ τὴν τάξιν λύειν· δημοκρατίαν δὲ αὐτοὺς νομίζειν, οὐ τὴν ἀκολασίαν, ἀλλὰ τὴν σωφροσύνην· τὸ δὲ ἐλεύθερον οὐκ ἐν τῷ καταῤῥονεῖν τῶν ἀρχόντων, ἀλλ' ἐν τῷ τὰ κελευόμενα ποιεῖν τίθεσθαι· ἐξουσίαν τε οὐδενὶ τῶν ἀκολάστων ἐπιτρέπειν, ἀλλὰ τοῖς βελτίστοις ἀνατιθέναι τὰς ἀρχάς, τοιούτους ἔσεσθαι τοὺς ἄλλους ὑπολαμβάνοντας, οἵοι περ ἂν ὦσιν οἱ τὴν πόλιν διοικοῦντες· ἀντὶ δὲ τοῦ τὰς ἰδίας οὐσίας ἐκ τῶν δημοσίων ἐπανορθοῦν, τοὺς ἰδίους πλούτους εἰς τὰ κοινὰ καταχορηγῆσαι. Χωρὶς δὲ τούτων, πλείω τὴν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πατέρας τῶν υἱῶν ἀνδρῶν γενομένων, ἢ παίδων ὄντων ἐποιοῦντο, ἐνθυμουμένους, ὡς οὐκ ἐξ ἐκείνης τῆς παιδείας, ἀλλ' ἐκ ταύτης τῆς σωφροσύνης μᾶλλον ὠφελεῖται τὸ κοινόν· κρείττονά τε ὑπολαμβάνειν τὰ χρηστὰ ἐπιτηδεύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοποῦντας, οὐχ ὅπως ταῖς τιμωρίαις τοὺς ἁμαρτάνοντας ἀνείρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ἐπιτηδεύειν· καὶ τὴν μὲν πατρίδα δεῖν οἰομένους ἐν ἐξουσίᾳ διάγειν μεγάλῃ, τοῖς δ' ἰδιώταις μηδὲν ἐξεῖναι ποιεῖν ὅ,τι ἂν οἱ νόμοι κωλύωσι· καρτερεῖν δὲ τὰ δεινά, καὶ μὴ ἐκπλήττεσθαι ταῖς συμφοραῖς.

ά. . . . . .

β'. . . . Ὁρῶ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας, τὰ κάκιστα βουλευομένας, καὶ τὰς μάλιστα θαῤῥούσας, εἰς πλείστους κινδύνους καθισταμένας. Αἴτιον δὲ τούτων ἐστὶν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίγνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ τοῖς μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια, καὶ μετὰ ταύτης ἀκολασία· ταῖς δὲ ἐνδείαις, καὶ ταῖς ταπεινότησι, σωφροσύνη καὶ μετριότης. Ὥστε χαλεπὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις δέξαιτο τῶν μερίδων τούτων τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. Ἰδοιμεν γὰρ ἄν, ἐκ μὲν τῆς φαυλοτέρας εἶναι δοκούσης, ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδούσας, ἐκ δὲ τῆς κρείττονος φαινομένης, ἐπὶ τὸ χεῖρον εἰθισμένας μεταπίπτειν. Καὶ τούτων ἐνεγκεῖν ἔχω παραδείγματα, πλεῖστα μὲν ἐκ τῶν ἰδιωτικῶν πραγμάτων (πυκνοτάτας γὰρ ταῦτα λαμβάνει τὰς μεταβολὰς), μείζω δὲ καὶ φανερώτερα τοῖς ἀκούουσιν, ἐκ τῶν ἡμῖν καὶ Λακεδαιμονίοις συμβάντων.

γ'. Ἡμεῖς τε γὰρ, ἀναστάτου μὲν τῆς πόλεως ὑπὸ τῶν βαρβάρων γενομένης, διὰ τὸ δεδιέναι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν, ἐπρωτεύσαμεν τῶν Ἑλλήνων· ἐπειδὴ δ' ἀνυπέρβλητον ᾠήθημεν ἔχειν τὴν δύναμιν, παρὰ μικρὸν ἤλθομεν ἐξανδραποδισθῆναι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Λακεδαιμόνιοί τε, τὸ μὲν παλαιὸν ἐκ φαύλων τε καὶ μικρῶν πόλεων ὁρμηθέντες, διὰ τὸ σωφρόνως ζῆν, καὶ στρατιωτικῶς, κατέσχον Πελοπόννησον· μετὰ δὲ ταῦτα μείζω φρονήσαντες τοῦ δέοντος, καὶ λαβόντες καὶ τὴν κατὰ γῆν καὶ τὴν κατὰ θάλατταν ἀρχὴν, εἰς τοὺς αὐτοὺς ἡμῖν κινδύνους κατέστησαν. Ὅστις οὖν εἰδὼς τοσαύτας μεταβολὰς γεγενημένας, καὶ τηλικαύτας δυνάμεις οὕτω ταχέως ἀναιρεθείσας, πιστεύει τοῖς παροῦσιν, ἀνόητός ἐστιν, ἄλλως τε καὶ τῆς μὲν πόλεως ἡμῶν πολὺ καταδεέστερον νῦν πραττούσης, ἢ κατ' ἐκεῖνον τὸν χρόνον, τοῦ δὲ μίσους τοῦ τῶν Ἑλλήνων, καὶ τῆς ἔχθρας τῆς πρὸς τὸν βασιλέα, πάλιν ἀνακεκαινισμένης, ἃ τότε κατεπολέμησεν ἡμᾶς.

δ'. Ἀπορῶ δὲ πότερον ὑπολάβω μηδὲν μέλειν ὑμῖν τῶν κοινῶν πραγμάτων, ἢ φροντίζειν μὲν αὐτῶν, εἰς τοῦτο δ' ἀναισθησίας ἥκειν, ὥστε λανθάνειν ὑμᾶς εἰς ὅσην ταραχὴν ἡ πόλις ἡμῶν καθέστηκεν. Ἐοίκατε γὰρ οὕτω διακειμένοις ἀνθρώποις, οἵτινες ἁπάσας μὲν τὰς πόλεις τὰς ἐπὶ Θράκης ἀπολωλεκότες, πλείω δ' ἢ χίλια τάλαντα μάτην εἰς τοὺς ξένους ἀπαναλωκότες, πρὸς δὲ τοὺς Ἕλληνας διαβεβλημένοι, καὶ τῷ βαρβάρῳ πολέμιοι γεγονότες, ἔτι δὲ τοὺς μὲν Θηβαίων φίλους σώζειν ἠναγκασμένοι, τοὺς δὲ ἡμετέρους αὐτῶν συμμάχους ἀπολωλεκότες, ἐπὶ τοσαύταις πράξεσιν εὐαγγέλια μὲν δὶς ἤδη τεθύκαμεν, ῥᾳθυμότερον δὲ περὶ αὐτῶν ἐκκλησιάζομεν, τῶν πάντα τὰ δέοντα πραττόντων. Καὶ ταῦτ' εἰκότως καὶ ποιοῦμεν, καὶ πάσχομεν· οὐδὲν γὰρ οἷόν τε γίγνεσθαι κατὰ τρόπον, τοῖς μὴ καλῶς περὶ τῆς διοικήσεως ὅλης βεβουλευμένοις, ἀλλ' ἐὰν καὶ κατορθώσωσι περί τινας πράξεις, ἢ διὰ τύχην, ἢ δι' ἀνδρὸς ἀρετὴν, μικρὸν διαλιπόντες, πάλιν εἰς τὰς αὐτὰς ἀπορίας κατέστησαν. Καὶ ταῦτα γνοίη τις ἂν ἐκ τῶν περὶ ἡμᾶς γενομένων.

ε. Ἁπάσης γὰρ τῆς Ἑλλάδος ὑπὸ τὴν πόλιν ἡμῶν ὑποπεσούσης, καὶ μετὰ τὴν Κόνωνος ναυμαχίαν, καὶ μετὰ τὴν Τιμοθέου στρατηγίαν, οὐδένα χρόνον τὰς εὐτυχίας κατασχεῖν ἠδυνήθημεν, ἀλλὰ ταχέως διεσκαριφησάμεθα, καὶ διελύσαμεν αὐτάς. Πολιτείαν γὰρ τὴν ὀρθῶς ἂν τοῖς πράγμασι χρησομένην, οὔτ' ἔχομεν, οὔτε λαβεῖν ζητοῦμεν. Καί τοι τὰς εὐπραγίας ἅπαντες ἴσμεν καὶ παραγι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γνομένας, καὶ παραμενούσας, οὐ τοῖς τείχη μέγιστα καὶ κάλλιστα περιβεβλημένοις, οὐδὲ τοῖς μετὰ πλείστων ἀνθρώπων εἰς τὸν αὐτὸν τόπον ἠθροισμένοις, ἀλλὰ τοῖς ἄριστα καὶ σωφρονέστατα τὴν αὑτῶν διοικοῦσιν. Ἔστι γὰρ ψυχὴ πόλεως οὐδὲν ἄλλο, ἡ πολιτεία, τοσαύτην ἔχουσα δύναμιν, ὅσην περ ἐν σώματι φρόνησις. Αὕτη γάρ ἐστιν ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα. Ταύτῃ καὶ τοὺς νόμους, καὶ τοὺς ῥήτορας, καὶ τοὺς ἰδιώτας ἀναγκαῖόν ἐστιν ὁμοιοῦσθαι, καὶ πράττειν οὕτως ἑκάστους, οἵαν περ ἂν αὐτὴν ἔχωσιν. Ἧς ἡμεῖς διεφθαρμένης οὐδὲν φροντίζομεν, οὐδὲ σκοποῦμεν ὅπως ἐπανορθώσομεν αὐτήν· ἀλλ' ἐπὶ μὲν τῶν δικαστηρίων, τῶν καθεστηκότων κατηγοροῦμεν, καὶ λέγομεν, ὡς οὐδέποτε ἐν δημοκρατίᾳ κάκιον ἐπολιτεύθημεν· ἐν δὲ τοῖς πράγμασι, καὶ ταῖς διανοίαις αἷς ἔχομεν, μᾶλλον αὐτὴν ἀγαπῶμεν τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης. Ὑπὲρ ἧς ἐγὼ καὶ τὸν λόγον μέλλω ποιεῖσθαι, καὶ τὴν πρόσοδον ἀπεγραψάμην.

ς'. Εὑρίσκω γὰρ ταύτην ἂν μόνην γενομένην, καὶ τῶν μελλόντων κινδύνων ἀποτροπὴν, καὶ τῶν παρόντων κακῶν ἀπαλλαγὴν, ἣν ἐθελήσωμεν ἐκείνην τὴν δημοκρατίαν ἀναλαβεῖν, ἣν Σόλων μὲν, ὁ δημοτικώτατος γενόμενος, ἐνομοθέτησε, Κλεισθένης δὲ, ὁ τοὺς τυράννους ἐκβαλὼν καὶ τὸν δῆμον καταγαγὼν, πάλιν ἐξ ἀρχῆς κατέστησεν. Ἧς οὐκ ἂν εὕροιμεν οὔτε δημοτικωτέραν, οὔτε μᾶλλον τῇ πόλει συμφέρουσαν. Τεκμήριον δὲ μέγιστον· οἱ μὲν γὰρ ἐκείνῃ χρώμενοι, πολλὰ καὶ καλὰ διαπραξάμενοι, καὶ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντες, παρ' ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἔλαβον· οἱ δὲ τῆς νῦν παρούσης ἐπιθυμήσαντες, ὑπὸ πάντων μισηθέντες, καὶ πολλὰ καὶ δεινὰ παθόντες, μικρὸν ἀπέλιπον τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. Καί τοι πῶς χρὴ ταύτην τὴν πολιτείαν ἐπαινεῖν ἢ στέργειν, τὴν τοσούτων μὲν κακῶν πρότερον αἰτίαν γενομένην, νῦν δὲ καθ' ἕκαστον ἐνιαυτὸν ἐπὶ τὸ χεῖρον ἀεὶ φερομένην; πῶς δ' οὐ δεῖ δεδιέναι, μὴ, τοσαύτης ἐπιδόσεως γιγνομένης, τελευτῶντες εἰς τραχύτερα πράγματα τῶν τότε γενομένων ἐξοκείλωμεν;

ζ'. Ἵνα δὲ μὴ συλλήβδην μόνον ἀκηκόητε, ἀλλ' ἀκριβῶς εἰδό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τες, ποιῆσθε καὶ τὴν αἵρεσιν καὶ τὴν κρίσιν περὶ αὐτῶν, ὑμέτερον μὲν ἔργον ἐστὶ παρασχεῖν ὑμᾶς αὐτοὺς προσέχοντας τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις· ἐγὼ δὲ, ὡς ἂν δύνωμαι συντομώτατα, πειράσομαι περὶ ἀμφοτέρων τούτων διελθεῖν πρὸς ὑμᾶς.

ή. Οἱ γὰρ κατ' ἐκεῖνον τὸν χρόνον τὴν πόλιν διοικοῦντες, κατεστήσαντο πολιτείαν, οὐκ ὀνόματι μὲν τῷ κοινοτάτῳ καὶ πραοτάτῳ προσαγορευομένην, ἐπὶ δὲ τῶν πράξεων οὐ τοιαύτην τοῖς ἐντυγχάνουσι φαινομένην· οὐδὲ τὸν τρόπον τοῦτον ἐπαίδευον τοὺς πολίτας, ὥσθ' ἡγεῖσθαι τὴν μὲν ἀκολασίαν δημοκρατίαν, τὴν δὲ παρανομίαν ἐλευθερίαν, τὴν δὲ παῤῥησίαν ἰσονομίαν, τὴν δὲ ἐξουσίαν τοῦ πάντα ποιεῖν εὐδαιμονίαν· ἀλλὰ καὶ μισοῦσα καὶ κολάζουσα τοὺς τοιούτους, βελτίους καὶ σωφρονεστέρους ἅπαντας τοὺς πολίτας ἐποίησε. Μέγιστον δὲ αὐτοῖς συνεβάλετο πρὸς τὸ καλῶς οἰκεῖν τὴν πόλιν, ὅτι δυοῖν ἰσοτήτοιν νομιζομέναιν εἶναι, καὶ τοῖς μὲν ταὐτὸν ἅπασιν ἀπονεμούσης, τῆς δὲ πρὸς τὸ προσῆκον ἑκάστοις, οὐκ ἠγνόουν τούτων τὴν χρησιμωτέραν· ἀλλὰ τὴν μὲν τῶν αὐτῶν ἀξιοῦσαν τοὺς χρηστοὺς καὶ τοὺς πονηροὺς ἀπεδοκίμαζον, ὡς οὐ δικαίαν οὖσαν· τὴν δὲ κατ' ἀξίαν ἕκαστον τιμῶσαν καὶ κολάζουσαν προῃροῦντο, καὶ διὰ ταύτης ᾤκουν τὴν πόλιν, οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες, ἀλλὰ τοὺς βελτίστους, καὶ τοὺς ἱκανωτάτους, ἐφ' ἕκαστον τῶν ἔργων προκρίνοντες. Τοιούτους γὰρ ἤλπιζον ἔσεσθαι καὶ τοὺς ἄλλους, οἷοί περ ἂν ὦσιν οἱ τῶν πραγμάτων ἐπιστατοῦντες. Ἔπειτα καὶ δημοτικωτέραν ἐνόμιζον ταύτην εἶναι τὴν κατάστασιν, τῆς διὰ τοῦ λαγχάνειν γιγνομένης. Ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύειν, καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς ὀλιγαρχίας ἐπιθυμοῦντας· ἐν δὲ τῷ προκρίνειν τοὺς ἐπιεικεστάτους, τὸν δῆμον ἔσεσθαι κύριον ἐλέσθαι τοὺς ἀγαπῶντας μάλιστα τὴν καθεστῶσαν πολιτείαν.

θ'. Αἴτιον δ' ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν, καὶ μὴ περιμαχήτους εἶναι τὰς ἀρχὰς, ὅτι μεμελετηκότες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι, καὶ μὴ τῶν μὲν οἰκείων ἀμελεῖν, τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν· μηδ' ἐκ τῶν δημοσίων τὰ σφέτερ' αὐτῶν διοικεῖν, ἀλλ' ἐκ τῶν ἑκάστοις ὑπαρχόντων, ὁπότε δεήσειε, καὶ τοῖς κοινοῖς ἐπαρκεῖν, μηδ' ἀκριβέστερον εἰδέναι τὰς ἐκ τῶν ἀρχείων προσό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δους, ἢ τὰς ἐκ τῶν ἰδίων γιγνομένας αὐτοῖς. Οὕτω δὲ ἀπείχοντο τῶν τῆς πόλεως, ὥστε χαλεπώτερον ἦν ἐν ἐκείνοις τοῖς χρόνοις εὑρεῖν τοὺς βουλομένους ἄρχειν, ἢ νῦν τοὺς μηδὲν δεομένους· οὐ γὰρ ἐμπορίαν, ἀλλὰ λειτουργίαν ἐνόμιζον εἶναι τὴν τῶν κοινῶν ἐπιμέλειαν· οὐδ' ἀπὸ τῆς πρώτης ἡμέρας ἐσκόπουν, εἴ τι λῆμμα παραλελοίπασιν οἱ πρότερον ἄρχοντες, ἀλλὰ πολὺ μᾶλλον, εἴ τινος πράγματος κατημελήκασι τῶν τέλος ἔχειν κατεπειγόντων. Ὡς δὲ συντόμως εἰπεῖν, ἐκεῖνοι διεγνωκότες ἦσαν, ὅτι δεῖ τὸν μὲν δῆμον ὥσπερ τύραννον καθιστᾶναι τὰς ἀρχάς, καὶ κολάζειν τοὺς ἐξαμαρτάνοντας, καὶ κρίνειν περὶ τῶν ἀμφισβητουμένων· τοὺς δὲ σχολὴν ἄγειν δυναμένους, καὶ βίον ἱκανὸν κεκτημένους, ἐπιμελεῖσθαι τῶν κοινῶν ὥς περ [τῶν] οἰκειοτάτων· καὶ δικαίους μὲν γενομένους ἐπαινεῖσθαι καὶ στέργειν ταύτην τὴν τιμήν, κακῶς δὲ διοικήσαντας, μηδεμιᾶς συγγνώμης τυγχάνειν, ἀλλὰ ταῖς μεγίσταις ζημίαις περιπίπτειν. Καίτοι πῶς ἄν τις ταύτης ἢ βεβαιοτέραν, ἢ δικαιοτέραν δημοκρατίαν εὕροι, τῆς τοὺς μὲν δυνατωτάτους ἐπὶ τὰς πράξεις καθιστάσης, αὐτῶν δὲ τούτων τὸν δῆμον κύριον ποιούσης;

ί. Τὸ μὲν οὖν σύνταγμα τῆς πολιτείας τοιοῦτον ἦν αὐτοῖς. Ῥᾴδιον δ' ἐκ τούτων καταμανθάνειν, ὡς καὶ τὰ καθ' ἡμέραν ἑκάστην ὀρθῶς καὶ νομίμως πράττοντες διετέλεσαν. Ἀνάγκη γὰρ τοὺς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις πεποιημένους, καὶ κατὰ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις.

ιά. Καὶ πρῶτον μὲν τὰ περὶ τοὺς θεούς (ἐντεῦθεν γὰρ ἄρξασθαι δίκαιον εἶναί μοι δοκεῖ) οὐκ ἀνωμάλως οὐδ' ἀτάκτως, οὔτ' ἐθεράπευον οὔτ' ὠργίζοντο· οὐδ', εἴποτε μὲν δόξειεν αὐτοῖς, τριακοσίας βοῦς ἔπεμπον· ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλειπον· οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτὰς, αἷς ἑστιάσις τις προσείη, μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν ἀπὸ μισθωμάτων ἔθυον· ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν, ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσουσι, μήτ' ἔξω τῶν νομιζομένων προσθήσουσιν. Οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. Τοιγάρτοι καὶ τὰ παρὰ τῶν θεῶν οὐκ ἐμπλήκτως, οὐδὲ ταραχωδῶς αὐτοῖς συ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νέβαινεν, ἀλλ' εὐκαίρως, καὶ πρὸς τὴν ἐργασίαν τῆς χώρας, καὶ πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν.

ιϐ'. Παραπλησίως δὲ τοῖς προειρημένοις καὶ τὰ πρὸς σφᾶς αὐτοὺς διῴκουν. Οὐ γὰρ μόνον περὶ τῶν κοινῶν ὡμονόουν, ἀλλὰ καὶ περὶ τὸν ἴδιον βίον τοσαύτην ἐποιοῦντο πρόνοιαν ἀλλήλων, ὅσην περ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ πατρίδος κοινωνοῦντας. Οἵ τε γὰρ πενέστεροι τῶν πολιτῶν τοσοῦτον ἀπεῖχον τοῦ φθονεῖν τοῖς πλείω κεκτημένοις, ὥστε ὁμοίως ἐκήδοντο τῶν οἴκων τῶν μεγάλων, ὥς περ τῶν σφετέρων αὐτῶν, ἡγούμενοι τὴν ἐκείνων εὐδαιμονίαν αὐτοῖς εὐπορίαν ὑπάρχειν· οἵ τε τὰς οὐσίας ἔχοντες, οὐχ ὅπως ὑπερεώρων τοὺς καταδεέστερον πράττοντας, ἀλλ' ὑπολαμβάνοντες αἰσχύνην αὐτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν, ἐπήμυνον ταῖς ἐνδείαις, τοῖς μὲν γεωργίας ἐπὶ μετρίαις μισθώσεσι παραδιδόντες, τοὺς δὲ κατ' ἐμπορίαν ἐκπέμποντες, τοῖς δὲ εἰς τὰς ἄλλας ἐργασίας ἀφορμὴν παρέχοντες. Οὐδὲ γὰρ ἐδεδίεσαν, μὴ δυοῖν θάτερον πάθοιεν, ἢ πάντων στερηθεῖεν, ἢ, πολλὰ πράγματα σχόντες, μέρος τι κομίσαιντο τῶν πρόσθεν ὄντων· ἀλλ' ὁμοίως ἐθάῤῥουν περὶ τῶν ἔξω διδομένων, ὥς περ περὶ τῶν ἔνδον ἀποκειμένων. Ἑώρων γὰρ τοὺς περὶ τῶν τοιούτων κρίνοντας, οὐ ταῖς ἐπιεικείαις καταχρωμένους, ἀλλὰ τοῖς νόμοις πειθομένους· οὐδ' ἐν τοῖς τῶν ἄλλων ἀγῶσιν αὐτοῖς ἀδικεῖν ἐξουσίαν παρασκευάζοντας, ἀλλὰ μᾶλλον ὀργιζομένους τοῖς ἀποστεροῦσιν αὐτῶν τῶν ἀδικουμένων, καὶ νομίζοντας, διὰ τοὺς ἄπιστα τὰ συμβόλαια ποιοῦντας, μείζω βλάπτεσθαι τοὺς πένητας τῶν πολλὰ κεκτημένων· τοὺς μὲν γὰρ, ἢν παύσωνται προσποιούμενοι, μικρῶν προσόδων ἀποστερήσεσθαι· τοὺς δὲ, ἂν ἀπορήσωσι τῶν ἐπαρκούντων, εἰς τὴν ἐσχάτην ἔνδειαν καταστα θήσεσθαι. Καὶ γάρ τοι διὰ ταύτην τὴν γνώμην οὔτε ἀπεκρύπτετο τὴν οὐσίαν, οὔτε ὤκνει συμβάλλειν οὐδείς, ἀλλ' ἤδιον ἑώρων τοὺς δανειζομένους, ἢ τοὺς ἀποδιδόντας. Ἀμφότερα γὰρ αὐτοῖς συνέβαινεν, ἅπερ ἂν βουληθεῖεν ἄνθρωποι γοῦν ἔχοντες· ἅμα γὰρ τούς τε πολίτας ὠφέλουν, καὶ τὰ σφέτερ' αὐτῶν ἐνεργὰ καθίστασαν. Κεφάλαιον δὲ τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν· αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν, οἷς περ κατὰ τὸ δίκαιον ὑπῆρχον, αἱ δὲ χρήσεις ἐπίσης κοιναὶ πᾶσι τοῖς δεομένοις τῶν πολιτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιγ΄. Ἴσως ἂν οὖν τινες ἐπιτιμήσειαν τοῖς εἰρημένοις, ὅτι τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένας, τὰς δὲ αἰτίας οὐ ῥᾴζω, δι' ἃς οὕτω καλῶς καὶ πρὸς σφᾶς αὐτοὺς εἶχον, καὶ τὴν πόλιν διῴκουν. Ἐγὼ δὲ οἶμαι μὲν εἰρηκέναι τι καὶ τοιοῦτον· οὐ μὴν ἀλλ' ἔτι πλείω καὶ σαφέστερον πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

ιδ΄. Ἐκεῖνοι γὰρ οὐκ ἐν μὲν ταῖς παιδείαις πολλοὺς τοὺς ἐπιστατοῦντας εἶχον, ἐπειδὴ δ' εἰς ἄνδρας δοκιμασθεῖεν, ἐξῆν αὐτοῖς ποιεῖν ὅ,τι βουληθεῖεν, ἀλλ' ἐν αὐταῖς ταῖς ἀκμαῖς πλείονος ἐπιμελείας ἐτύγχανον, ἢ παῖδες ὄντες. Οὕτω γὰρ οἱ πρόγονοι ἡμῶν περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας· ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν, πλὴν τοῖς καλῶς γεγονόσι, καὶ πολλὴν ἀρετὴν καὶ σωφροσύνην ἐν τῷ βίῳ ἐνδεδειγμένοις, ὥστε πάντων αὐτὴν εἰκότως διενεγκεῖν τῶν ἐν τοῖς Ἕλλησι συνεδρίων.

ιέ. Σημείοις δ' ἄν τις χρήσαιτο περὶ τῶν τότε καθεστώτων, καὶ τοῖς ἐν τῷ παρόντι γιγνομένοις· ἔτι γὰρ καὶ νῦν ἁπάντων τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκιμασίαν ταύτην καθημένων, ἴδοιμεν ἂν τοὺς ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπειδὰν εἰς Ἄρειον πάγον ἀναβῶσιν, ὀκνοῦντας τῇ φύσει χρῆσθαι, καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις ἢ ταῖς αὑτῶν κακίαις ἐμμένοντας. Τοσοῦτον ἐκεῖνοι φόβον τοῖς πονηροῖς ἐναπειργάσαντο, καὶ τοσοῦτον μνημεῖον ἐν τῷ τόπῳ τῆς ἑαυτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον.

ις΄. Τὴν δὴ τοιαύτην, ὡς περ εἶπον, κυρίαν ἐποίησαν ἐπιμελεῖσθαι τῆς εὐταξίας, οἳ τοὺς μὲν οἰομένους ἐνταῦθα βελτίστους ἄνδρας γίγνεσθαι, παρ' οἷς οἱ νόμοι μετὰ πλείστης ἀκριβείας κείμενοι τυγχάνουσιν, ἀγνοεῖν ἐνόμιζον. Οὐδὲν γὰρ κωλύειν, ὁμοίους ἅπαντας εἶναι τοὺς Ἕλληνας, ἕνεκά γε τοῦ ῥᾴδιον εἶναι τὰ γράμματα λαβεῖν παρ' ἀλλήλων. Ἀλλὰ γὰρ οὐκ ἐκ [τῶν] τοιούτων τὴν ἐπίδοσιν εἶναι τῆς ἀρετῆς, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων. Τοὺς γὰρ πολλοὺς τοῖς ἤθεσιν ἀποβαίνειν ὁμοίους ἀνάγκη, ἐν οἷς ἂν ἕκαστοι παιδευθῶσιν· ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων, σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πόλιν αὐτήν. Ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν ἁμαρτημάτων, πολλοὺς τίθεσθαι τοὺς νόμους ἀναγκάζεσθαι. Δεῖν δὲ τοὺς εὖ πολιτευομένους οὐ τὰς στοὰς ἐμπιπλάναι γραμμάτων, ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον. Οὐ γὰρ τοῖς ψηφίσμασιν, ἀλλὰ τοῖς ἤθεσι, καλῶς οἰκεῖσθαι τὰς πόλεις. Καὶ τοὺς μὲν κακῶς τεθραμμένους, καὶ τοὺς ἀκριβῶς τῶν νόμων ἀναγεγραμμένους τολμήσειν παραβαίνειν, τοὺς δ' ἀσφαλῶς πεπαιδευμένους, καὶ τοῖς κακῶς κειμένοις ἐθελήσειν ἐμμένειν. Ταῦτα δὲ διανοηθέντες, οὐ τοῦτο πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας, ἀλλ' ἐξ ὧν κατασκευάσουσι, μηδὲν αὐτοὺς ἄξιον ζημίας βουλήσεσθαι ἁμαρτάνειν. Ἡγοῦντο γὰρ, τοῦτο μὲν αὐτῶν ἔργον εἶναι, τὸ δὲ περὶ τὰς τιμωρίας σπουδάζειν, τοῖς ἐχθροῖς προσήκειν.

ιζ'. Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, μάλιστα δὲ τῶν νεωτέρων. Ἐώρων γὰρ τοὺς τηλικούτους ταραχωδέστατα διακειμένους, καὶ πλείστων γέμοντας ἐπιθυμιῶν· καὶ τὰς ψυχὰς αὐτῶν παιδευθῆναι μάλιστα δεομένας ἐν ἐπιθυμίαις καλῶν ἐπιτηδευμάτων, καὶ πόνοις ἡδονὰς ἔχουσιν· ἐν μόνοις γὰρ ἂν τούτοις ἐμμένειν τοὺς ἐλευθέρως τεθραμμένους, καὶ μεγαλοφρονεῖν εἰθισμένους. Ἅπαντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς ἄγειν διατριβὰς οὐχ οἷόν τ' ἦν, ἀνωμάλως τὰ περὶ τὸν βίον ἔχοντας· ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως ἑκάστοις προσέττατον. Τοὺς μὲν γὰρ ὑποδεέστερον πράττοντας, ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας ἔτρεπον, εἰδότες, τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας. Ἀναιροῦντες οὖν τὴν ἀρχὴν τῶν κακῶν, ἀπαλλάξειν ᾤοντο καὶ τῶν ἄλλων ἁμαρτημάτων, τῶν μετ' ἐκείνων γιγνομένων. Τοὺς δὲ βίον ἱκανὸν κεκτημένους, περί τε ἱππικὴν, καὶ τὰ γυμνάσια, καὶ τὰ κυνηγέσια, καὶ τὴν φιλοσοφίαν, ἀνάγκασαν διατρίβειν· ὁρῶντες, ἐκ τούτων, τοὺς μὲν διαφέροντας γιγνομένους, τοὺς δὲ τῶν πλείστων κακῶν ἀπισχομένους.

ιή. Καὶ ταῦτ' οὐ, νομοθετήσαντες, τὸν λοιπὸν χρόνον ὠλιγώρουν· ἀλλὰ διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας, τὴν δὲ χώραν κατὰ δήμους, ἐθεώρουν τὸν βίον τὸν ἑκάστου, καὶ τοὺς ἀκοσμοῦντας εἰς τὴν βουλὴν ἦγον. Ἡ δὲ, τοὺς μὲν ἐνουθέτει, τοῖς δὲ ἀπείλει, τοὺς δὲ ὡς προσῆκεν ἐκόλαζεν· ἀπίστατο γὰρ, ὅτι δύο τρό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποι τυγχάνουσιν ὄντες, οἱ καὶ προτρέποντες ἐπὶ τὰς ἀδικίας, καὶ παύοντες τῶν πονηριῶν. Παρ' οἷς μὲν γὰρ μήτε φυλακὴ, μήτε ζημία τῶν τοιούτων καθέστηκε, μήθ' αἱ κρίσεις ἀκριβεῖς εἰσι, παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν φύσεων· ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν ἐστι, μήτε φανεροῖς γενομένοις συγγνώμης τυχεῖν, ἐνταῦθα δ' ἐξιτήλους γίγνεσθαι τὰς κακοηθείας· ἅπερ ἐκεῖνοι γιγνώσκοντες, ἀμφοτέροις κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις. Τοσούτου γὰρ ἐδέοντο αὐτοὺς λανθάνειν οἱ κακόν τι δεδρακότες, ὥστε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαι προησθάνοντο. Τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφίοις οἱ νεώτεροι διέτριβον, οὐδ' ἐν ταῖς αὐλητρίσιν, οὐδ' ἐν τοῖς τοιούτοις συλλόγοις, ἐν οἷς νῦν διημερεύουσιν· ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἔμενον, ἐν οἷς ἐτάχθησαν, θαυμάζοντες καὶ ὁμιλοῦντες τοὺς ἐν τούτοις πρωτεύοντας. Οὕτω δὲ ἔφευγον τὴν ἀγοράν, ὥστε εἴ καί ποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο ποιοῦντες. Ἀντειπεῖν δὲ τοῖς πρεσβυτέροις, ἢ λοιδορήσασθαι, δεινότερον ἐνόμιζον εἶναι, ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτάνειν. Ἐν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν, οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησε· σεμνύνεσθαι δὲ ἐμελέτων καὶ οὐ βωμολοχεύεσθαι· καὶ τοὺς εὐτραπέλους δὲ, καὶ σκώπτειν δυναμένους, οὓς νῦν εὑρεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς ἐνόμιζον.

ιθ'. Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι πρὸς τοὺς ταύτην ἔχοντας τὴν ἡλικίαν. Οὔτε γὰρ ἡγοῦμαι τούτους αἰτίους εἶναι τῶν γιγνομένων, σύνοιδά τε τοῖς πλείστοις αὐτῶν ἥκιστα χαίρουσι ταύτῃ τῇ καταστάσει, δι' ἣν ἔξεστιν αὐτοῖς, ἐν ταῖς ἀκολασίαις ταύταις διατρίβειν· ὥστε οὐκ ἂν εἰκότως τούτοις ἐπιτιμῴημεν· ἀλλὰ πολὺ ἂν δικαιότερον τοῖς ὀλίγῳ πρὸ ἡμῶν τὴν πόλιν διοικήσασιν· ἐκεῖνοι γὰρ ἦσαν οἱ τὴν ἀρχὴν προτρέψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας, *καὶ* καταλύσαντες τὴν τῆς βουλῆς δύναμιν.

κ'. Ἧς ἐπιστατούσης, οὐ δικῶν, οὐδ' ἐγκλημάτων, οὐδὲ εἰσφορῶν, οὐδὲ πενίας, οὐδὲ πολέμων, ἡ πόλις ἤγαγεν· ἀλλὰ καὶ πρὸς ἀλλήλους ἡσυχίαν εἶχον, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας εἰρήνην ἦγον. Παρεῖχον γὰρ σφᾶς αὐτοὺς τοῖς μὲν Ἕλλησι πιστοὺς,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς δὲ βαρβάροις φοβερούς· τοὺς μὲν γὰρ σεσωκότες ἦσαν, παρὰ δὲ τῶν, δίκην τηλικαύτην εἰληφότες, ὥστε ἀγαπᾶν ἐκείνους, εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν. Τοιγάρτοι *διὰ ταῦτα* μετὰ τοσαύτης ἀσφαλείας διῆγον, ὥστε καλλίους εἶναι καὶ πολυτελεστέρας τὰς οἰκήσεις, καὶ τὰς ἐπισκευὰς, τὰς ἐπὶ τῶν ἀγρῶν, ἢ τὰς ἐντὸς τείχους, καὶ πολλοὺς τῶν πολιτῶν μηδ' εἰς τὰς ἑορτὰς εἰς ἄστυ καταβαίνειν, ἀλλὰ αἱρεῖσθαι μένειν ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς μᾶλλον, ἢ τῶν κοινῶν ἀπολαύειν. Οὐδὲ γὰρ τὰ περὶ τὰς θεωρίας, ὧν ἕνεκ' ἄν τις ἦλθεν, ἀσελγῶς, οὐδ' ὑπερηφάνως, ἀλλὰ νουνεχόντως ἐποίουν. Οὐ γὰρ ἐκ τῶν πομπῶν, οὐδ' ἐκ τῶν περὶ τὰς χορηγίας φιλονεικιῶν, οὐδ' ἐκ τῶν τοιούτων ἀλαζονειῶν τὴν εὐδαιμονίαν ἐδοκίμαζον, ἀλλ' ἐκ τοῦ σωφρόνως οἰκεῖν καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν, καὶ τοῦ μηδένα τῶν πολιτῶν ἀπορεῖν τῶν ἐπιτηδείων. Ἐξ ὧν περ χρὴ κρίνειν τοὺς ὡς ἀληθῶς εὖ πράττοντας, καὶ μὴ φορτικῶς πολιτευομένους. Ἐπεὶ νῦν γε τίς οὐκ ἂν ἐπὶ τοῖς γιγνομένοις τῶν εὖ φρονούντων ἀλγήσειεν; ὅταν ἴδῃ τινὰς τῶν πολιτῶν, αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων, εἴθ' ἔξουσιν εἴτε μὴ, πρὸ τῶν δικαστηρίων κληρουμένους, τῶν δ' Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βουλομένους, τρέφειν ἀξιοῦντας, καὶ χορεύοντας μὲν ἐν χρυσοῖς ἱματίοις, χειμάζοντας δ' * ἐν τούτοις * ἐν οἷς οὐ βούλομαι λέγειν· καὶ τοιαύτας ἄλλας ἐναντιώσεις περὶ τὴν τοιαύτην διοίκησιν γιγνομένας, αἳ μεγάλην αἰσχύνην περιποιοῦσι τῇ πόλει.

κά. Ὧν οὐδὲν ἦν ἐπ' ἐκείνης τῆς βουλῆς. Ἀπήλλαξε γὰρ τοὺς μὲν πένητας τῶν ἀποριῶν ταῖς ἐργασίαις, καὶ ταῖς παρὰ τῶν ἐχόντων ὠφελείαις· τοὺς δὲ νεωτέρους τῶν ἀκολασιῶν, τοῖς ἐπιτηδεύμασι καὶ ταῖς αὐτῶν ἐπιμελείαις· τοὺς δὲ πολιτευομένους τῶν πλεονεξιῶν, ταῖς τιμωρίαις, καὶ τῷ μὴ λανθάνειν τοὺς ἀδικοῦντας· τοὺς δὲ πρεσβυτέρους τῶν ῥᾳθυμιῶν, ταῖς τιμαῖς ταῖς πολιτικαῖς, καὶ ταῖς παρὰ τῶν νεωτέρων θεραπείαις. Καί τοι πῶς ἂν γένοιτο ταύτης πλείονος ἀξία πολιτεία, τῆς οὕτω καλῶς ἁπάντων τῶν πραγμάτων ἐπιμεληθείσης;

κβ. . . . . .

κέ. Τῶν τοίνυν ἄλλων πόλεων ταῖς ἐπιφανεστάταις καὶ μεγάλαις, ἂν ἐξετάζειν βουληθῶμεν, εὑρήσομεν τὰς δημοκρατίας μᾶλ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λον, ἢ τὰς ὀλιγαρχίας συμφερούσας. Ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ἣ πάντες ἐπιτιμῶσιν, ἣν παραβάλωμεν ταύτην, μὴ πρὸς τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν, ἀλλὰ πρὸς τὴν ἐπὶ τῶν τριάκοντα καταστᾶσαν, οὐδεὶς ὅστις οὐκ ἂν θεοποίητον εἶναι νομίσειεν.

κγ'. Βούλομαι δ', εἰ καί τίμε φήσουσιν ἔξω τῆς ὑποθέσεως λέγειν, δηλῶσαι καὶ διελθεῖν, ὅσον αὕτη τῆς τότε διέστηκεν· ἵνα μηδεὶς οἴηταί με, τὰ μὲν ἁμαρτήματα τοῦ δήμου λίαν ἀκριβῶς ἐξετάζειν, εἰ δέ τι καλὸν ἢ σεμνὸν διαπέπρακται, ταῦτα παραλιπεῖν. Ἔσται δ' ὁ λόγος οὔτε μακρὸς, οὔτ' ἀνωφελὴς τοῖς ἀκούουσιν.

κζ'. Ἐπειδὴ γὰρ τὰς ναῦς τὰς περὶ τὸν Ἑλλήσποντον ἀπωλέσαμεν, καὶ ταῖς ἀτυχίαις ἐκείναις ἡ πόλις περιέπεσε, τίς οὐκ οἶδε τῶν πρεσβυτέρων, τοὺς μὲν δημοτικοὺς καλουμένους, ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν, ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον, καὶ δεινὸν ἡγουμένους, εἴ τις ὄψεται τὴν πόλιν τὴν τῶν Ἑλλήνων ἄρξασαν, ὑφ' ἑτέροις οὖσαν, καὶ τούτους μὲν ἐκσπόνδους γενομένους; τοὺς δὲ τῆς ὀλιγαρχίας ἐπιθυμήσαντας, ἑτοίμως καὶ τὰ τείχη καθαιροῦντας, καὶ τὴν δουλείαν ὑπομένοντας; καὶ τότε μὲν, ὅτε τὸ πλῆθος κύριον ἦν τῶν πραγμάτων, ἡμᾶς τὰς τῶν ἄλλων ἀκροπόλεις φρουροῦντας; ἐπειδὴ δὲ οἱ τριάκοντα παρέλαβον τὴν πολιτείαν, τοὺς πολεμίους τὴν ἡμετέραν ἔχοντας; καὶ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον δεσπότας ἡμῶν ὄντας Λακεδαιμονίους; ἐπειδὴ δὲ οἱ φεύγοντες, κατελθόντες, πολεμεῖν ὑπὲρ τῆς ἐλευθερίας ἐτόλμησαν, καὶ Κόνων ναυμαχῶν ἐνίκησε, πρέσβεις ἐλθόντας παρ' αὐτῶν, καὶ διδόντας τῇ πόλει τὴν ἀρχὴν τῆς θαλάττης; Καὶ μὲν δὴ, καὶ τάδε τίς οὐ μνημονεύει τῶν ἡλικιωτῶν τῶν ἐμῶν; τὴν μὲν δημοκρατίαν, οὕτω κοσμήσασαν τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις, ὥστε ἔτι καὶ νῦν τοὺς ἀφικνουμένους νομίζειν αὐτὴν ἀξίαν εἶναι μὴ μόνον τῶν Ἑλλήνων ἄρχειν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων; τοὺς δὲ τριάκοντα τῶν μὲν ἀμελήσαντας, τοὺς δὲ συλήσαντας, τοὺς δὲ νεωσοίκους ἐπὶ καθαιρέσει, τριῶν ταλάντων ἀποδομένους, εἰς οὓς ἡ πόλις ἀνάλωσεν οὐκ ἐλάττω χιλίων ταλάντων; Ἀλλὰ μὴν οὐδὲ τὴν πραότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων μᾶλλον, ἢ τὴν τῆς δημοκρατίας. Οἱ μὲν γὰρ,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ψηφίσματι παραλαβόντες τὴν πόλιν, πεντακοσίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, εἰς δὲ τὸν Πειραιᾶ φεύγειν πλείους ἢ πεντακισχιλίους ἠνάγκασαν· οἱ δὲ, κρατήσαντες, καὶ μεθ' ὅπλων κατιόντες, αὐτοὺς τοὺς αἰτιωτάτους τῶν κακῶν ἀνελόντες, οὕτω τὰ πρὸς τοὺς ἄλλους καλῶς καὶ νομίμως διῴκησαν, ὥστε μηδὲν ἔλαττον ἔχειν τοὺς ἐκβαλόντας τῶν κατελθόντων.

κή. Ὁ δὲ πάντων κάλλιστον τεκμήριον καὶ μέγιστον τῆς ἐπιεικείας τοῦ δήμου· δανεισαμένων γὰρ τῶν ἐν ἄστει μεινάντων ἑκατὸν τάλαντα παρὰ Λακεδαιμονίων, εἰς τὴν πολιορκίαν τῶν τὸν Πειραιᾶ κατεχόντων, ἐκκλησίας γενομένης περὶ ἀποδόσεως τῶν χρημάτων, καὶ λεγόντων πολλῶν, ὡς δίκαιόν ἐστι διαλύειν τὰ πρὸς τοὺς Λακεδαιμονίους, μὴ τοὺς πολιορκουμένους, ἀλλὰ τοὺς δανεισαμένους, ἔδοξε τῷ δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπόδοσιν. Καὶ γάρ τοι διὰ ταύτην τὴν γνώμην εἰς τοιαύτην ἡμᾶς ὁμόνοιαν κατέστησαν, καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίησαν, ὥστε Λακεδαιμονίους, τοὺς ἐπὶ τῆς ὀλιγαρχίας ὀλίγου δεῖν καθ' ἑκάστην ἡμέραν ἡμῖν προστάττοντας, ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας, καὶ δεησομένους, μὴ περιϊδεῖν σφᾶς αὐτοὺς ἀναστάτους ὑπὸ Θηβαίων γενομένους. Τὸ δ' οὖν κεφάλαιον τῆς ἑκατέρων διανοίας, τοιοῦτον ἦν· οἱ μὲν γὰρ ἠξίουν, τῶν μὲν πολιτῶν ἄρχειν, τοῖς δὲ πολεμίοις δουλεύειν, οἱ δὲ τῶν μὲν ἄλλων ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν.

κθ'. Ταῦτα δὲ διῆλθον δυοῖν ἕνεκεν· πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξαι βουλόμενος, οὐκ ὀλιγαρχιῶν, οὐδὲ πλεονεξιῶν, ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας· ἔπειτα, τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας, ἐλαττόνων συμφορῶν αἰτίας γιγνομένας, τάς τε καλῶς πολιτευομένας, προσεχούσας, τῷ δικαιοτέρας εἶναι, καὶ κοινοτέρας, καὶ τοῖς χρωμένοις ἡδίους.

λ'. . . . . .

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ε) ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ
Ἢ
ΣΥΜΜΑΧΙΚΟΥ (1).

Ὑπόθεσις ἐκ τῶν Διονυσίου τοῦ Ἁλικαρνασσέως.

ΤΙΣ ἂν μᾶλλον ἐπὶ τὴν δικαιοσύνην καὶ τὴν εὐσέβειαν προτρέψαιτο, καθ' ἕκαστόν τε ἄνδρα ἰδίᾳ καὶ κοινῇ τὰς πόλεις ὅλας, τοῦ περὶ τῆς εἰρήνης λόγου; Ἐν γὰρ δὴ τούτῳ πείθει τοὺς Ἀθηναίους, τῶν μὲν ἀλλοτρίων μὴ ἐπιθυμεῖν, ἐπὶ δὲ τοῖς παροῦσι στέργειν· καὶ τῶν μὲν μικρῶν πόλεων ὥσπερανεὶ κτημάτων φείδεσθαι, τοὺς δὲ συμμάχους εὐνοίᾳ τε καὶ εὐεργεσίαις πειρᾶσθαι κατέχειν, ἀλλὰ μὴ ταῖς ἀνάγκαις, μηδὲ ταῖς βίαις· τῶν δὲ προγόνων μιμεῖσθαι μὴ τοὺς πρὸ τῶν Δεκελειϰῶν γενομένους, οἳ μικροῦ ἐδέησαν ἀπολέσαι τὴν πόλιν, ἀλλὰ τοὺς πρὸ τῶν Περσικῶν, οἳ καλοκαγαθίαν ἀσκοῦντες διετέλεσαν. Ἐπιδείκνυταί τε ὡς οὐχ αἱ πολλαὶ τριήρεις, οὐδ' οἱ μετὰ βίας ἀρχόμενοι Ἕλληνες, μεγάλην ποιοῦσι τὴν πόλιν, ἀλλ' αἱ δίκαιαί τε προαιρέσεις, καὶ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν. Παρακαλεῖ τε τὴν τῶν Ἑλλήνων εὔνοιαν, οἰκείαν ποιεῖν τῇ πόλει, μεγίστην ἡγούμενος πρὸς εὐδαιμονίαν, καὶ πολεμικοὺς μὲν εἶναι ταῖς παρασκευαῖς καὶ ταῖς μελέταις, εἰρηνικοὺς δὲ τῷ μηδένα μηδὲν ἀδικεῖν· διδάσκων, ὡς οὔτε πρὸς πλοῦτον, οὔτε πρὸς δόξαν, οὐθ' ὅλως πρὸς εὐδαιμονίαν, οὐθὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσην ἀρετὴ καὶ τὰ μέρη ταύτης· καὶ τοῖς μὴ ταὐτὰ ὑπειληφόσιν ἐπιτιμῶν, οἳ τὴν μὲν ἀδικίαν κερδαλέαν ἡγοῦνται, καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν, τὴν δὲ δικαιοσύνην ἀλυσιτελῆ, καὶ μᾶλλον ἑτέρους ἢ τοὺς ἔχουσιν ὠφέλιμον. Τούτων γὰρ οὐκ οἶδ' εἴ τις ἂν βελτίους, ἢ ἀληθεστέρους, ἢ μᾶλλον πρέποντας φιλοσοφίᾳ, δύναιτο λόγους εἰπεῖν.

ά. . . . . .

ε'. Ἐγὼ δ' οἶδα μέν, ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι, δημοκρατίας οὔσης, οὐκ ἔστι παῤῥησία, πλὴν ἐνθάδε μὲν τοῖς ἀφρονεστάτοις, καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τῷ θεάτρῳ τοῖς κωμῳδοδιδασκάλοις. Ὅ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα, τοσαύτην ἔχετε χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι, πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως, ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. Ὅμως δὲ, καὶ τούτων ὑπαρχόντων, οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. Παρελήλυθα γὰρ, οὐ χαριούμενος ὑμῖν, οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ' ἀποφανούμενος ἃ τυγχάνω γιγνώ-

(1) Α. Κοραῆ, Ἑλλην. Βιβλιοθ. Τόμ. Α'. σελ. 156 καὶ ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σκων, πρῶτον μὲν, περὶ ὧν οἱ Πρυτάνεις προτιθέασιν, ἔπειτα καὶ περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων. Οὐδὲν γὰρ ὄφελός ἐστι τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα.

ς'. Φημὶ δ' οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην, μὴ μόνον πρὸς Χίους, καὶ Ῥοδίους, καὶ Βυζαντίους, ἀλλὰ καὶ πρὸς ἅπαντας ἀνθρώπους· καὶ χρῆσθαι ταῖς συνθήκαις, μὴ ταύταις αἷς νῦν τινες γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι, καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι, καὶ τὴν αὑτῶν ἔχειν ἑκάστους. Τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν, οὔτε μᾶλλον τῇ πόλει συμφερούσας.

ζ'. Ἢν μὲν οὖν ἐνταῦθα καταλίπω τὸν λόγον, οἶδ' ὅτι δόξω τὴν πόλιν ἐλαττοῦν, εἰ Θηβαῖοι μὲν ἕξουσι Θεσπιὰς καὶ Πλαταιὰς, καὶ τὰς ἄλλας πόλεις, ἃς παρὰ τοὺς ὅρκους κατειλήφασιν, ἡμεῖς δὲ ἕξιμεν, μηδεμιᾶς ἀνάγκης οὔσης, ἐξ ὧν τυγχάνομεν ἔχοντες. Ἢν δὲ διὰ τέλους ἀκούσητέ μου προσέχοντες τὸν νοῦν, οἶμαι πάντας ἂν ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν εἶναι νομιζόντων, καὶ τῶν τὰς ἀλλοτρίας πόλεις κατεχόντων βίᾳ, καὶ μὴ λογιζομένων τὰς συμφορὰς, τὰς ἐκ τῶν τοιούτων ἔργων γιγνομένας. Ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ λόγου πειράσομαι διδάσκειν ὑμᾶς.

η'. Περὶ δὲ τῆς εἰρήνης πρῶτον διαλεχθῶμεν, καὶ σκεψώμεθα τί ἂν ἐν τῷ παρόντι γενέσθαι βουληθείημεν ἡμῖν. Ἢν γὰρ καλῶς ταῦτα ὁρισώμεθα, καὶ νουνεχόντως, πρὸς ταύτην τὴν ὑπόθεσιν ἀποβλέποντες, ἄμεινον βουλευσόμεθα καὶ περὶ τῶν ἄλλων.

θ'. Ἆρ' οὖν ἂν ἐξαρκέσειεν ἡμῖν, εἰ τήν τε πόλιν ἀσφαλῶς οἰκοῖμεν, καὶ τὰ πρὸς τὸν βίον εὐπορώτεροι γιγνοίμεθα, καὶ τά τε πρὸς ἡμᾶς αὐτοὺς ὁμονοοῖμεν, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν εὐδοκιμοῖμεν; Ἐγὼ μὲν γὰρ ἡγοῦμαι, τούτων ὑπαρξάντων, τελέως τὴν πόλιν πάλιν εὐδαιμονήσειν. Ὁ μὲν τοίνυν πόλεμος ἁπάντων ἡμᾶς τῶν εἰρημένων ἀπεστέρηκε· καὶ γάρ τοι πενεστέρους πεποίηκε, καὶ πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε, καὶ πρὸς τοὺς Ἕλληνας διαβέβληκε, καὶ πάντα τρόπον τεταλαιπώρηκεν ἡμᾶς. Ἢν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ τὴν εἰρήνην ποιησώμεθα, καὶ τοιούτους ἡμᾶς αὐτοὺς παράσχωμεν, οἵους αἱ κοιναὶ συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν ἀσφαλείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων καὶ κινδύνων καὶ ταραχῆς, εἰς ἣν νῦν πρὸς ἀλλήλους καθέσταμεν· καθ' ἑκάστην δὲ τὴν ἡμέραν εἰς εὐπορίαν ἐπιδώσομεν, ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν καὶ τῶν τριηραρχιῶν, καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλεμον λειτουργιῶν, ἀδεῶς δὲ γεωργοῦντες, καὶ τὴν θάλατταν πλέοντες, καὶ ταῖς ἄλλαις ἐργασίαις ἐπιχειροῦντες, αἳ νῦν διὰ τὸν πόλεμον ἐκλελοίπασιν. Ὀψόμεθα δὲ τὴν πόλιν διπλασίας μὲν ἢ νῦν τὰς προσόδους λαμβάνουσαν, μεστὴν δὲ γενομένην ἐμπόρων καὶ ξένων καὶ μετοίκων, ὧν νῦν ἔρημος καθέστηκε. Τὸ δὲ μέγιστον, συμμάχους ἕξομεν ἅπαντας ἀνθρώπους, οὐ βεβιασμένους, ἀλλὰ πεπεισμένους· οὐδ' ἐν μὲν ταῖς ἀσφαλείαις διὰ τὴν δύναμιν ἡμᾶς ὑποδεξομένους, ἐν δὲ τοῖς κινδύνοις ἀποστησομένους, ἀλλ' οὕτω διακειμένους, ὥσπερ χρὴ τοὺς ἀληθῶς συμμάχους καὶ φίλους ὄντας. Πρὸς δὲ τούτοις, ἃ νῦν ἀπολαβεῖν οὐ δυνάμεθα διὰ πολέμου καὶ πολλῆς δαπάνης, ταῦτα διὰ πρεσβείας ῥᾳδίως κομιούμεθα. Μὴ γὰρ οἴεσθε, μήτε Κερσοβλέπτην ὑπὲρ Χερρονήσου, μήτε Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἡμῖν πολεμήσειν, ὅταν ἴδωσιν ἡμᾶς μηδενὸς τῶν ἀλλοτρίων ἐφιεμένους. Νῦν μὲν γὰρ εἰκότως φοβοῦνται γείτονα ποιήσασθαι τὴν πόλιν ταῖς αὐτῶν δυναστείαις· ὁρῶσι γὰρ ἡμᾶς οὐ στέργοντας οἷς ἂν ἔχωμεν, ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγομένους. Ἢν δὲ μεταβαλώμεθα τὸν τρόπον, καὶ δόξαν βελτίω λάβωμεν, οὐ μόνον ἀποστήσονται τῆς ἡμετέρας, ἀλλὰ καὶ τῆς αὐτῶν προσδώσουσι. Λυσιτελήσει γὰρ αὐτοῖς, θεραπεύουσι τὴν δύναμιν τὴν τῆς πόλεως, ἀσφαλῶς ἔχειν τὰς αὐτῶν βασιλείας. Καὶ μὲν δὴ καὶ τῆς Θράκης ἡμῖν ἐξέσται τοσαύτην ἀποτεμέσθαι χώραν, ὥστε μὴ μόνον αὐτοὺς ἄρθονον ἔχειν, ἀλλὰ καὶ τοῖς δεομένοις τῶν Ἑλλήνων, καὶ δι' ἀπορίαν πλανωμένοις, ἱκανὸν βίον παρασχεῖν. Ὅπου γὰρ Ἀθηνόδωρος καὶ Καλλίστρατος, ὁ μὲν ἰδιώτης ὤν, ὁ δὲ φυγάς, οἰκίσαι πόλεις οἷοί τε γεγόνασιν, ἧπου, βουληθέντες ἡμεῖς, πολλοὺς ἂν τόπους τοιούτους δυνηθείημεν κατασχεῖν. Χρὴ δὲ τοὺς πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἀξιοῦντας, τοιούτων ἔργων ἡγεμόνας γίγνεσθαι πολὺ μᾶλλον,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἢ πολέμου καὶ στρατοπέδου ξενικοῦ, ὧν νῦν ἡμεῖς ἐπιθυμοῦντες τυγχάνομεν.

ί. Περὶ μὲν οὖν ὧν οἱ πρέσβεις ἐπαγγέλλονται, καὶ ταῦθ' ἱκανὰ, καὶ πολλὰ ἂν ἴσως τις προσθείη τούτοις. Ἡγοῦμαι δὲ δεῖν ἡμᾶς, οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην, ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσαμένους, ὅπως ἄξομεν αὐτὴν, καὶ μὴ ποιήσομεν ὅπερ εἰώθαμεν, ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς καταστήσόμεθα ταραχὰς, μηδ' ἀναβολὴν, ἀλλ' ἀπαλλαγὴν εὑρήσομέν τινα τῶν κακῶν τῶν παρόντων. Οὐδὲν δὲ τούτων οἷόν τ' ἐστι γενέσθαι πρότερον, πρὶν ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης, τὴν δὲ δικαιοσύνην, τῆς ἀδικίας, τὴν δὲ τῶν ἰδίων ἐπιμέλειαν, τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας· περὶ ὧν οὐδεὶς πώποτε τῶν ῥητόρων εἰπεῖν[ἐν ἡμῖν] ἐτόλμησεν. Ἐγὼ δὲ περὶ αὐτῶν τούτων τοὺς πλείστους τῶν λόγων μέλλω ποιεῖσθαι πρὸς ὑμᾶς· ὁρῶ γὰρ τὴν εὐδαιμονίαν ἐν τούτοις ἐνοῦσαν, ἀλλ' οὐκ ἐν οἷς τυγχάνομεν πράττοντες. Ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δημηγορεῖν, καὶ τὰς ὑμετέρας γνώμας μεταστῆσαι βουλόμενον, πολλῶν πραγμάτων ἅψασθαι, καὶ διὰ μακροτέρων τοὺς λόγους ποιήσασθαι· καὶ τὰ μὲν ἀναμνῆσαι, τῶν δὲ κατηγορῆσαι, τὰ δ' ἐπαινέσαι, περὶ δὲ τῶν, συμβουλεῦσαι· μόλις γὰρ ἄν τις ὑμᾶς ἐξ ἁπάντων τούτων ἐπὶ τὸ βέλτιον φρονῆσαι δυνηθείη προαγαγεῖν.

ιά. . . . . .

ιγ'. Ἠβουλόμην δ' ἄν, ὥσπερ πρόχειρόν ἐστιν ἐπαινέσαι τὴν ἀρετὴν, οὕτω καὶ ῥᾴδιον εἶναι πεῖσαι τοὺς ἀκούοντας ἀσκεῖν αὐτήν· νῦν δὲ δέδοικα μὴ μάτην τὰ τοιαῦτα λέγω. Διεφθάρμεθα γὰρ πολὺν χρόνον ὑπὸ ἀνθρώπων, οὐδὲν ἀλλ' ἢ φενακίζειν δυναμένων, οἳ τοσοῦτον τοῦ πλήθους καταπεφρονήκασιν, ὥσθ' ὅταν βουληθῶσι πόλεμον πρός τινας ἐξενεγκεῖν, αὐτοὶ χρήματα λαμβάνοντες, λέγειν τολμῶσιν, ὡς χρὴ τοὺς προγόνους μιμεῖσθαι, καὶ μὴ περιορᾶν ἡμᾶς αὐτοὺς καταγελωμένους, μηδὲ τὴν θάλατταν πλέοντας τοὺς μὴ τὰς συντάξεις ἐθέλοντας ἡμῖν ὑποτελεῖν.

ιδ'. Ἡδέως ἂν οὖν αὐτῶν πυθοίμην, τίσιν ἡμᾶς τῶν προγεγενημένων ὁμοίους κελεύουσι γίγνεσθαι; πότερον τοῖς περὶ τὰ Περ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σικὰ γενομένοις, ἢ τοῖς πρὸ τοῦ πολέμου τοῦ Δεκελεικοῦ τὴν πόλιν διοικήσασιν; Εἰ μὲν γὰρ τούτοις, οὐδὲν ἄλλ' ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύειν· εἰ δὲ τοῖς ἐν Μαραθῶνι νικήσασι, καὶ τοῖς πρὸ αὐτῶν γεγενημένοις, πῶς οὐχ ἁπάντων ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ τοὺς τότε πολιτευομένους ἐπαινοῦντες, τἀναντία πράττειν ἐκείνοις πείθουσιν ἡμᾶς, καὶ τοιαῦτ' ἐξαμαρτάνειν, περὶ ὧν καὶ ἀπορῶ τί ποιήσω· πότερα χρήσωμαι ταῖς ἀληθείαις, ὥσπερ καὶ περὶ τῶν ἄλλων, ἢ κατασιωπήσω, δείσας τὴν πρὸς ὑμᾶς ἀπέχθειαν;

ιέ. Δοκεῖ μὲν γάρ μοι βέλτιον εἶναι διαλεχθῆναι περὶ αὐτῶν· ὁρῶ δὲ ὑμᾶς χαλεπώτερον διατιθεμένους πρὸς τοὺς ἐπιτιμῶντας, ἢ πρὸς τοὺς αἰτίους τῶν κακῶν γεγενημένους. Οὐ μὴν ἀλλ' αἰσχυνθείην ἄν, εἰ φανείην μᾶλλον φροντίζων τῆς ἐμαυτοῦ δόξης, ἢ τῆς κοινῆς σωτηρίας. Ἐμὸν οὖν ἔργον ἐστὶ, καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως, προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους, ἀλλὰ τοὺς ὠφελιμωτάτους· ὑμᾶς δὲ χρὴ πρῶτον μὲν τοῦτο γιγνώσκειν, ὅτι τῶν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται, ταῖς δὲ ψυχαῖς ταῖς νοσούσαις, καὶ γεμούσαις πονηρῶν ἐπιθυμιῶν, οὐδέν ἐστιν ἄλλο φάρμακον πλὴν λόγος ὁ τολμῶν τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν· ἔπειθ' ὅτι καταγέλαστόν ἐστι, τὰς μὲν καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλαγῶμεν, τοὺς δὲ λόγους ἀποδοκιμάζειν, πρὶν εἰδέναι σαφῶς, εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν, ὥστ' ὠφελῆσαι τοὺς ἀκούοντας.

ις΄. Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος, ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω ποιεῖσθαι τοὺς λόγους πρὸς ὑμᾶς. Τίς γὰρ ἂν, ἄλλοθεν ἐπελθών, καὶ μήπω συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν; οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἔχομεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλ' ἅπαν τοὐναντίον. Οἱ μὲν γὰρ ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν, ἡμεῖς δὲ τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον ποριζομένους, ἐκεῖθεν ἀναστήσαντες, ἐπὶ τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἕλληνας ἠγάγομεν. Κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν ἐκείνοις τιμὴν ἔξομεν· οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας, τήν τε πατρίδα τὴν αὐτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκησαν, ἡμεῖς δὲ οὐδ' ὑπὲρ τῆς ἡμετέρας αὐτῶν πλεονεξίας κινδυνεύειν ἀξιοῦμεν, ἀλλ' ἄρχειν μὲν ἁπάντων ζητοῦμεν, στρατεύεσθαι δ' οὐκ ἐθέλομεν· καὶ πόλεμον μὲν μικροῦ δεῖν πρὸς ἅπαντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦτον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν, ἀλλὰ ἀνθρώπους αἱρούμεθα τοὺς μὲν ἀπόλιδας, τοὺς δ' αὐτομόλους, τοὺς δὲ ἐκ τῶν ἄλλων κακουργιῶν συνειλοχότας, οἷς ὁπόταν τις πλείω μισθὸν διδῷ, μετ' ἐκείνου ἐφ' ἡμᾶς ἀκολουθήσουσιν. Ἀλλ' ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν παίδων τῶν ἡμετέρων, εἰ περί τινας ἐξαμάρτοιεν, οὐκ ἂν ἐθελήσαιμεν δίκας ὑποσχεῖν, ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς καὶ βίας καὶ πλεονεξίας, μελλόντων τῶν ἐγκλημάτων ἐφ' ἡμᾶς ἥξειν, οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν, ὅταν ἀκούσωμεν αὐτοὺς τοιοῦτό τι διαπραττομένους. Εἰς τοῦτο δὲ μωρίας ἐληλύθαμεν, ὥστ' αὐτοὶ μὲν ἐνδεεῖς ἐσμὲν τῶν καθ' ἡμέραν, ξενοτροφεῖν δὲ ἐπικεχειρήκαμεν, καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν λυμαινόμεθα, καὶ δασμολογοῦμεν, ἵνα τοῖς ἁπάντων κοινοῖς ἐχθροῖς τὸν μισθὸν ἐκπορίζωμεν. Τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν, εἰ πολεμεῖν πρός τινας ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὐτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν· ἡμεῖς δ' εἰς τοσαύτην ἀπορίαν ἐληλυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας, μισθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις. Καὶ τότε μὲν, εἰ τριήρεις πληροῖεν, τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας εἰσεβίβαζον, τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξέπεμπον, νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν· ὥσθ' ὁπόταν ἀ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες, ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις, οἵους ὀλίγῳ πρότερον διῆλθον, μεθ' ὅπλων κινδυνεύουσιν.

ιζ'. Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς διοικούμενα, καὶ περὶ τῶν ἄλλων θαῤῥήσειεν· ἀλλ' οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστ' ἀγανακτήσειεν; Οἴτινες αὐτόχθονες μὲν εἶναι φαμὲν, καὶ τὴν πόλιν ταύτην πρωτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δὲ ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν, τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων, καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦμεν ἐπὶ τῷ βέλτιον γεγονέναι τῶν ἄλλων, ῥᾴον δὲ μεταδίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας, ἢ Τριβαλλοὶ καὶ Λευκανοὶ τῆς αὑτῶν δυσγενείας. Πλείστους δὲ τιθέμενοι νόμους, οὕτως ὀλίγον αὐτῶν φροντίζομεν (ἓν γὰρ ἀκούσαντες, γνώσεσθε καὶ περὶ τῶν ἄλλων), ὥστε, θανάτου τῆς ζημίας ἐπικειμένης, ἤν τις ἀλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι τῶν πολιτῶν δυνηθέντα, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν· σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧττον, ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας, ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας, δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον ἐμποιοῦντας, ὡς τῆς δημοκρατίας κηδομένους, εὔνους εἶναι νομίζομεν· ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες, οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γιγνώσκομεν, ἀλλ' ὧν μὲν, πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι, κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν δὲ χρόνον διαλείποντες, τοῖς ἐνταῦθα ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν· προσποιούμενοι δὲ σοφώτατοι τῶν Ἑλλήνων εἶναι, τοιούτοις συμβούλοις χρώμεθα, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειεν, καὶ τοὺς αὐτοὺς τούτους κυρίους τῶν κοινῶν ἁπάντων καθίσταμεν, οἷς οὐδεὶς ἂν τῶν ἰδίων οὐδὲν ἐπιτρέψειε. Τὸ δὲ πάντων σχετλιώτατον· οὓς γὰρ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τούτους πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας εἶναι· καὶ τοὺς μὲν μετοίκους τοιούτους εἶναι νομίζομεν, οἵους περ ἂν τοὺς προστάτας νέμωσιν, αὐτοὶ δὲ οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προεστῶσιν ἡμῶν. Τοσοῦτον δὲ διαφέρομεν τῶν προγόνων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας τῆς πόλεως ἐποιοῦντο, καὶ στρατηγοὺς ἥροῦντο, νομίζοντες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα συμβουλεῦσαι δυνάμενον, τὸν αὐτὸν τοῦτον ἄριστ' ἂν βουλεύσασθαι καὶ καθ' αὑτὸν γενόμενον. Ἡμεῖς δὲ τοὐναντίον τούτων ποιοῦμεν· οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις χρώμεθα, τούτους μὲν οὐκ ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν, ὡς νοῦν οὐκ ἔχοντας, οἷς δ' οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων, οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο, τούτους δ' αὐτοκράτορας ἐκπέμπομεν, ὡς ἐκεῖ σοφωτέρους ἐσομένους, καὶ ῥᾷον βουλευσομένους περὶ τῶν Ἑλληνικῶν πραγμάτων καὶ πολιτικῶν, ἢ περὶ τῶν ἐνθάδε προτιθεμένων. Λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς λεγομένοις ὄντων. Ἐπιλίποι δ' ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ πάσας τὰς πλημμελείας, τὰς ἐν τοῖς πράγμασι γεγενημένας, ἐξετάζειν ἐπιχειροίην.

ιή. . . . . .

μά. Θαυμάζω δ' εἰ μὴ δύνασθε συνιδεῖν, ὅτι γένος οὐδέν ἐστι κακονούστερον τῷ πλήθει πονηρῶν ῥητόρων καὶ δημαγωγῶν. Πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς, καὶ τῶν καθ' ἡμέραν ἑκάστην ἀναγκαίων, οὗτοι μάλιστα βούλονται σπανίζειν ὑμᾶς· ὁρῶσι γὰρ τοὺς μὲν ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ' αὐτῶν διοικεῖν, τῆς πόλεως ὄντας, καὶ τῶν τὰ βέλτιστα λεγόντων, τοὺς δ' ἀπὸ τῶν δικαστηρίων ζῶντας καὶ τῶν ἐκκλησιῶν, καὶ τῶν ἐντεῦθεν λημμάτων, ὑφ' αὑτοῖς, διὰ τὴν ἔνδειαν, ἠναγκασμένους εἶναι, καὶ πολλὴν χάριν ἔχοντας ταῖς εἰσαγγελίαις, καὶ ταῖς γραφαῖς, καὶ ταῖς ἄλλαις συκοφαντίαις, ταῖς δι' αὐτῶν γιγνομέναις. Ἐν οὖν ταῖς ἀπορίαις, ἐν αἷς αὐτοὶ δυναστεύουσιν, ἐν ταύταις ᾔδιστ' ἂν ἴδοιεν ἅπαντας ὄντας τοὺς πολίτας. Τεκμήριον δὲ μέγιστον· οὐ γὰρ τοῦτο σκοποῦσιν, ἐξ ὅτου τρόπου τοῖς δεομένοις τὸν βίον ἐκποριοῦσιν, ἀλλ' ὅπως καὶ τοὺς ἔχειν τι δοκοῦντας τοῖς ἀπόροις ἐξισώσουσι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μβ'. Τίς οὖν ἀπαλλαγὴ γένοιτ' ἂν τῶν παρόντων κακῶν; Διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ ἐφεξῆς, ἀλλ' ὡς ἕκαστον τῷ καιρῷ συνέπιπτε· μᾶλλον δ' ἂν ὑμῖν ἐγγένοιτο μνημονεύειν, εἰ συναγαγὼν τὰ μάλιστα κατεπείγοντα, πάλιν ἐπανελθεῖν αὐτὰ πειραθείην.

μγ'. Ἔστι δ' ἐξ ὧν ἐπανορθώσαιμεν τὰ τῆς πόλεως, καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν, ἂν συμβούλους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν, οἵους περ ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθείημεν, καὶ παυσώμεθα δημοτικοὺς μὲν νομίζοντες εἶναι τοὺς συκοφάντας, ὀλιγαρχικοὺς δὲ τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν· γνόντες, ὅτι φύσει μὲν οὐδεὶς οὐδέτερον τούτων ἐστὶν, ἐν ᾗ δ' ἕκαστοι τιμῶνται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν.

μδ'. Δεύτερον, ἂν ἐθελήσωμεν χρῆσθαι τοῖς συμμάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις, καὶ μὴ λόγῳ μὲν * αὐτοὺς * αὐτονόμους ἀριθῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτοὺς, ὅ,τι ἂν βούλωνται ποιεῖν, ἐνδιδῶμεν, μηδὲ δεσποτικῶς, ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν· ἐκεῖνο καταμαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης τῶν πόλεων κρείττους ἐσμὲν, ἁπασῶν δι' ἥττους.

με. Τρίτον δὲ, ἂν μηδὲν περὶ πλείονος ἡγῆσθε, μετάγε τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν, τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· τοῖς γὰρ οὕτω διακειμένοις ἑκόντες καὶ τὰς ἡγεμονίας, καὶ σφᾶς αὐτοὺς, ἐνδιδόασιν.

μς'. Ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς τούτοις ὑμᾶς αὐτοὺς παράσχητε, πολεμικοὺς μὲν ὄντας ταῖς μελέταις καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πράττειν, οὐ μόνον εὐδαίμονα ποιήσετε ταύτην τὴν πόλιν, ἀλλὰ καὶ τοὺς Ἕλληνας ἅπαντας. Οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ' ὀκνήσουσι καὶ πολλὴν ἡσυχίαν ἕξουσιν, ὅταν ἴδωσιν ἐφεδρεύουσαν τὴν ἡμετέραν πόλιν, καὶ παρεσκευασμένην τοῖς ἀδικουμένοις βοηθεῖν. Οὐ μὴν ἀλλ', ὁπότερον ἂν ποιῶσι, τόγ' ἡμέτερον καλῶς ἕξει, καὶ συμφέροντως. Ἢν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις ἀπέχεσθαι τούτων τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγαθῶν τὴν αἰτίαν ἕξομεν· ἢν τε ἐπιχειρῶσιν ἀδικεῖν, ἐφ' ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σχοντες καταφεύξονται, πολλὰς ἱκεσίας καὶ δεήσεις ποιούμενοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν, ἀλλὰ καὶ σφᾶς αὐτούς. Ὥς' οὐκ ἀπορήσομεν μεθ' ὧν κωλύσομεν τοὺς ἐξαμαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν τοὺς ἑτοίμως συναγωνιζομένους ἡμῖν. Ποία γὰρ πόλις, ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει μετασχεῖν τῆς φιλίας, καὶ τῆς συμμαχίας τῆς ἡμετέρας, ὅταν ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους ὄντας, καὶ μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς μὲν ἄλλους σώζειν καὶ βουλομένους καὶ δυναμένους, αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους; Πόσην δὲ χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι, τοιαύτης εὐνοίας παρὰ τῶν ἄλλων ὑπαρξάσης; πόσον δὲ πλοῦτον εἰσρυήσεσθαι εἰς τὴν πόλιν, δι' ἡμῶν ἁπάσης τῆς Ἑλλάδος σωζομένης; τίνας δ' οὐκ ἐπαινέσεσθαι τοὺς τοσούτων καὶ τηλικούτων ἀγαθῶν αἰτίους γεγενημένους; Ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν ἡλικίαν ἅπαντα τῷ λόγῳ περιλαβεῖν, ἃ τυγχάνω τῇ διανοίᾳ καθορῶν· πλὴν ὅτι καλόν ἐστιν, ἐν ταῖς τῶν ἄλλων ἀδικίαις, καὶ μανίαις, πρώτους εὖ φρονήσαντας, προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ σωτῆρας ἀλλὰ μὴ λυμεῶνας αὐτῶν κληθῆναι, καὶ περιβλέπτους ἐπ' ἀρετῇ γενομένους, τὴν δόξαν τῶν προγόνων ἀναλαβεῖν.

μζ'. Κεφάλαιον δὲ πάντων ἐκεῖνο ἔχω λέγειν, εἰς ὃ πάντα τὰ προειρημένα συντείνει, καὶ πρὸς ὃ χρὴ βλέποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν. Δεῖ γὰρ ἡμᾶς, εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς διαβολάς, ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς τυραννικὰς ἀρχάς, καὶ τὰς δυναστείας, ἀναλογιζομένους τὰς συμφορὰς τὰς ἀπ' αὐτῶν γεγησομένας, ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὴν Λακεδαιμονίων βασιλείαν. Ἐκείνοις γὰρ ἀδικεῖν μὲν ἧττον ἔξεστιν, ἢ τοῖς ἰδιώταις· τοσούτῳ δὲ μακαριστότεροι τυγχάνουσιν ὄντες τῶν βίᾳ τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ μὲν τοὺς τοιούτους ἀποκτείναντες τὰς μεγίστας δωρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν· ὑπὲρ ἐκείνων δὲ οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνήσκειν, ἀτιμότεροι γίγνονται τῶν τὰς τάξεις λειπόντων, καὶ τὰς ἀσπίδας ἀποβαλλόντων. Ἄξιον οὖν ὀρέγεσθαι τῆς τοιαύτης ἡ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γεμονίας. Ἔνεστι δ' ἐν τοῖς τοιούτοις πράγμασιν ἡμᾶς τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τοιαύτης τιμῆς, ἣν περ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν, ἢν ὑπολάβωσι τὴν δύναμιν τὴν ἡμετέραν, μὴ δουλείας, ἀλλὰ σωτηρίας αὐτοῖς αἰτίαν γενήσεσθαι.

μή. Πολλῶν δὲ καὶ παντοδαπῶν λόγων ἐνόντων περὶ τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου, καὶ τὸ πλῆθος τῶν ἐμῶν ἐτῶν. Τοῖς δὲ νεωτέροις, καὶ μᾶλλον ἀκμάζουσιν ἢ ἐγὼ, παραινῶ καὶ παρακελεύομαι τοιαῦτα λέγειν καὶ γράφειν, ἐξ ὧν τὰς μεγίστας τῶν πόλεων, καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέχειν, προτρέψουσιν ἐπ' ἀρετὴν καὶ δικαιοσύνην· ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις συμβαίνει καὶ τὰ τῶν φιλοσόφων πράγματα πολλῷ βελτίω γίγνεσθαι.

γ) ΕΚ ΤΟΥ ΠΑΝΑΘΗΝΑΪΚΟΥ (1).

Ὑπόθεσις.

ΔΙΑ τί Παναθηναϊκὸς ἐπιγέγραπται ὁ προκείμενος λόγος, οὐ πάνυ τι ῥᾴδιον συνιδεῖν. Ἢ ῥητέον ὅτι τὸν χρόνον ὁ ῥήτωρ ᾑρεῖτο διὰ τούτου δηλῶσαι, καθ' ὃν ἤρξατο τοῦ γράφειν αὐτόν, καὶ ὃν εἰκὸς τοὺς μεγάλοις Παναθηναίοις συμπεσεῖν, ὡς γοῦν ἔξεστιν εἰκάσαι ἐξ ὧν λέγει περὶ τῶν μικρὸν πρὸ τῆς ἑορτῆς ταύτης διαβαλόντων αὐτὸν σοφιστῶν. Ἢ καὶ ὅτι δι' ὅλου σχεδὸν τοῦ λόγου, Ἀθηναίους ἐγκωμιάζων, καὶ τὰς πράξεις αὐτῶν μείζους τε καὶ καλλίους τῶν Λακεδαιμονίοις πεπραγμένων ἐπιδεῖξαι σπουδάζων, Παναθηναϊκὸν εἰκότως τὸν λόγον ἐπέγραψε· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὰ τῶν Ἀθηναίων οὐ πρότερον ἐπὶ μέγα δόξης τε καὶ δυνάμεως ἦρθη, πρὶν ὑπὸ Θησέως εἰς μίαν πόλιν, τὰς Ἀθήνας, συνῳκίσθησαν, δι' ὃν συνῳκισμὸν καὶ ἡ τῆς Ἀθηνᾶς ἑορτὴ, Ἀθήναια τέως καλουμένη, Παναθήναια μετωνομάσθη. Μνημονεύει δὲ ἄλλως καὶ τοῦ συνοικίσαντος Θησέως πολλαχοῦ τοῦ λόγου. Καὶ ταῦτα μὲν περὶ τῆς ἐπιγραφῆς. Ὁ δὲ λόγος, καίπερ οὐκ ὀλίγης μεστὸς πρεσβυτικῆς πολυλογίας τε καὶ περιαυτολογίας, ἣν οὐκ ἔστιν ὅστις ἂν, μὴ πικρὸς εἶναι βουλόμενος δικαστὴς, οὐ συγγνοίη ἔτη γεγονότι τέσσαρα πρὸς τοῖς ἐννενήκοντα τῷ Ἰσοκράτει, ὅτε γράφειν αὐτὸν ἤρχετο, τοσούτοις ὅμως καὶ τοιούτοις κεκόσμηται φιλοσόφοις παραγγέλμασιν, ἅπασιν ἀνθρώποις κοινῇ προσήκουσι, τοσούτοις δὲ καὶ τοῖς πρὸς Ἀθηναίους ἰδίᾳ νουθετήμασιν, ὥστ' ἔγωγε τὸν λόγον, γῆρας μὲν, ἀλλὰ γῆρας λέοντος, ἐμφαίνειν οὐκ ἂν ὀκνήσαιμι φῆσαι.

ά. . . . . .

γ'. Πειρώμενος γὰρ ἀναμαρτήτως ζῆν καὶ τοῖς ἄλλοις ἀλύπως,

---

(1) Α. Κοραὴ Ἕλλην. Βιβλιοθ. Τόμ. Α', σελ. 232 κ' ἑπόμ. καὶ Τόμ. Β', σελ. 176.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδένα διαλέλοιπα χρόνον, ὑπὸ μὲν τῶν σοφιστῶν τῶν ἀδοκίμων καὶ πονηρῶν διαβαλλόμενος, ὑπ' ἄλλων δέ τινων οὐχ οἷός εἰμι γιγνωσκόμενος, ἀλλὰ τοιοῦτος ὑπολαμβανόμενος, οἷον ἂν παρ' ἑτέρων ἀκούσωσι. Βούλομαι οὖν προδιαλεχθῆναι περί τε ἐμαυτοῦ, καὶ περὶ τῶν οὕτω πρός με διακειμένων, ἵν', ἤν πως οἷός τε γένωμαι, τοὺς μὲν παύσω βλασφημοῦντας, τοὺς δὲ εἰδέναι ποιήσω, περὶ ἃ προαιρούμενος τυγχάνω διατρίβειν· ἢν γὰρ ταῦτα τῷ λόγῳ δυνηθῶ διοικῆσαι κατὰ τρόπον, ἐλπίζω τὸν ἐπίλοιπον χρόνον αὐτός τε ἀλύπως διάξειν, καὶ τῷ λόγῳ τῷ μέλλοντι ῥηθήσεσθαι τοὺς παρόντας μᾶλλον προσέξειν τὸν νοῦν.

δ'. . . . . .

θ'. Πολλῶν δέ μοι λόγων ἐρεστώτων, ἀπορῶ, πότερον ἀντικατηγορῶ τῶν εἰθισμένων ἀεί τι ψεύδεσθαι περὶ ἐμοῦ καὶ λέγειν ἀνεπιτήδειόν τι τολμώντων; ἀλλ' εἰ φανείην σπουδάζων, καὶ πολλοὺς λόγους ποιούμενος, περὶ ἀνθρώπων, οὓς οὐδεὶς ὑπείληφεν ἀξίους εἶναι λόγου, δικαίως ἂν μωρὸς εἶναι δοκοίην. Ἀλλὰ, τούτους ὑπεριδὼν ὡς φθονοῦντας, πειρῶμαι διδάσκειν τοὺς ἄλλους, ὡς οὐ δικαίως, οὐδὲ προσηκόντως περὶ ἐμοῦ ταύτην ἔχουσι τὴν γνώμην; καὶ τίς οὐκ ἂν καταγνοίη μου πολλὴν ἄνοιαν, εἰ τοὺς μηδὲν δι' ἕτερον δυσκόλως πρός με διακειμένους, ἢ τὸ δοκεῖν χαριέντως εἰρηκέναι περί τινων, τούτους οἰηθείην, ὁμοίως διαλεχθεὶς ὥσπερ πρότερον, παύσειν ἐπὶ τοῖς λεγομένοις λυπουμένους, ἀλλ' οὐ μᾶλλον ἀλγήσειν; ἄλλως τε ἂν καὶ φανῶ, μηδὲ νῦν πω τηλικοῦτος ὤν, μὴ παραληρῶν. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνο ποιεῖν οὐδεὶς ἄν μοι συμβουλεύσειεν, ἀμελήσαντι τούτων καὶ καταβαλόντι, περαίνειν τὸν λόγον, ὃν προήρημαι, βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν ἡμῶν πλειόνων ἀγαθῶν αἰτίαν γεγενημένην τοῖς Ἕλλησιν, ἢ τὴν Λακεδαιμονίων· εἰ γὰρ τοῦτο ἤδη ποιοίην, μήτε τέλος ἐπιθεὶς τοῖς γεγραμμένοις, μήτε συγκλείσας τὴν ἀρχὴν τῶν ῥηθήσεσθαι μελλόντων τῇ τελευτῇ τῶν ἤδη προειρημένων, ὅμοιος ἂν εἶναι δόξαιμι τοῖς εἰκῇ, καὶ φορτικῶς, καὶ χύδην, ὅ,τι ἂν ἐπέλθῃ, λέγουσιν· ἃ φυλακτέον ἡμῖν ἐστι. Κράτιστον οὖν ἐξ ἁπάντων τούτων, περὶ ὧν ἐξ ἀρχῆς διενοήθην, εἰπεῖν· οἶμαι γάρ, ἢν ἐξενέγκω γράψας, καὶ ποιήσω φανερὰν ἣν ἔχω γνώμην, περί τε τῆς παιδείας,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ τῶν ποιητῶν, παύσειν αὐτοὺς ψευδεῖς πλάττοντας αἰτίας, καὶ λέγοντας ὅ,τι ἂν τύχωσι.

ι. . . . . .

ιέ. Τοὺς μὲν οὖν παλαιοὺς ἀγῶνας, τοὺς ὑπὲρ τῶν Ἑλλήνων γενομένους, ὕστερον ἐροῦμεν. Νῦν δὲ ποιήσομαι περὶ ἐκείνων τοὺς λόγους, ἀρξάμενος, ἐπειδὴ κατασχόντες τὰς πόλεις τὰς Ἀχαΐδας, πρὸς Ἀργείους καὶ Μεσσηνίους διείλοντο τὴν χώραν. Ἐντεῦθεν γὰρ προσήκει διαλέγεσθαι περὶ αὐτῶν. Οἱ μὲν τοίνυν ἡμέτεροι πρόγονοι φανήσονται τήν τε πρὸς τοὺς Ἕλληνας ὁμόνοιαν, καὶ τὴν πρὸς τοὺς Βαρβάρους ἔχθραν, ἣν παρέλαβον ἐκ τῶν Τρωϊκῶν, διαφυλάττοντες καὶ μένοντες ἐν τοῖς αὐτοῖς.

ις'. Καὶ πρῶτον μὲν τὰς Κυκλάδας νήσους, περὶ ἃς ἐγένοντο πολλαὶ πραγματεῖαι, κατὰ τὴν Μίνω τοῦ Κρητὸς δυναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ Καρῶν κατεχομένας, ἐκβαλόντες ἐκείνους, οὐκ ἐξιδιώσασθαι τὰς χώρας ἐτόλμησαν, ἀλλὰ τοὺς μάλιστα βίου τῶν Ἑλλήνων δεομένους κατῴκισαν εἰς αὐτάς. Καὶ μετὰ ταῦτα πολλὰς πόλεις ἐφ' ἑκάτερα τῆς ἠπείρου καὶ μεγάλας ἔκτισαν· καὶ τοὺς μὲν Βαρβάρους ἀνέστησαν ἀπὸ τῆς θαλάττης, τοὺς δ' Ἕλληνας ἐδίδαξαν, ὃν τρόπον διοικοῦντες τὰς αὑτῶν πατρίδας, καὶ πρὸς οὓς πολεμοῦντες, μεγάλην τὴν Ἑλλάδα ποιήσειαν. Λακεδαιμόνιοι δὲ, περὶ τὸν αὐτὸν χρόνον, τοσοῦτον ἀπέσχον τοῦ πράττειν τι τῶν αὐτῶν τοῖς ἡμετέροις, καὶ τοῦ τοῖς μὲν Βαρβάροις πολεμεῖν, τοὺς δὲ Ἕλληνας εὐεργετεῖν, ὥστ' οὐδ' ἡσυχίαν ἄγειν ἠθέλησαν, ἀλλ' ἔχοντες πόλιν ἀλλοτρίαν, καὶ χώραν οὐ μόνον ἱκανὴν, ἀλλ' ὅσην οὐδεμία πόλις τῶν Ἑλληνίδων, οὐκ ἐστέρξαν ἐπὶ τούτοις. Ἀλλὰ μαθόντες ἐξ αὐτῶν τῶν συμβεβηκότων, κατὰ μὲν τοὺς νόμους, τάς τε πόλεις καὶ τὰς χώρας τούτων εἶναι δοκούσας, τῶν ὀρθῶς καὶ νομίμως κτησαμένων, κατὰ δὲ τὴν ἀλήθειαν, τούτων γιγνομένας τῶν τὰ περὶ τὸν πόλεμον κάλλιστα ἀσκούντων, καὶ νικᾶν τοὺς πολεμίους ἐν ταῖς μάχαις δυναμένων· ταῦτα διανοηθέντες, ἀμελήσαντες γεωργιῶν, καὶ τεχνῶν, καὶ τῶν ἄλλων ἁπάντων, οὐδὲν ἐπαύοντο κατὰ μίαν ἑκάστην τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ πολιορκοῦντες, καὶ κακῶς ποιοῦντες, καὶ καταστρέφοντες, πλὴν τῆς Ἀργείων. Συνέβαινεν οὖν ἐξ ὧν μὲν ἡμεῖς ἐπράτ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τομεν, αὐξάνεσθαι τὴν Ἑλλάδα, καὶ τὴν Εὐρώπην κρείττω γίγνεσθαι τῆς Ἀσίας, καὶ πρὸς τούτοις τῶν μὲν Ἑλλήνων τοὺς ἀποροῦντας πόλεις λαμβάνειν καὶ χώρας, τῶν δὲ Βαρβάρων τοὺς εἰθισμένους ὑβρίζειν, ἐκπίπτειν τῆς αὐτῶν, καὶ φρονεῖν ἔλαττον ἢ πρότερον· ἐξ ὧν δὲ Σπαρτιᾶται, τὴν ἐκείνων μόνην μεγάλην γίγνεσθαι, καὶ πασῶν μὲν τῶν ἐν Πελοποννήσῳ πόλεων ἄρχειν, ταῖς δ' ἄλλαις φοβερὰν εἶναι, καὶ πολλῆς θεραπείας τυγχάνειν παρ' αὐτῶν. Ἐπαινεῖν μὲν οὖν δίκαιόν ἐστι, τὴν τοῖς ἄλλοις πολλῶν ἀγαθῶν αἰτίαν γενομένην, δεινὴν δὲ νομίζειν τὴν αὐτῇ τὰ συμφέροντα διαπραττομένην· καὶ φίλους μὲν ποιεῖσθαι τοὺς ὁμοίους αὐτοῖς τε καὶ τοῖς ἄλλοις χρωμένους, φοβεῖσθαι δὲ καὶ δεδιέναι τοὺς πρὸς σφᾶς μὲν αὐτοὺς ὡς δυνατὸν οἰκειότατα διακειμένους, πρὸς δὲ τοὺς ἄλλους ἀλλοτρίως καὶ πολεμικῶς τὴν αὐτῶν διοικοῦντας. Τὴν μὲν οὖν ἀρχὴν ταῖν πολέοιν ἑκατέρα τοιαύτην ἐποιήσατο.

ιζ'. Χρόνῳ δ' ὕστερον γενομένου τοῦ Περσικοῦ πολέμου, καὶ Ξέρξου τοῦ τότε βασιλεύοντος, τριήρεις μὲν συναγαγόντος διακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς στρατιᾶς πεντακοσίας μυριάδας τῶν πάντων, ἑβδομήκοντα δὲ τῶν μαχίμων, τηλικαύτῃ *δὲ* δυνάμει στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας, Σπαρτιᾶται μὲν, ἄρχοντες Πελοποννησίων, εἰς τὴν ναυμαχίαν, τὴν ποιήσασαν ῥοπὴν ἅπαντος τοῦ πολέμου, δέκα μόνον συνεβάλοντο τριήρεις· οἱ δὲ πατέρες ἡμῶν, ἀνάστατοι γενόμενοι, καὶ τὴν πόλιν ἐκλελοιπότες, διὰ τὸ μὴ τετειχίσθαι κατ' ἐκεῖνον τὸν χρόνον, πλείους ναῦς παρέσχον, καὶ μείζω δύναμιν ἐχούσας ἢ σύμπαντες οἱ συγκινδυνεύσαντες. Καὶ στρατηγὸν οἱ μὲν Εὐρυβιάδην, ὃς, εἰ τέλος ἐπέθηκεν οἷς διενοήθη πράττειν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι τοὺς Ἕλληνας· οἱ δὲ ἡμέτεροι Θεμιστοκλέα, τὸν ὁμολογουμένως ἅπασιν αἴτιον εἶναι δόξαντα καὶ τοῦ τὴν ναυμαχίαν γενέσθαι κατὰ τρόπον, καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ κατορθωθέντων. Τεκμήριον δὲ μέγιστον· ἀφελόμενοι γὰρ Λακεδαιμονίους τὴν ἡγεμονίαν οἱ συγκινδυνεύσαντες, τοῖς ἡμετέροις παρέδοσαν. Καί τοι τίνας ἄν τις κριτὰς ἱκανωτέρους ποιήσαιτο, καὶ πιστοτέρους τῶν τότε πραχθέντων, ἢ τοὺς ἐν αὐτοῖς τοῖς κινδύνοις παραγενομένους;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τίνα δ' ἄν τις εὐεργεσίαν εἰπεῖν ἔχοι ταύτης μείζω, τῆς ἅπασαν τὴν Ἑλλάδα σῶσαι δυνηθείσης;

ιή. Μετὰ ταῦτα τοίνυν συνέβη κυρίαν ἑκατέραν γενέσθαι τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἣν ὁπότεροι ἂν κατάσχωσιν, ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πόλεων. Ὅλως μὲν οὖν οὐδετέραν ἐπαινῶ· πολλὰ γὰρ ἄν τις αὐταῖς ἐπιτιμήσειεν· οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν ἐπιμέλειαν ταύτην οὐκ ἔλαττον αὐτῶν διηνέγκαμεν, ἢ περὶ τὰς πράξεις τὰς ὀλίγῳ πρότερον εἰρημένας. Οἱ μὲν γὰρ ἡμέτεροι πατέρες ἔπειθον τοὺς συμμάχους ποιεῖσθαι πολιτείαν τοιαύτην, ἣν περ αὐτοὶ διετέλουν ἀγαπῶντες· ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅταν τινὲς παραινῶσι τοῖς ἄλλοις, χρῆσθαι τούτοις, ἅπερ ἂν σφίσιν αὐτοῖς συμφέρειν ὑπολάβωσι. Λακεδαιμόνιοι δὲ κατέστησαν, οὔθ' ὁμοίαν τῇ παρ' αὐτοῖς, οὔτε ταῖς ἄλλοθί που γενομέναις, ἀλλὰ δέκα μόνους ἄνδρας κυρίους ἑκάστης πόλεως ἐποίησαν, ὧν ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς, οὐδὲν ἂν μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτημένων. Καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοιούτων καὶ τοσούτων τὸ πλῆθος, ἀνόητόν ἐστιν· ὀλίγα δὲ κατὰ πάντων εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν ἀξίαν ἐμποιήσουσι τῶν πεπραγμένων, νεώτερος μὲν ὢν ἴσως [ἂν] ἐξεῦρον, νῦν δ' οὐδὲν ἐπέρχεταί μοι τοιοῦτο. Ἀλλ' ἅπαντες ἴσασιν, ὅτι τοσοῦτον ἐκεῖνοι διήνεγκαν ἀνομίᾳ καὶ πλεονεξίᾳ τῶν προγεγενημένων, ὥστ' οὐ μόνον αὐτοὺς ἀπώλεσαν, καὶ τοὺς φίλους, καὶ τὰς πατρίδας τὰς ἑαυτῶν, ἀλλὰ καὶ Λακεδαιμονίους, πρὸς τοὺς συμμάχους διαβάλλοντες, εἰς τοιαύτας καὶ τοσαύτας συμφορὰς ἐνέβαλον, ὅσας οὐδεὶς πώποτε αὐτοῖς γενήσεσθαι προσεδόκησε.

ιθ'. Μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις δυνηθείη κατιδεῖν, ὅσῳ μετριώτερον καὶ πρᾳότερον ἡμεῖς τῶν πραγμάτων ἐπεμελήθημεν· δεύτερον δ' ἐκ τοῦ ῥηθήσεσθαι μέλλοντος. Σπαρτιᾶται μὲν γὰρ ἔτη δέκα μόλις ἐπεστάτησαν αὐτῶν, ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα συνεχῶς κατέσχομεν τὴν ἀρχήν. Καίτοι πάντες ἴσασι, τὰς πόλεις τὰς ὑφ' ἑτέροις γιγνομένας, ὅτι πλεῖστον χρόνον τούτοις παραμένουσιν, ὑφ' ὧν ἂν ἐλάχιστα κακὰ πάσχουσαι τυγχάνωσιν. Ἐκ τούτων τοίνυν ἀμφότεραι μισηθεῖσαι, κατέστησαν εἰς πόλεμον καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παραχὴν, ἐν ᾗ τὴν μὲν ἡμετέραν εὕροι τις ἂν, ἁπάντων αὐτῇ καὶ τῶν Ἑλλήνων καὶ τῶν Βαρβάρων ἐπιθεμένων, ἔτη δέκα τούτοις ἀντισχεῖν δυνηθεῖσαν, Λακεδαιμονίους δὲ κρατοῦντας ἔτι, κατὰ γῆν πρὸς Θηβαίους μόνους πολεμήσαντας, καὶ μίαν μάχην ἡττηθέντας, ἁπάντων ἀποστερηθέντας ὧν εἶχον, καὶ παραπλησίαις ἀτυχίαις χρησαμένους, καὶ συμφοραῖς, αἷς περ ἡμεῖς. Καὶ πρὸς τούτοις τὴν μὲν ἡμετέραν πόλιν [ἐν] ἐλάττοσιν ἔτεσιν ἀναλαβοῦσαν αὐτὴν, ἣ κατεπολεμήθη. Σπαρτιάτας δὲ μετὰ τὴν ἧτταν μηδ' ἐν πολλαπλασίῳ χρόνῳ δυνηθέντας καταστῆσαι σφᾶς αὐτοὺς εἰς τὴν αὐτῶν ἕξιν, ἐξ ἧς περ ἐξέπεσον, ἀλλ' ὁμοίως ἔτι καὶ νῦν ἔχοντας.

κ΄. Τὰ τοίνυν πρὸς τοὺς Βαρβάρους ὡς ἑκάτεροι προσηνέχθημεν, δηλωτέον· ἔτι γὰρ τοῦτο λοιπόν ἐστιν. Ἐπὶ μὲν γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς, οὔτε ἐντὸς Ἅλυος ποταμοῦ πεζῷ καταβαίνειν, οὔτε μακροῖς πλοίοις ἐπὶ τάνδον πλεῖν Φασήλιδος. Ἐπὶ δὲ τῆς Λακεδαιμονίων, οὐ μόνον τοῦ πορεύεσθαι καὶ πλεῖν, ὅπη βουληθεῖεν, ἐξουσίαν ἔλαβον, ἀλλὰ καὶ δεσπόται πολλῶν Ἑλληνίδων πόλεων κατέστησαν.

κά. Τὴν δὴ καὶ τὰς συνθήκας τὰς πρὸς βασιλέα γενναιοτέρας καὶ μεγαλοφρονεστέρας ποιησαμένην, καὶ τῶν πλείστων καὶ μεγίστων, τοῖς μὲν Βαρβάροις κακῶν, τοῖς δ' Ἕλλησιν ἀγαθῶν, αἰτίαν γεγενημένην, ἔτι δὲ τῆς μὲν Ἀσίας τὴν παραλίαν, καὶ πολλὴν ἄλλην χώραν τοὺς μὲν πολεμίους ἀφελομένην, τοῖς δὲ συμμάχοις κτησαμένην, καὶ τοὺς μὲν ὑβρίζοντας, τοὺς δὲ ἀποροῦντας παύσασαν, πρὸς δὲ τούτοις ὑπὲρ αὐτῆς τε πολεμήσασαν ἄμεινον τῆς εὐδοκιμούσης περὶ τὰ τοιαῦτα, καὶ τὰς συμφορὰς θᾶττον διαλυσαμένην τῶν αὐτῶν τούτων, πῶς οὐ δίκαιόν ἐστιν ἐπαινεῖν, καὶ τιμᾶν μᾶλλον, ἢ τὴν ἐν ἅπασι τούτοις ἀπολελειμμένην; Περὶ μὲν οὖν τῶν πραχθέντων παρ' ἀλλήλα, καὶ τῶν κινδύνων ἅμα καὶ πρὸς τοὺς αὐτοὺς γενομένων, ἐν τῷ παρόντι ταῦτ' εἴχομεν εἰπεῖν.

κβ΄. . . . . .

λθ΄. Τὸ τοίνυν τελευταῖον, ὃ μόνοι καθ' αὑτοὺς ἔπραξαν, τίς οὐκ οἶδεν, ὅτι, κοινῆς ἡμῖν τῆς ἔχθρας ὑπαρχούσης τῆς πρὸς τοὺς Βαρβάρους, καὶ τοὺς βασιλέας αὐτῶν, ἡμεῖς μὲν ἐν πολέμοις πολ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λοῖς γιγνόμενοι, καὶ μεγάλαις συμφοραῖς ἐνίοτε περιπίπτοντες, καὶ τῆς χώρας ἡμῖν θαμινὰ πορθουμένης, οὐδεπώποτε ἀπεβλέψαμεν πρὸς τὴν ἐκείνων φιλίαν καὶ συμμαχίαν, ἀλλ', ὑπὲρ ὧν τοῖς Ἕλλησιν ἐπεβούλευσαν, μισοῦντες αὐτοὺς διετελέσαμεν μᾶλλον, ἢ τοὺς ἐν τῷ παρόντι κακῶς ἡμᾶς ποιοῦντας; Λακεδαιμόνιοι δὲ, οὔτε πάσχοντες κακὸν οὐδὲν, οὔτε μέλλοντες, οὔτε δεδιότες, εἰς τοῦτο ἀπληστίας ἦλθον, ὥστ' οὐκ ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχὴν, ἀλλὰ καὶ τὴν κατὰ θάλατταν δύναμιν οὕτως ἐπεθύμησαν λαβεῖν, ὥστε κατὰ τοὺς αὐτοὺς χρόνους τούς τε συμμάχους τοὺς ἡμετέρους ἀφίστασαν, ἐλευθερώσειν αὐτοὺς ὑπισχνούμενοι, καὶ βασιλεῖ περὶ φιλίας διελέγοντο, καὶ συμμαχίας, παραδώσειν αὐτῷ φάσκοντες ἅπαντας τοὺς ἐπὶ τῆς Ἀσίας οἰκοῦντας. Πίστεις δὲ δόντες τούτων ἀμφοτέροις, καὶ καταπολεμήσαντες ἡμᾶς, οὓς μὲν ἐλευθερώσειν ὡμολόγησαν, κατεδουλώσαντο μᾶλλον, ἢ τοὺς Εἵλωτας, βασιλεῖ δὲ τοιαύτην χάριν ἀπέδοσαν, ὥστ' ἔπεισαν τὸν ἀδελφὸν αὐτοῦ Κῦρον, ὄντα νεώτερον, ἀμφισβητεῖν τῆς βασιλείας, καὶ στρατόπεδον αὐτῷ συναγαγόντες, καὶ Κλέαρχον στρατηγὸν ἐπιστήσαντες, ἀνέπεμψαν ἐπ' ἐκεῖνον. Ἀτυχήσαντες δ' ἐν τούτοις, καὶ γνωσθέντες ὧν ἐπιθύμουν, καὶ μισηθέντες ὑπὸ πάντων, εἰς πόλεμον καὶ ταραχὰς τοσαύτας κατέστησαν, ὅσον εἰκὸς τοὺς περὶ τοὺς Ἕλληνας καὶ τοὺς Βαρβάρους ἑξηκοντακότας. Περὶ ὧν οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγοντα διατρίβειν, πλὴν ὅτι καταναυμαχηθέντες ὑπό τε τῆς βασιλέως δυνάμεως, καὶ τῆς Κόνωνος στρατηγίας, τοιαύτην ἐποιήσαντο τὴν εἰρήνην, ἧς οὐδεὶς ἂν ἐπιδείξειεν, οὔτ' αἰσχίω ποτὲ γενομένην, οὔτ' ἐπονειδιστοτέραν, οὔτ' ὀλιγωροτέραν τῶν Ἑλλήνων, οὔτ' ἐναντιωτέραν τοῖς λεγομένοις ὑπό τινων περὶ τῆς ἀρετῆς τῆς Λακεδαιμονίων. Οἵτινες, ὅτε μὲν [αὐτοὺς] ὁ βασιλεὺς δεσπότας τῶν Ἑλλήνων κατέστησεν, ἀφελέσθαι τὴν βασιλείαν αὐτοῦ καὶ τὴν εὐδαιμονίαν ἅπασαν ἐπεχείρησαν· ἐπειδὴ δὲ καταναυμαχήσας ταπεινοὺς ἐποίησεν, οὐ μικρὸν μέρος αὐτῷ παρέδωκαν, ἀλλὰ πάντας τοὺς τὴν Ἀσίαν οἰκοῦντας, διαρρήδην γράψαντες χρῆσθαι τοῦθ' ὅ,τι ἂν αὐτὸς βούληται. Καὶ οὐκ ἠσχύνθησαν τοιαύτας ποιούμενοι τὰς ὁμολογίας περὶ ἀνδρῶν, οἷς χρώμενοι συμμάχοις ἡμῶν τε περιεγένοντο, καὶ τῶν Ἑλλήνων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κύριοι κατέστησαν, καὶ τὴν Ἀσίαν ἅπασαν ἤλπισαν κατασχεῖν. Ἀλλὰ τὰς τοιαύτας συνθήκας αὐτοί τ' ἐν τοῖς ἱεροῖς τοῖς σφετέροις αὐτῶν ἀνέγραψαν, καὶ τοὺς συμμάχους ἠνάγκασαν.

μ'. . . . . .

Δ'.

ΕΠΙΚΤΗΤΟΥ

ΕΓΧΕΙΡΙΔΙΟΝ (1).

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. Ἐφ' ἡμῖν μέν, ὑπόληψις, ὁρμή, ὄρεξις, ἔκκλισις, καὶ ἑνὶ λόγῳ, ὅσα ἡμέτερα ἔργα· οὐκ ἐφ' ἡμῖν δὲ, τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαὶ, καὶ ἑνὶ λόγῳ, ὅσα οὐχ ἡμέτερα ἔργα.

2. Καὶ τὰ μὲν ἐφ' ἡμῖν, ἐστὶ φύσει ἐλεύθερα, [εὐσθενῆ], ἀκώλυτα, ἀπαραπόδιστα· τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτά, ἀλλότρια.

3. Μέμνησο οὖν, ὅτι, ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθῆσῃ, μέμψῃ καὶ θεοὺς καὶ ἀνθρώπους· ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐστὶν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινὶ, ἄκων πράξεις οὐδὲ ἓν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐχ ἕξεις· οὐδὲ γὰρ βλαβερόν τι πείσῃ.

4. Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο, ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν· [τῶν δ'] ἄλλων, τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δὲ ὑπερτίθεσθαι πρὸς τὸ παρὸν [καὶ προηγουμένως

(1) Κατὰ τὴν ἐν Παρίσιοις ἔκδοσιν Α. Κοραῆ 1826. (Β). Πατρίγ. Ἑλλην. Βιβλιοθ. Τόμ. Ζ', σελ. 4 καὶ ἑπομ.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σεαυτοῦ ἐπιμελεῖσθαι]. Ἐὰν δὲ καὶ ταῦτ' ἐθέλῃς, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. Πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων ἐλευθερία καὶ εὐδαιμονία περιγίνεται.

5. Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν, ὅτι, Φαντασία εἶ, καὶ οὐ πάντως τὸ φαινόμενον. Ἔπειτα ἐξέταζε αὐτὴν, καὶ δοκίμαζε τοῖς κανόσι τούτοις, οἷς ἔχεις. Πρώτῳ δὲ τούτῳ καὶ μάλιστα, πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν, ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν. Κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, πρόχειρον ἔστω τὸ, διότι Οὐδὲν πρὸς ἐμέ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Μέμνησο, ὅτι ὀρέξεως ἐπαγγελία, ἐπιτυχία οὗ ὀρέγῃ· ἐκκλίσεως ἐπαγγελία, τὸ μὴ περιπεσεῖν ἐκείνῳ ὃ ἐκκλίνεται. Καὶ ὁ μὲν ἐν ὀρέξει ἀποτυγχάνων, ἀτυχής· ὁ δὲ ἐν ἐκκλίσει περιπίπτων, δυστυχής. Ἂν μὲν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπὶ σοί, οὐδενὶ ὧν ἐκκλίνεις περιπεσῇ. Νόσον δ' ἂν ἐκκλίνῃς, ἢ θάνατον, ἢ πενίαν, δυστυχήσεις.

2. Ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν· τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε. Ἂν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡμῖν τινός, ἀτυχεῖν ἀνάγκη· τῶν τε ἐφ' ἡμῖν, ὅσων ὀρέγεσθαι καλὸν *ἂν*, οὐδὲν οὐδέπω σοι πάρεστι. Μόνῳ δὲ τῷ ὁρμᾶν καὶ ἀφορμᾶν χρῶ, κούφως μέν τοι, καὶ μεθ' ὑπεξαιρέσεως, καὶ ἀνειμένως.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐφ' ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείαν παρεχόντων, ἢ στεργομένων, μέμνησο ἐπιλέγειν, ὁποῖόν τι ἐστὶν, ἀπὸ τῶν σμικροτάτων ἀρξάμενος. Ἂν χύτραν στέργῃς, ὅτι, χύτραν στέργω· κατεαγείσης γὰρ αὐτῆς, οὐ ταραχθήσῃ. Ἂν παιδίον σαυτοῦ καταφιλῇς, ἢ γυναῖκα, ὅτι, ἄνθρωπον καταφιλῶ· ἀποθανόντος γὰρ οὐ ταραχθήσῃ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅταν ἅπτεσθαί τινος ἔργου μέλλῃς, ὑπομίμνησκε σεαυτὸν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁποῖόν τι ἐστὶ τὸ ἔργον. Ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ· τοὺς ἀποῤῥαίνοντας, τοὺς ἐγκρουομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας· καὶ οὕτως ἀσφαλέστερον ἄψῃ τοῦ ἔργου, ἐὰν ἐπιλέγῃς εὐθὺς, ὅτι, Λούσασθαι θέλω, [θέλω δὲ] καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· καὶ ὡσαύτως ἐρ' ἑκάστου ἔργου. Οὕτω γὰρ, ἄν τι πρὸς τὸ λούσασθαι γένηται ἐμποδὼν, πρόχειρον ἔσται, διότι, Ἀλλ' οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· οὐ τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ταράσσει τοὺς ἀνθρώπους, οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα, οἷον, ὁ θάνατος οὐδὲν δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο· ἀλλὰ τὸ δόγμα τὸ περὶ τοῦ θανάτου, διότι δεινὸν, ἐκεῖνο τὸ δεινόν ἐστι. Ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταρασσώμεθα ἢ λυπώμεθα, μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς, τοῦτ' ἔστι τὰ ἑαυτῶν δόγματα. Ἀπαιδεύτου ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠρεμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδευμένου, τὸ μήτ' ἄλλῳ, μήτε ἑαυτῷ.

ΚΕΦΑΛΑΙΟΝ ς΄.

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. Εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν, ὅτι Καλός εἰμι, οἰστὸν ἂν ἦν· σὺ δὲ, ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι, Ἵππον καλὸν ἔχω, ἴσθι, ὅτι ἐπὶ ἵππου ἀγαθῷ ἐπαίρῃ. Τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν. Ὥσθ', ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπάρθητι· τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Καθάπερ ἐν πλῷ, τοῦ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον, καὶ κοχλίδιον ἀναλέξῃ, καὶ βολβάριον· τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μήποτε ὁ κυβερνήτης καλέσῃ· κἂν καλέσῃ, πάντα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς, ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται, ἀντὶ βολβαρίου καὶ κοχλιδίου, γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα ἅπαντα, μηδὲ ἐπιστρεφόμενος. Ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῆς ποτὲ τοῦ πλοίου μακράν, μή ποτε καλοῦντος ἐλλίπῃς.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις· ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται, καὶ εὐροήσεις.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Νόσος, σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δ' οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. Χώλανσις, σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ· καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, σὸν δὲ οὔ.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Ἐφ' ἑκάστου τῶν προσπιπτόντων, μέμνησο, ἐπιστρέφων ἐπὶ σεαυτὸν, ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. Ἐὰν καλὸν ἴδῃς, ἢ καλὴν, εὑρήσεις δύναμιν πρὸς ταῦτα, ἐγκράτειαν· ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν· ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. Καὶ οὕτως ἐθιζόμενόν σε οὐ συναρπάσουσιν αἱ φαντασίαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι, Ἀπώλεσα αὐτό, ἀλλὰ, ὅτι, Ἀπέδωκα. Τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη· ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. Τὸ χωρίον ἀφῃρέθη; οὐκοῦν καὶ τοῦτο ἀπεδόθη. Ἀλλὰ κακὸς ὁ ἀφελόμενος· τί δέ σοι μέλει διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ παντοδοχείου οἱ παριόντες.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

1. Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους ἐπιλογισμούς. Ἐὰν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς· ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. Κρεῖσσον γὰρ, λιμῷ ἀποθανεῖν, ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον· κρεῖσσον δὲ [καὶ] τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα.

2. Ἄρξαι τοιγαροῦν ἀπὸ τῶν σμικρῶν. Ἐκχεῖται τὸ ἐλάδιον; κλέπτεται τὸ οἰνάριον; ἐπίλεγε, ὅτι, Τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία· προῖκα δὲ οὐδὲν περιγίνεται. Ὅταν δὲ καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι δύναται μὴ ὑπακοῦσαι, ἢ καὶ, ὑπακούσας, μηδὲν ποιῆσαι ὧν θέλεις· ἀλλ' οὐχ οὕτως ἐστὶν αὐτῷ καλῶς, ἵνα, ἐπ' ἐκείνῳ ᾖ, τὸ σὲ μὴ ταραχθῆναι.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Εἰ προκόψαι θέλεις, ὑπόμεινον, ἕνεκα τῶν ἐκτὸς, ἄνους δόξαι καὶ ἠλίθιος· καὶ μηδὲν βούλου δοκεῖν ἐπίστασθαι. Κἂν δόξῃς τις εἶναί τισιν, ἀπίστει σεαυτῷ. Ἴσθι γὰρ, ὅτι οὐ ῥᾴδιον, τὴν προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι, καὶ τὰ ἐκτός· ἀλλὰ τοῦ ἑτέρου ἐπιμελούμενον, τοῦ ἑτέρου ἀμελῆσαι πᾶσα ἀνάγκη.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

1. Ἐὰν θέλῃς τὰ τέκνα σου, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ἐπὶ σοὶ θέλεις ἐπὶ σοὶ εἶναι· καὶ τὰ ἀλλότρια, σὰ εἶναι. Οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ τὴν κακίαν, μὴ εἶναι κακίαν, ἀλλ' ἄλλο τι. Ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. Τοῦτο οὖν ἄσκει, ὃ δύνασαι.

2. Κύριος ἑκάστου ἐστὶν, ὁ τῶν ὑπ' ἐκείνου θελομένων, ἢ μὴ θελομένων, ἔχων τὴν ἐξουσίαν εἰς τὸ περιποιῆσαι, ἢ ἀφελέσθαι. Ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις. Εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ σε δεῖ ἀναστρέφεσθαι. Περιφερόμενον γέγονέ τι κατὰ σέ; ἔκτεινας τὴν χεῖρα, κοσμίως μετάλα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θε. Παρέρχεται; μὴ κάτεχε. Οὔπω ἥκει; μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλὰ περίμενε, μέχρις ἂν γένηται κατὰ σέ. Οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχάς, οὕτω πρὸς πλοῦτον· καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης. Ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλ' ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. Οὕτω γὰρ ποιοῦν Διογένης καὶ Ἡράκλειτος, καὶ οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν, καὶ ἐλέγοντο.

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

Ὅταν κλαίοντα ἴδῃς τινὰ, ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε, μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ τοῖς ἐκτός· ἀλλ' εὐθὺς [διαίρει παρὰ σεαυτῷ, καὶ λέγειν] ἔστω πρόχειρον, ὅτι, Τοῦτον θλίβει, οὐ τὸ συμβεβηκός· ἄλλον γὰρ οὐ θλίβει· ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτου. Μέχρι μέν τοι λόγου μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, καὶ συνεπιστενάξαι· πρόσεχε μέν τοι, μὴ καὶ ἔσωθεν στενάξῃς.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Μέμνησο, ὅτι ὑποκριτὴς εἶ δράματος, οἵου ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχύ, βραχέος· ἂν μακρόν, μακροῦ· ἂν πτωχὸν ὑποκρίνασθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ· ἂν χωλόν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. Σὸν γὰρ τοῦτ' ἔστι, τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ' αὐτὸ, ἄλλου.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Κόραξ ὅταν μὴ αἴσιον κεκράγῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία· ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε, ὅτι, Τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ' ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησιδίῳ μου, ἢ τῷ δοξαρίῳ μου, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί. Ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν ἐγὼ θέλω· ὅ,τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ' ἐμοί ἐστιν ὠφεληθῆναι ἀπ' αὐτοῦ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

1. Ἀνίκητος εἶναι δύνασαι, ἐὰν εἰς μηδένα ἀγῶνα καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι.

2. Ὅρα, μή ποτε ἰδών τινα προτιμώμενον, ἢ μέγα δυνάμενον, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς, ὑπὸ τῆς φαντασίας συναρπασθείς. Ἐὰν γὰρ ἐν τοῖς ἐφ' ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ, οὔτε φθόνος, οὔτε ζηλοτυπία χώραν ἕξει· σύ τε αὐτὸς οὐ στρατηγός, οὐ πρύτανις, ἢ ὕπατος εἶναι θελήσεις, ἀλλ' ἐλεύθερος. Μία δὲ ὁδὸς πρὸς τοῦτο, καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Μέμνησο, ὅτι οὐχ ὁ λοιδορῶν ἢ ὁ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων, ὡς ὑβριζόντων. Ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι, ὅτι ἡ σή σε ὑπόληψις ἠρέθικε. Τοιγαροῦν ἐν πρώτοις πειρῶ, ὑπὸ τῆς φαντασίας μὴ συναρπασθῆναι· ἂν γὰρ ἅπαξ χρόνου καὶ διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Θάνατος, καὶ φυγὴ, καὶ πάντα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν· μάλιστα δὲ πάντων ὁ θάνατος· καὶ οὐδὲν οὐδέποτε οὔτε ταπεινὸν ἐνθυμηθήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Εἰ φιλοσοφίας ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρούντων, ὅτι, Ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε· καὶ, Πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; Σὺ δὲ ὀφρῦν μὲν μὴ σχῇς· τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν· μέμνησό τε, διότι ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου τὸ πρότερον, οὗτοί σε ὕστερον θαυμάσονται· ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ἐὰν ποτέ σοι γένηται ἔξω στραφῆναι, πρὸς τὸ βούλεσθαι ἀρέσαι τινί, ἴσθι, ὅτι ἀπώλεσας τὴν ἔνστασιν. Ἀρκοῦ οὖν, ἐν παντί, τῷ εἶναι φιλόσοφος. Εἰ δὲ καὶ δοκεῖν βούλει * τῳ εἶναι *, σαυτῷ φαίνου· καὶ ἱκανὸν ἔσται [σοι].

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

1. Οὗτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν. Ἄτιμος ἐγὼ βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. Εἰ γὰρ ἡ ἀτιμία ἐστὶ κακόν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. Μή τι οὖν σόν ἐστιν ἔργον, τὸ ἀρχῆς τυχεῖν, ἢ παραληφθῆναι ἐρ' ἑστίασιν; οὐδαμῶς. Πῶς οὖν ἔτι τοῦτ' ἔστιν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς ἐπὶ σοί, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ;

2. Ἀλλά σοι οἱ φίλοι ἀβοήθητοι ἔσονται· τί λέγεις τὸ Ἀβοήθητοι; οὐχ ἕξουσι παρὰ σοῦ κερμάτιον; οὐδὲ πολίτας Ῥωμαίων αὐτοὺς ποιήσεις; τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστιν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ ἃ μὴ ἔχει αὐτός; Κτῆσαι οὖν, φησίν, ἵνα καὶ ἡμεῖς ἔχωμεν.

3. Εἰ δύναμαι κτήσασθαι, τηρῶν ἐμαυτὸν αἰδήμονα, καὶ πιστόν, καὶ μεγαλόφρονα, δείκνυε τὴν ὁδόν, καὶ κτήσομαι. Εἰ δ' ἐμὲ ἀξιοῦτε τἀγαθὰ τὰ ἐμαυτοῦ ἀπολέσαι, ἵν' ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε ὑμεῖς, πῶς ἄνισοί ἐστε, καὶ ἀγνώμονες. Τί δὲ καὶ βούλεσθε μᾶλλον; ἀργύριον, ἢ φίλον πιστὸν καὶ αἰδήμονα; Εἰς τοῦτο οὖν μοι μᾶλλον συλλαμβάνετε, καὶ μὴ, δι' ὧν ἀποβαλῶ *αὐτὰ* ταῦτα, ἐκεῖνά με πράσσειν ἀξιοῦτε.

4. Ἀλλ' ἡ πατρὶς, ὅσον ἐπ' ἐμοὶ, φησὶν, ἀβοήθητος ἔσται. Πάλιν, ποίαν καὶ ταύτην βοήθειαν; στοὰς οὐχ ἕξει διὰ σὲ, οὐδὲ βαλανεῖα. Καὶ τί τοῦτο; οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν χαλκέα, οὐδ' ὅπλα διὰ τὸν σκυτέα· ἱκανὸν δὲ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. Εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν ὠφέλεις; Ναί. Οὐκοῦν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5. Τίνα οὖν ἔξω, φησί, χώραν ἐν τῇ πόλει; Ἣν ἂν δύνῃ, φυλάττων ἅμα τὸν πιστὸν καὶ αἰδήμονα. Εἰ δὲ, ἐκείνην ὠφελεῖν βουλόμενος, ἀποβαλεῖς ταῦτα, τί ὄφελος ἂν αὐτῇ γένοιτο, ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς;

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Προετιμήθη σου τὶς ἐν ἑστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληρθῆναι εἰς συμβουλίαν; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακὰ, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες· μέμνησο δὲ, ὅτι οὐ δύνασαι, μὴ ταῦτὰ ποιῶν πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν, τῶν ἴσων ἀξιοῦσθαι.

2. Πῶς γὰρ ἴσον ἔχειν δύναται ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων, τῷ παραπέμποντι; ὁ μὴ ἐπαινῶν, τῷ ἐπαινοῦντι; Ἄδικος οὖν ἔσῃ καὶ ἄπληστος, εἰ, μὴ προϊέμενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ λαμβάνειν.

3. Ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ, ἂν οὕτω τύχῃ. Ἂν οὖν τις, προέμενος τὸν ὀβολὸν, λάβῃ θρίδακας, σὺ δὲ, μὴ προέμενος, μὴ λάβῃς, μὴ οἷον ἔλαττον ἔχειν τοῦ λαβόντος. Ὡς γὰρ ἐκεῖνος ἔχει θρίδακας, οὕτω σὺ τὸν ὀβολὸν, ὃν οὐκ ἔδωκας.

4. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα. Οὐ παρεκλήθης ἐφ' ἑστιασίν τινος; οὐ γὰρ ἔδωκας τῷ καλοῦντι, ὅσου πωλεῖ τὸ δεῖπνον· ἐπαίνου δ' αὐτὸ πωλεῖ, θεραπείας πωλεῖ. Δὸς οὖν τὸ διάφορον, εἴ σοι λυσιτελεῖ, ὅσου πωλεῖται. Εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ καὶ ἀβέλτερος.

5. Οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν, τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες· τὸ μὴ ἀνασχέσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου.

ΚΕΦΑΛΑΙΟΝ ΚΣ΄.

Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἐστιν ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους. Οἷον, ὅταν ἄλλου παιδάριον κατεάξῃ τὸ ποτήριον, πρόχειρον εὐθὺς λέγειν, ὅτι, Τῶν γινομένων ἐστί. Ἴσθι οὖν, ὅτι, ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, οἵπερ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅτε καὶ τὸ τοῦ ἄλλου κατεάγῃ. Οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα· τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή; οὐδείς ἐστιν, ὃς οὐκ ἂν εἴποι, ὅτι, Ἀνθρώπινον. Ἀλλ', ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθύς, Οἴμοι! τάλας ἐγώ! Ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν, περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ΄.

Εἰ μὲν τὸ σῶμά σου τὶς ἐπέτρεπε τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν· ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα, ἐὰν λοιδορήσηταί σοι, ταραχθῇ ἐκείνη καὶ συγχυθῇ, οὐκ αἰσχύνῃ τούτου ἕνεκα;

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

1. Ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ' αὐτό. Εἰ δὲ μή, τὴν μὲν πρώτην προθύμως ἥξεις, ἅτε μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος· ὕστερον δὲ, ἀναφανέντων δυσχερῶν τινῶν, ἀποστήσῃ.

2. Θέλεις Ὀλύμπια νικῆσαι; Κἀγὼ, νὴ τοὺς θεούς· καλὸν γάρ ἐστιν· ἀλλὰ σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα· καὶ οὕτως ἅπτου τοῦ ἔργου. Δεῖ σ' εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ. Εἶτα, ἐν τῷ ἀγῶνι, παρορύσσεσθαι, ἔστι δὲ ὅτε χεῖρα ἐκβαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἀφὴν καταπιεῖν· ἔσθ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ τούτων πάντων νικηθῆναι.

3. Ταῦτα ἐπισκεψάμενος, ἂν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. Εἰ δὲ μή, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ μονομάχους, νῦν δὲ σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σὺ, νῦν μὲν ἀθλητὴς, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ', ὡς πίθηκος, πᾶσαν θέαν, ἣν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἂν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. Οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιοδεύσας· ἀλλ' εἰκῇ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν.

4. Οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος ὡς Εὐφράτης λέγει (καί τοι τίς οὕτω δύναται εἰπεῖν ὡς ἐκεῖνος;), θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν.

5. Ἄνθρωπε, πρῶτον ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. Πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηροὺς, τὴν ὀσφὺν κατάμαθε· ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε.

6. Δοκεῖς, ὅτι ταῦτα ποιῶν, ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως ὀργεσθαι, ὁμοίως δυσαρεστεῖν; ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ὑπὸ τῶν ἀπαντώντων καταγελασθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί.

7. Ταῦτα ἐπίσκεψαι, εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν· εἰ δὲ μή, μὴ πρόσαγε· μὴ ὡς τὰ παιδία, νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος Καίσαρος. Ταῦτα οὐ συμφωνεῖ. Ἕνα σε δεῖ ἄνθρωπον, ἢ ἀγαθὸν, ἢ κακὸν, εἶναι· ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ περὶ τὰ ἔξω· τοῦτ' ἔστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Τὰ καθήκοντα ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται. Πατήρ ἐστιν· ὑπαγορεύεται ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. Ἀλλὰ, πατὴρ κακός ἐστι. Μή τι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ᾠκειώθης; ἀλλὰ πρὸς πατέρα. Ὁ ἀδελφὸς ἀδικεῖ. Τήρει τοιγαροῦν τὴν τάξιν τὴν σεαυτοῦ πρὸς αὐτὸν, μηδὲ σκόπει, τί ἐκεῖνος ποιεῖ, ἀλλὰ, τί σοὶ ποιήσαντι κατὰ φύσιν ἡ σὴ ἕξει προαίρεσις. Σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς· τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. Οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ καθῆκον εὑρήσεις, ἐὰν τὰς σχέσεις ἐθίζῃ θεωρεῖν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΑΑ'.

1. Τῆς περὶ τοὺς θεοὺς εὐσεβείας ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων, καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως· καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. Οὕτω γὰρ οὐ μέμψῃ ποτὲ τοὺς θεούς, οὔτε ἐγκαλέσεις, ὡς ἀμελούμενος.

2. Ἄλλως δὲ οὐχ οἷόν τε τοῦτο γίνεσθαι, ἐὰν μὴ ἅρῃς ἀπὸ τῶν οὐκ ἐφ' ἡμῖν, καὶ ἐν τοῖς ἐφ' ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν καὶ τὸ κακόν· ὡς, ἄν γέ τι ἐκείνων ὑπολάβῃς ἀγαθὸν ἢ κακόν, πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς ὧν θέλεις, καὶ περιπίπτῃς οἷς μὴ θέλεις, μέμψασθαί σε καὶ μισεῖν τοὺς αἰτίους.

3. Πέφυκε γὰρ πρὸς τοῦτο πᾶν ζῶον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴτια αὐτῶν, φεύγειν καὶ ἐκτρέπεσθαι· τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν, μετιέναι τε καὶ τεθηπέναι. Ἀμήχανον οὖν, βλάπτεσθαί τινα οἰόμενον, χαίρειν τῷ δοκοῦντι βλάπτειν· ὥσπερ καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν ἀδύνατον.

4. Ἔνθεν καὶ πατὴρ ὑπὸ υἱοῦ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι τῷ παιδὶ μὴ μεταδιδῷ. Καὶ Πολυνείκην καὶ Ἐτεοκλέα τοῦτ' ἐποίησε πολεμίους ἀλλήλοις, τὸ ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. Διὰ τοῦτο καὶ ὁ γεωργὸς λοιδορεῖ τοὺς θεούς, διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα ἀπολλύντες. Ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβές. Ὥστε, ὅστις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖται.

5. Σπένδειν δὲ, καὶ θύειν, καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια, ἑκάστοτε προσήκει καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀμελῶς· μηδέ γε ὀλίσχρως, μηδὲ ὑπὲρ δύναμιν.

ΚΕΦΑΛΑΙΟΝ ΑΒ'.

1. Ὅταν μαντικῇ προσίῃς, μέμνησο, ὅτι, τί μὲν ἀποβήσεται,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐκ οἶδας, ἀλλὰ ἥκεις ὡς παρὰ τοῦ μάντεως αὐτὸ πευσόμενος. Ὁποῖον δέ τι ἐστὶν, ἐλήλυθας εἰδὼς, εἴπερ εἶ φιλόσοφος. Εἰ γὰρ ἔστι τι τῶν οὐκ ἐφ' ἡμῖν, πᾶσα ἀνάγκη, μήτε ἀγαθὸν αὐτὸ εἶναι, μήτε κακόν.

2. Μὴ φέρε οὖν πρὸς τὸν μάντιν ὄρεξιν ἢ ἔκκλισιν· μηδὲ τρέμων αὐτῷ πρόσει, ἀλλὰ διεγνωκὼς, ὅτι πᾶν τὸ ἀποβησόμενον, ἀδιάφορον, καὶ οὐδὲν πρὸς σέ· ὁποῖον δ' ἂν ᾖ, ἔσται αὐτῷ χρήσαθαι καλῶς, καὶ τοῦτο οὐδεὶς κωλύσει. Θαῤῥῶν οὖν, ὡς ἐπὶ συμβούλους ἔρχου τοὺς θεούς· καὶ λοιπὸν, ὅταν τί σοι συμβουλευθῇ, μέμνησο, τίνας συμβούλους παρέλαβες, καὶ τίνων παρακούσεις ἀπειθήσας.

3. Ἔρχου δὲ ἐπὶ τῷ μαντεύεσθαι, καθάπερ ἠξίου Σωκράτης, ἐφ' ὧν ἡ πᾶσα σκέψις τὴν ἀναφορὰν εἰς τὴν ἔκβασιν ἔχει, καὶ οὔτε ἐκ λόγου, οὔτε ἐκ τέχνης τινὸς ἄλλης ἀφορμαὶ δίδονται πρὸς τὸ συνιδεῖν τὸ προκείμενον. Ὥστε, ὅταν δεήσῃ συγκινδυνεῦσαι φίλῳ ἢ πατρίδι, μὴ μαντεύεσθαι, εἰ συγκινδυνευτέον.

4. Καὶ γὰρ ἂν προείπῃ σοι ὁ μάντις, φαῦλα γεγονέναι τὰ ἱερὰ, δῆλον, ὅτι θάνατος σημαίνεται, ἢ πήρωσις μέρους τινὸς τοῦ σώματος, ἢ φυγή· ἀλλ' αἱρεῖ ὁ λόγος, καὶ σὺν τούτοις παρίστασθαι τῷ φίλῳ καὶ τῇ πατρίδι συγκινδυνεύειν. Τοιγαροῦν τῷ μείζονι μάντει πρόσεχε, τῷ Πυθίῳ, ὃς ἐξέβαλε τοῦ ναοῦ τὸν οὐ βοηθήσαντα ἀναιρουμένῳ τῷ φίλῳ.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

1. Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὢν, καὶ ἀνθρώποις ἐντυγχάνων.

2. Καὶ σιωπὴ τὸ πολὺ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι' ὀλίγων. Σπανίως δέ ποτε, καιροῦ παρακαλοῦντος ἐπὶ τὸ λέγειν, λέξον μὲν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων· μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ πομάτων, τῶν ἑκασταχοῦ· μάλιστα δὲ μὴ περὶ ἀνθρώπων, ψέγων, ἢ ἐπαινῶν, ἢ συγκρίνων.

3. Ἂν μὲν οὖν οἷός τε ᾖς, μέταγε τοῖς σοῖς λόγοις καὶ τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον. Εἰ δὲ ἐν ἀλλοφύλοις ἀποληφθεὶς τύχοις, σιώπα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος.

5. Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰσάπαν. Εἰ δὲ μή, ἐκ τῶν ἐνόντων.

6. Ἑστιάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς διακρούου· ἐὰν δέ ποτε γίνηται καιρὸς, ἐντετάσθω σοι ἡ προσοχὴ, μή ποτε ἄρα ὑποῤῥυῇς εἰς ἰδιωτισμόν. Ἴσθι γὰρ, ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συναναστρεφόμενον αὐτῷ συμμολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός.

7. Τὰ περὶ τὸ σῶμα μέχρι τῆς χρείας ψιλῆς παραλάμβανε· οἷον, τροφάς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν. Τὸ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε.

8. Περὶ ἀφροδίσια εἰς δύναμιν πρὸ γάμου καθαρευτέον· ἁπτομένῳ δὲ, ὧν νόμιμόν ἐστι μεταλῃπτέον. Μὴ μέντοι ἐπαχθὴς γίνου τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός· μηδὲ πολλαχοῦ τὸ, ὅτι αὐτὸς οὐ χρῇ, παράφερε.

9. Ἐὰν τίς σοι ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ' ἀποκρίνου, διότι, Ἠγνόει γὰρ τἆλλα τὰ προσόντα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

10. Εἰς τὰ θέατρα τὸ πολὺ παριέναι οὐκ ἀναγκαῖον. Εἰ δέ ποτε καιρὸς εἴη, μηδενὶ σπουδάζων φαίνου ἢ σεαυτῷ· τοῦτ' ἔστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾷν μόνον τὸν νικῶντα. Οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. Βοῆς δὲ, καὶ τοῦ ἐπιγελᾷν τινι, ἢ ἐπιπολὺ συγκινεῖσθαι, παντελῶς ἀπέχου. Καὶ μετὰ τὸ ἀπαλλαγῆναι μὴ πολλὰ περὶ τῶν γεγενημένων διαλέγου, ὅσα μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν. Ἐμφαίνεται γὰρ ἐκ τοῦ τοιούτου, ὅτι ἐθαύμασας τὴν θέαν.

11. Εἰς ἀκροάσεις τινῶν μὴ εἰκῇ μηδὲ ῥᾳδίως πάριθι. Παριὼν δὲ, τὸ σεμνὸν καὶ τὸ εὐσταθὲς καὶ ἅμα ἀνεπαχθὲς φύλασσε.

12. Ὅταν τινὶ μέλλῃς συμβαλεῖν, μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης ἢ Ζήνων· καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

13. Ὅταν φοιτᾷς πρός τινα τῶν μέγα δυναμένων, πρόβαλε, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀποκλεισθήσῃ, ὅτι ἐντιναχθήσον-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου. Κἂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, ἐλθὼν φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς ἑαυτὸν, ὅτι, Οὐκ ἦν τοσούτου· ἰδιωτικὸν γὰρ, καὶ διαβεβλημένου πρὸς τὰ ἐκτός.

14. Ἐν ταῖς ὁμιλίαις ἀπέστω τὸ ἑαυτοῦ τινων ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι· οὐ γὰρ, ὡς σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τὸ τῶν σοὶ συμβεβηκότων ἀκούειν.

15. Ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν· ὀλισθηρὸς γὰρ ὁ τρόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τὴν πρός σε τῶν πλησίον ἀνιέναι.

16. Ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. Ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, καὶ ἐπίπληξον τῷ προελθόντι· εἰ δὲ μὴ, τῷ γε ἀποσιωπῆσαι, καὶ ἐρυθριᾶσαι, καὶ σκυθρωπάσαι δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ΄.

Ὅταν ἡδονῆς τινος φαντασίαν λάβῃς, καθάπερ ἐπὶ τῶν ἄλλων, φύλασσε σαυτὸν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς· ἀλλ' ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε, ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὃν τε ἀπολαύσεις τῆς ἡδονῆς, καὶ καθ' ὃν, ἀπολαύσας, ὕστερον μετανοήσεις, καὶ αὐτὸς σεαυτῷ λοιδορήσῃ. Καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις, καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν. Ἐὰν δέ σοι καιρὸς φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε, μὴ ἡττήσῃ σε τὸ προσηνὲς αὐτοῦ καὶ ἡδὺ καὶ ἐπαγωγόν· ἀλλ' ἀντιτίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι σεαυτῷ ταύτην τὴν νίκην νενικηκότι.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ΄.

Ὅταν τι διαγνοὺς ὅτι ποιητέον ἐστὶ, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ἀλλοΐόν τι μέλλωσιν οἱ πολλοὶ περὶ αὐτοῦ ὑπολαμβάνειν. Εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ τὸ ἔργον φεῦγε. Εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήττοντας οὐκ ὀρθῶς;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΑΤ'.

Ὡς τὸ, Ἡμέρα ἐστὶ, Νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς δὲ τὸ συμπεπλεγμένον ἀπαξίαν, οὕτω καὶ τὴν μείζονα μερίδα ἐκλέξασθαι πρὸς μὲν τὸ σῶμα ἔχει ἀξίαν, πρὸς δὲ τὸ κοινωνικὸν ἐν ἑστιάσει, ὃ δεῖ φυλάξαι, ἀπαξίαν ἔχει. Ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μέμνησο, μὴ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὁρᾶν, ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα, οἵαν δεῖ, φυλάξαι.

ΚΕΦΑΛΑΙΟΝ ΑΖ'.

Ἐὰν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ, ὃ ἠδύνασο ἐκπληρῶσαι, παρέλιπες.

ΚΕΦΑΛΑΙΟΝ ΑΗ'.

Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις, μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα σου, οὕτω πρόσεχε, μὴ καὶ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. Καὶ τοῦτο ἐὰν ἐφ' ἑκάστου ἔργου παραφυλάσσωμεν, ἀσφαλέστερον ἀφόρμεθα τοῦ ἔργου.

ΚΕΦΑΛΑΙΟΝ ΑΘ'.

Μέτρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὑ ποὺς ὑποδήματος. Ἐὰν μὲν οὖν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον· ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη φέρεσθαι. Καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν. Τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος οὐθείς ἐστιν.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Αἱ γυναῖκες εὐθὺς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν Κυρίαι καλοῦνται. Τοιγαροῦν ὁρῶσαι, ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμῶνται τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. Προσέχειν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὖν ἄξιον, ἵνα αἴσθωνται, διότι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι καὶ αἰδήμονες.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ΄.

Ἀφυΐας σημεῖον, τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα· οἷον, ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ὀχεύειν. Ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον· περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔστω ἐπιστροφή.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ΄.

Ὅταν σέ τις κακῶς ποιῇ, ἢ κακῶς λέγῃ, μέμνησο, ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ, ἢ λέγει. Οὐχ οἷόν τε οὖν, ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ. Ὥστε, εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτεται, ὅστις καὶ ἐξηπάτηται. Καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἄν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βέβλαπται, ἀλλ' ὁ ἐξαπατηθείς. Ἀπὸ τούτων οὖν ὁρμώμενος, πρᾴως ἔξεις πρὸς τὸν λοιδοροῦντα. Ἐπιφθέγγου γὰρ ἐφ' ἑκάστῳ, ὅτι, Ἔδοξεν αὐτῷ.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ΄.

Πᾶν πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητήν, τὴν δὲ ἀφόρητον. Ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ· αὕτη γὰρ ἡ λαβὴ ἐστιν αὐτοῦ οὐ φορητή· ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφὸς, ὅτι σύντροφος, καὶ λήψῃ αὐτὸ, καθ' ὃ φορητόν.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ΄.

Οὗτοι οἱ λόγοι ἀσύνακτοι, Ἐγώ σου πλουσιώτερός εἰμι, ἐγώ σου ἄρα κρείσσων· ἐγώ σου λογιώτερος, ἐγώ σου ἄρα κρείσσων. Ἐκεῖνοι δὲ μᾶλλον συνακτικοί, Ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείσσων· ἐγώ σου λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων. Σὺ δέ γε οὔτε κτῆσις εἶ, οὔτε λέξις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΕΦΑΛΑΙΟΝ ΜΕ΄.

Λούεταί τις ταχέως; μὴ εἴπῃς, ὅτι, Κακῶς, ἀλλ' ὅτι, Ταχέως. Πίνει τις πολὺν οἶνον; μὴ εἴπῃς, ὅτι, Κακῶς, ἀλλ' ὅτι, Πολύν. Πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶσθα, εἰ κακῶς; Οὕτως οὐ συμβήσεταί σοι, ἄλλων μὲν φαντασίας καταληπτικὰς λαμβάνειν, ἄλλοις δὲ συγκατατίθεσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΜΣ΄.

1. Μηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων· ἀλλὰ ποίει τὸ ἀπὸ τῶν θεωρημάτων· οἷον, ἐν συμποσίῳ μὴ λέγε, πῶς δεῖ ἐσθίειν, ἀλλ' ἔσθιε, ὡς δεῖ. Μέμνησο γὰρ, ὅτι οὕτως ἀφῃρήκει πανταχόθεν Σωκράτης τὸ ἐπιδεικτικὸν, ὥστε ἤρχοντο πρὸς αὐτὸν βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι, κἀκεῖνος ἀπῆγεν αὐτούς· οὕτως ἠνείχετο παρορώμενος.

2. Κἂν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ· μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι ὃ οὐκ ἔπεψας. Καὶ ὅταν εἴπῃ σοί τις, ὅτι οὐδὲν οἶσθα, καὶ σὺ μὴ δηχθῇς, τότε ἴσθι, ὅτι ἄρχῃ τοῦ ἔργου. Ἐπεὶ καὶ τὰ πρόβατα οὐ χόρτον φέροντα τοῖς ποιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν, ἀλλὰ, τὴν νομὴν ἔσω πέψαντα, ἔρια ἔξω φέρει καὶ γάλα. Καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπ' αὐτῶν πεφθέντων τὰ ἔργα.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ΄.

Ὅταν εὐτελῶς ἡρμοσμένος ᾖς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ· μηδ', ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε, ὅτι ὕδωρ πίνεις· κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θέλῃς, σεαυτῷ, καὶ μὴ τοῖς ἔξω· μηδὲ τοὺς ἀνδριάντας περιλάμβανε· ἀλλὰ, διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ΄.

1. Ἰδιώτου στάσις καὶ χαρακτὴρ· οὐδέποτε ἐξ ἑαυτοῦ προσ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. Φιλοσόφου στάσις καὶ χαρακτὴρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

2. Σημεῖα προκοπτοντος· οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν περὶ ἑαυτοῦ λέγει, ὡς ὄντος τινός, εἰ εἰδότος τι. Ὅταν οὖν ἐμποδισθῇ τι ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ. Κἂν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ' ἑαυτῷ· κἂν ψέγῃ, οὐκ ἀπολογεῖται. Περίεισι δὲ, καθάπερ οἱ ἀῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισταμένων, πρὶν πῆξιν λαβεῖν. Ὄρεξιν ἅπασαν ἦρκεν ἐξ ἑαυτοῦ· τὴν δ' ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν μετατέθεικεν· ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται· ἂν ἠλίθιος ἢ ἀμαθὴς δοκῇ, οὐ πεφρόντικεν. Ἐνί τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει καὶ ἐπίβουλον.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

Ὅταν τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ Χρυσίππου βιβλία σεμνύνηται, λέγε αὐτὸς πρὸς ἑαυτὸν, ὅτι, Εἰ μὴ Χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος, ἐφ' ᾧ σεμνυνεῖται. Ἐγὼ δὲ, τί βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. Ζητῶ οὖν τίς ἐστιν ὁ ἐξηγούμενος· καὶ ἀκούσας, ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν· ἀλλ' οὐ νοῶ τὰ γεγραμμένα. Ζητῶ οὖν τὸν ἐξηγούμενον· καὶ μέχρι τούτων οὔπω σεμνόν οὐδέν. Ὅταν δὲ εὕρω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσθαι τοῖς παραγγελμένοις· τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. Ἂν δὲ αὐτὸ τοῦτο, τὸ ἐξηγεῖσθαι, θαυμάσω, τί ἄλλο ἢ γραμματικὸς ἀπετελέσθην ἀντὶ φιλοσόφου; πλήν γε δὴ, ὅτι ἀντὶ Ὁμήρου Χρύσιππον ἐξηγοῦμαι. Μᾶλλον οὖν, ὅταν τις εἴπῃ μοι, Ἐπανάγνωθί μοι Χρύσιππον, ἐρυθριῶ, ὅταν μὴ δύνωμαι ὅμοια τὰ ἔργα καὶ σύμφωνα ἐπιδεικνύειν τοῖς λόγοις.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

Ὅσα προτίθεται, τούτοις, ὡς νόμοις, ὡς ἀσεβήσων, ἂν παραβῇς, ἔμμενε. Ὅ,τι δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου· τοῦτο γὰρ οὐκ ἔτ' ἔστι σόν.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

1. Εἰς ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίστων ἀξιοῦν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σεαυτὸν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν αἱροῦντα λόγον; Παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε συμβαλεῖν καὶ συμβέβληκας. Ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθῇ τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ; Οὐκ ἔτι εἰ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. Ἂν νῦν ἀμελήσῃς καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ προθέσεις ἐκ προθέσεων ποιῇ, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃ, μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων.

2. Ἤδη οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον, καὶ προκόπτοντα· καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος. Κἂν ἐπίπονόν τι ἢ ἡδὺ, ἢ ἔνδοξον ἢ ἄδοξον, προσάγηται, μέμνησο, ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πάρεστι τὰ Ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι οὐκέτι· καὶ ὅτι παρὰ μίαν ἡμέραν καὶ ἐν πρᾶγμα καὶ ἀπόλλυται προκοπὴ καὶ σώζεται.

3. Σωκράτης οὕτως ἀπετελέσθη, ἐπὶ πάντων τῶν προσαγομένων αὐτῷ, μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. Σὺ δὲ, εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶναι βουλόμενος, ὀφείλεις βιοῦν..

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

Ὁ πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ, ὁ τῆς χρήσεως τῶν θεωρημάτων· οἷον, τὸ μὴ ψεύδεσθαι. Ὁ δεύτερος, ὁ τῶν ἀποδείξεων· οἷον, πόθεν ὅτι οὐ δεῖ ψεύδεσθαι. Τρίτος ὁ αὐτῶν τούτων βεβαιωτικὸς καὶ διαρθρωτικός· οἷον, πόθεν ὅτι τοῦτο ἀπόδειξις; τί γάρ ἐστιν ἀπόδειξις; τί ἀκολουθία; τί μάχη; τί ἀληθές; τί ψεῦδος; Οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον, ὁ δὲ δεύτερος διὰ τὸν πρῶτον· ὁ δὲ ἀναγκαιότατος, καὶ ὅπου ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. Ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν· ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίβομεν, καὶ περὶ ἐκεῖνόν ἐστιν ἡμῖν ἡ πᾶσα σπουδή, τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. Τοιγαροῦν ψευδόμεθα μὲν, πῶς δὲ ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

1. Ἐπὶ παντὸς πρόχειρα ἐκτέον ταῦτα·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἄγου δέ με, ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη,
Ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος.
Ὡς ἕψομαί γε ἄοκνος· ἢν δέ γε μὴ θέλω,
Κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.

2. Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν καλῶς,
Σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖ' ἐπίσταται.

3. Ἀλλ', ὦ Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γινέσθω.

4. Ἐμὲ δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὔ.

Ε'.

ΚΕΒΗΤΟΣ ΘΗΒΑΙΟΥ

ΠΙΝΑΞ.

Τοῦ διαλόγου πρόσωπα,

ΞΕΝΟΣ ΚΑΙ ΠΡΕΣΒΥΤΗΣ.

Ξ. ΕΤΥΓΧΑΝΟΜΕΝ περιπατοῦντες ἐν τῷ τοῦ Κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν· ἀνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθεν τοῦ νεώ, ἐν ᾧ ἦν γραφή τις ξένη, καὶ μύθους ἔχουσα ἰδίους, οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν, τίνες καί ποτ' ἦσαν. Οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμμένον, οὔτε στρατόπεδον· ἀλλὰ περίβολος ἦν, ἐν αὐτῷ ἔχων ἑτέρους περιβόλους δύο, τὸν μὲν μείζω, τὸν δὲ ἐλάττω. Ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου· πρὸς δὲ τῇ πύλῃ ὄχλος ἐδόκει ἡμῖν πολὺς ἑστάναι. Καὶ ἔνδον δὲ, ἐν τῷ περιβόλῳ, πλῆθός τι γυναικῶν ἐωρᾶτο. Ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου γέρων τις ἑστὼς, ἔμφασιν ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ. Ἀπορούντων οὖν ἡμῶν περὶ τῆς μυθολογίας πρὸς ἀλλήλους πολὺν χρόνον, *Πρεσβύτης* τις παρεστὼς,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Π. Οὐδὲν δεινὸν πάσχετε, ὦ Ξένοι (ἔφη), ἀποροῦντες περὶ τῆς γραφῆς ταύτης· οὐδὲ γὰρ τῶν ἐπιχωρίων πολλοὶ οἴδασι, τί ποτε αὕτη ἡ μυθολογία δύναιτο· οὐδὲ γάρ ἐστι πολιτικὸν τὸ ἀνάθημα· ἀλλὰ ξένος τις πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων, καὶ δεινὸς περὶ σοφίαν, λόγῳ τε καὶ ἔργῳ Πυθαγόρειόν τινα καὶ Παρμενίδειον ἐζηλωκὼς βίον, ὃς τό τε ἱερὸν τοῦτο, καὶ τὴν γραφὴν ἀνέθηκε τῷ Κρόνῳ.

Ξ. Πότερον οὖν (ἔφην ἐγὼ), καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἑωρακώς;

Π. Καὶ ἐθαύμασά γε (ἔφη) αὐτὸν πολὺν χρόνον νεώτερος ὤν. Πολλὰ γὰρ καὶ σπουδαῖα διελέγετο· καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος.

Ξ. Πρὸς Διός τοίνυν (ἔφην ἐγὼ), εἰ μὴ τίς σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν· πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτ' ἐστὶν ὁ μῦθος.

Π. Οὐδείς φθόνος, ὦ ξένοι (ἔφη). Ἀλλὰ τουτὶ πρῶτον δεῖ ὑμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις.

Ξ. Οἷον τί (ἔφην ἐγώ);

Π. Ὅτι, εἰ μὲν προσέξετε (ἔφη), καὶ συνήσετε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε· εἰ δὲ μή, ἄφρονες καὶ κακοδαίμονες, καὶ πικροί, καὶ ἀμαθεῖς γενόμενοι, κακῶς βιώσεσθε. Ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα τῷ τῆς Σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προύβάλλετο τοῖς ἀνθρώποις. Εἰ μὲν οὖν αὐτὸ συνίη τις, ἐσώζετο· εἰ δὲ μὴ συνίη, ἀπώλλυτο ὑπὸ τῆς Σφιγγός. Ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ἔχει ταύτης. Ἡ γὰρ Ἀφροσύνη τοῖς ἀνθρώποις Σφὶγξ ἐστίν. Αἰνίττεται δὲ τάδε, τί ἀγαθὸν, τί κακὸν, τί οὔτε ἀγαθὸν, οὔτε κακόν ἐστιν ἐν τῷ βίῳ. Ταῦτ' οὖν ἐὰν μέν τις μὴ συνῇ, ἀπόλλυται ὑπ' αὐτῆς· οὐκ εἰσάπαξ, ὥσπερ ὁ ὑπὸ τῆς Σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν· ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ τῇ Τιμωρίᾳ παραδιδόμενος. Ἐὰν δέ τις γνῷ, ἀνάπαλιν ἡ μὲν Ἀφροσύνη ἀπόλλυται, αὐτὸς δὲ σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ. Ὑμεῖς οὖν προσέχετε, καὶ μὴ παρακούετε.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ξ. Ὦ Ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμβέβληκας ἡμᾶς, εἰ ταῦθ' οὕτως ἔχει.

Π. Ἀλλ' ἔστιν (ἔφη), οὕτως ἔχοντα.

Ξ. Οὐκ ἂν φθάνοις τοίνυν διηγούμενος, ὡς ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτίμιον τοιοῦτόν ἐστιν.

Ἀναλαβὼν οὖν ῥάβδον τινὰ, καὶ ἐκτείνας πρὸς τὴν γραφὴν,

Π. Ὁρᾶτε (ἔφη), τὸν περίβολον τοῦτον;

Ξ. Ὁρῶμεν.

Π. Τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς, ὅτι καλεῖται ὁ τόπος οὗτος, Βίος· καὶ ὁ ὄχλος ὁ πολὺς, ὁ παρὰ τὴν πύλην ἑρεστὼς, οἱ μέλλοντες εἰσπορεύεσθαι εἰς τὸν βίον, οὗτοί εἰσιν. Ὁ δὲ γέρων, ὁ ἄνω ἑστηκὼς, ἔχων χάρτην τινὰ ἐν τῇ χειρὶ, καὶ τῇ ἑτέρᾳ ὥσπερ δεικνύων τι, οὗτος Δαίμων καλεῖται· προστάττει δὲ τοῖς εἰσπορευομένοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν εἰσέλθωσιν εἰς τὸν βίον· καὶ δεικνύει ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ.

Ξ. Ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς (ἔφην ἐγώ);

Π. Ὁρᾷς (εἶπε), παρὰ τὴν πύλην θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν εἰσπορεύεται ὁ ὄχλος, ἐφ' οὗ κάθηται γυνὴ πεπλασμένη τῷ ἤθει, καὶ πιθανὴ φαινομένη, καὶ ἐν τῇ χειρὶ ἔχουσα ποτήριόν τι;

Ξ. Ὁρῶ. Ἀλλὰ τίς ἐστιν αὕτη (ἔφην ἐγώ);

Π. Ἀπάτη καλεῖται (φησὶν), ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα.

Ξ. Εἶτα τί πράττει αὕτη;

Π. Τοὺς εἰσπορευομένους εἰς τὸν βίον ποτίζει τῇ ἑαυτῆς δυνάμει.

Ξ. Τοῦτο δὲ τί ἐστι τὸ ποτόν;

Π. Πλάνος (ἔφη), καὶ Ἄγνοια.

Ξ. Εἶτα τί;

Π. Πιόντες τοῦτο πορεύονται εἰς τὸν βίον.

Ξ. Πότερον οὖν πάντες πίνουσι τὸν πλάνον, ἢ οὔ;

Π. Πάντες πίνουσιν (ἔφη)· ἀλλ' οἱ μὲν πλεῖον, οἱ δὲ ἧττον. Ἐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναικῶν, ἑταιρῶν παντοδαπὰς μορφὰς ἐχουσῶν;

Ξ. Ὁρῶ.

Π. Αὗται τοίνυν, Δόξαι, καὶ Ἐπιθυμίαι, καὶ Ἡδοναὶ καλοῦνται. Ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος, ἀναπηδῶσιν αὗται, καὶ περιπλέκονται πρὸς ἕκαστον, εἶτα ἀπάγουσι.

Ξ. Ποῦ δὲ ἀπάγουσιν αὐτούς;

Π. Αἱ μὲν εἰς τὸ σώζεσθαι (ἔφη), αἱ δὲ εἰς τὸ ἀπόλλυσθαι διὰ τὴν Ἀπάτην.

Ξ. Ὦ δαιμόνιε, ὡς χαλεπὸν τὸ πόμα λέγεις!

Π. Καὶ πᾶσαί γε (ἔφη) ἐπαγγέλλονται ὡς ἐπὶ τὰ βέλτιστα ἄξουσαι, καὶ εἰς βίον εὐδαίμονα καὶ λυσιτελῆ. Οἱ δὲ διὰ τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ὃν πεπώκασι παρὰ τῆς Ἀπάτης, οὐχ εὑρίσκουσι ποία ἐστὶν ἡ ἀληθινὴ ὁδὸς ἡ ἐν τῷ βίῳ, ἀλλὰ πλανῶνται εἰκῆ· ὥσπερ ὁρᾷς καὶ τοὺς πρότερον εἰσπορευομένους,* ὡς* περιάγοντας ὅπη ἂν τύχοι.

Ξ. Ὁρῶ τούτους (ἔφην). Ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἡ ὥσπερ τυφλὴ καὶ μαινομένη τις εἶναι δοκοῦσα, καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου;

Π. Καλεῖται μὲν (ἔφη) Τύχη· ἐστὶ δὲ οὐ μόνον τυφλὴ, ἀλλὰ καὶ μαινομένη, καὶ κωφή.

Ξ. Αὕτη οὖν τί ἔργον ἔχει;

Π. Περιπορεύεται πανταχοῦ (ἔφη)· καὶ παρ' ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδωσι· παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα ἃ ἔδωκε, καὶ ἄλλοις δίδωσιν εἰκῆ καὶ ἀβεβαίως. Διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει τὴν φύσιν αὐτῆς.

Ξ. Ποῖον τοῦτο (ἔφην ἐγώ);

Π. Ὅτι ἐπὶ στρογγύλου λίθου ἕστηκεν.

Ξ. Εἶτα τί τοῦτο σημαίνει;

Π. Ὅτι οὐκ ἀσφαλὴς, οὐδὲ βεβαία ἐστὶν ἡ παρ' αὐτῆς δόσις. Ἐκπτώσεις γὰρ μεγάλαι καὶ σκληραὶ γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ.

Ξ. Ὁ δὲ ὄχλος τῶν ἀνθρώπων, ὁ πολὺς οὗτος περὶ αὐτὴν ἑστηκὼς, τί βούλεται; καὶ τίνες καλοῦνται;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Π. Καλοῦνται μὲν οὗτοι Ἀπροβούλευτοι· αἰτοῦσι δὲ ἕκαστος αὐτῶν ἃ ῥιπτεῖ.

Ξ. Πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφὴν, ἀλλ' οἱ μὲν αὐτῶν δοκοῦσι χαίρειν, οἱ δὲ ἀθυμοῦσιν, ἐκτετακότες τὰς χεῖρας;

Π. Οἱ μὲν δοκοῦντες (ἔφη) χαίρειν, καὶ γελᾷν αὐτῶν, οἱ εἰληφότες τι παρὰ τῆς Τύχης εἰσίν· οὗτοι δὲ καὶ Ἀγαθὴν Τύχην αὐτὴν καλοῦσιν. Οἱ δὲ δοκοῦντες κλαίειν, καὶ τὰς χεῖρας ἐκτετακότες, εἰσὶ παρ' ὧν ἀφείλετο ἃ ἔδωκε πρότερον αὐτοῖς. Οὗτοι δὲ πάλιν Κακὴν Τύχην αὐτὴν καλοῦσι.

Ξ. Τίνα οὖν ἔστιν ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως οἱ μὲν λαμβάνοντες χαίρουσιν, οἱ δὲ ἀποβάλλοντες κλαίουσι;

Π. Ταῦτα (ἔφη), ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀγαθά.

Ξ. Ταῦτα οὖν τίνα ἐστί;

Π. Πλοῦτος δηλαδὴ, καὶ Δόξα, καὶ Εὐγένεια, καὶ Τέκνα, καὶ Τυραννίδες, καὶ Βασιλεῖαι, καὶ τ' ἄλλα ὅσα τούτοις παραπλήσια.

Ξ. Ταῦτα οὖν πῶς οὐκ ἔστιν ἀγαθά;

Π. Περὶ μὲν τούτων (ἔφη) καὶ αὖθις ἐκποιήσει διαλέγεσθαι. Νῦν δὲ περὶ τὴν μυθολογίαν γενώμεθα.

Ξ. Ἔστω οὕτως.

Π. Ὁρᾷς οὖν, ὡς ἂν παρέλθῃς τὴν πύλην ταύτην, ἀνώτερον ἄλλον περίβολον, καὶ γυναῖκας ἔξω τοῦ περιβόλου ἑστηκυίας, κεκοσμημένας ὥσπερ [αἱ] ἑταῖραι εἰώθασι;

Ξ. Καὶ μάλα.

Π. Αὗται τοίνυν, ἡ μὲν Ἀκρασία καλεῖται, ἡ δὲ Ἀσωτία, ἡ δὲ Ἀπληστία, ἡ δὲ Κολακεία.

Ξ. Τί οὖν ὧδε ἑστήκασιν αὗται;

Π. Παρατηροῦσιν (ἔφη) τοὺς εἰληφότας τι παρὰ τῆς Τύχης.

Ξ. Εἶτα τί;

Π. Ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς καὶ κολακεύουσι, καὶ ἀξιοῦσι παρ' αὐταῖς μένειν, λέγουσαι ὅτι βίον ἕξουσιν ἡδὺν, καὶ ἄπονον, καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. Ἐὰν οὖν τις πεισθῇ ὑπ' αὐτῶν εἰσελθεῖν εἰς τὴν ἡδυπάθειαν, μέχρι μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβὴ, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον· εἶτ' οὐκ ἔτι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται ὅτι οὐκ ἤσθιεν, ἀλλ' ὑπ' αὐτῆς κατησθίετο, καὶ ὑβρίζετο. Διὸ καὶ, ὅταν ἀναλώσῃ πάντα, ὅσα ἔλαβε παρὰ τῆς Τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν, καὶ πάνθ' ὑπομένειν, καὶ ἀσχημονεῖν, καὶ ποιεῖν ἕνεκεν τούτων, ὅσα ἐστὶ βλαβερὰ, οἷον ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λῃΐζεσθαι, καὶ πάνθ' ὅσα τούτοις παραπλήσια. Ὅταν οὖν πάντα αὐτοῖς ἐπιλίπῃ, παραδίδονται τῇ Τιμωρίᾳ.

Ξ. Ποία δέ ἐστιν αὕτη;

Π. Ὁρᾷς ὀπίσω τι αὐτῶν (ἔφη), ὥσπερ θύριον μικρὸν, καὶ τόπον στενόν τινα, καὶ σκοτεινόν;

Ξ. Καὶ μάλα.

Π. Οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ, καὶ ῥυπαραὶ, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι;

Ξ. Καὶ μάλα.

Π. Αὗται τοίνυν (ἔφη), ἡ μὲν τὴν μάστιγα ἔχουσα, καλεῖται Τιμωρία· ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, Λύπη· ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, Ὀδύνη.

Ξ. Ὁ δ' ἄλλος οὗτος ὁ παρεστηκὼς αὐταῖς δυσειδής τις, καὶ λεπτὸς, καὶ γυμνὸς, καὶ μετ' αὐτοῦ τις ὁμοία αὐτῷ, αἰσχρὰ, καὶ λεπτὴ, τίνες εἰσί;

Π. Ὁ μὲν, Ὀδυρμὸς καλεῖται (ἔφη)· ἡ δὲ, ἀδελφὴ αὐτοῦ, Ἀθυμία. Τούτοις οὖν παραδίδοται, καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος. Εἶτα ἐνταῦθα πάλιν εἰς τὸν ἕτερον οἶκον ῥίπτεται, εἰς τὴν Κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον καταστρέφει ἐν πάσῃ κακοπραγίᾳ, ἂν μὴ ἡ Μετάνοια αὐτῷ τύχῃ συναντήσασα.

Ξ. Εἶτα τί γίνεται, ἐὰν ἡ Μετάνοια αὐτῷ συναντήσῃ;

Π. Ἐξαίρει αὐτὸν ἐκ τῶν κακῶν, καὶ συνίστησιν αὐτῷ ἑτέραν Δόξαν καὶ Ἐπιθυμίαν, τὴν εἰς τὴν ἀληθινὴν Παιδείαν ἄγουσαν, ἅμα δὲ καὶ τὴν εἰς τὴν Ψευδοπαιδείαν καλουμένην.

Ξ. Εἶτα τί γίγνεται;

Π. Ἐὰν μὲν (φησὶ) τὴν Δόξαν ταύτην προσδέξηται, τὴν ἄξουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν Παιδείαν, καθαρθεὶς ὑπ' αὐτῆς σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ· εἰ δὲ μὴ, πάλιν πλανᾶται ὑπὸ τῆς Ψευδοδοξίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ξ. Ὦ Ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος! ἡ δὲ Ψευδοπαιδεία, ποία ἐστὶν (ἔφην ἐγώ);

Π. Οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον;

Ξ. Καὶ μάλα (ἔφην ἐγώ).

Π. Οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον γυνή τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθάριος καὶ εὔτακτος εἶναι;

Ξ. Καὶ μάλα.

Π. Ταύτην τοίνυν οἱ πολλοί, καὶ εἰκαῖοι τῶν ἀνθρώπων, Παιδείαν καλοῦσιν· οὐκ ἔστι δὲ, ἀλλὰ Ψευδοπαιδεία (ἔφη). Οἱ μέν τοι σωζόμενοι, ὁπόταν βούλωνται εἰς τὴν ἀληθινὴν Παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίγνονται.

Ξ. Πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν, ἐπὶ τὴν ἀληθινὴν Παιδείαν ἄγουσα;

Π. Ἔστιν (ἔφη).

Ξ. Οὗτοι δὲ οἱ ἄνθρωποι, οἱ ἔσω τοῦ περιβόλου ἀνακάμπτοντες, τίνες εἰσίν;

Π. Οἱ τῆς Ψευδοπαιδείας (ἔφη) ἐρασταὶ, ἠπατημένοι, καὶ οἰόμενοι μετὰ τῆς ἀληθινῆς Παιδείας συνομιλεῖν.

Ξ. Τίνες οὖν καλοῦνται οὗτοι;

Π. Οἱ μὲν, Ποιηταὶ (ἔφη)· οἱ δὲ, Ῥήτορες· οἱ δὲ, Διαλεκτικοί· οἱ δὲ, Μουσικοί· οἱ δὲ, Ἀριθμητικοί· οἱ δὲ, Γεωμέτραι· οἱ δὲ, Ἀστρολόγοι· οἱ δὲ, Ἡδονικοί· οἱ δὲ, Περιπατητικοί· οἱ δὲ, Κριτικοί· καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσιοι.

Ξ. Αἱ δὲ γυναῖκες ἐκεῖναι, αἱ δοκοῦσαι περιτρέχειν, ὅμοιαι ταῖς πρώταις, ἐν αἷς ἔφης εἶναι τὴν Ἀκρασίαν, καὶ αἱ ἄλλαι αἱ μετ' αὐτῶν, τίνες εἰσίν;

Π. Αὐταὶ ἐκεῖναί εἰσιν (ἔφη).

Ξ. Πότερον οὖν καὶ ὧδε εἰσπορεύονται;

Π. Νὴ Δία καὶ ὧδε· ὅπανίως δὲ, καὶ οὐχὶ ὥσπερ ἐν τῷ πρώτῳ περιβόλῳ.

Ξ. Πότερον οὖν καὶ αἱ Δόξαι;

Π. Ναί (ἔφη). Μένει γὰρ καὶ ἐν τούτοις τὸ πῶμα, ὃ ἔπιον παρὰ τῆς Ἀπάτης, καὶ ἡ Ἄγνοια μένει καὶ ἐν τούτοις, νὴ Δία, καὶ μετ' αὐτῆς γε ἡ Ἀφροσύνη· καὶ οὐ μὴ ἀπέλθῃ ἀπ' αὐτῶν οὔθ' ἡ Δόξα,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὔθ' ἡ λοιπὴ Κακία, μέχρις ἂν ἀπογνόντες τῆς Ψευδοπαιδείας εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδὸν, καὶ πίωσι τὰς τούτων καθαρτικὰς δυνάμεις. Εἶτα, ὅταν καθαρθῶσι, καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ' ὅσ' ἂν ἔχωσι, καὶ τὰς Δόξας, καὶ τὴν Ἀγνοιαν, καὶ τὴν λοιπὴν Κακίαν πᾶσαν, τότε ἂν οὕτως σωθήσονται. Ὧδε δὲ μένοντες παρὰ τῇ Ψευδοπαιδείᾳ οὐδέποτε ἀπολυθήσονται, οὐδὲ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν ἕνεκα τούτων τῶν μαθημάτων.

Ξ. Ποία οὖν ἐστιν αὕτη ἡ ὁδὸς, ἡ φέρουσα εἰς τὴν ἀληθινὴν Παιδείαν (ἔφην);

Π. Ὁρᾷς ἄνω (ἔφη) τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ' ἔρημος δοκεῖ εἶναι;

Ξ. Ὁρῶ.

Π. Οὐκοῦν καὶ θύραν τινὰ μικρὰν καὶ ὁδόν τινα πρὸ τῆς θύρας, ἥτις οὐ πολὺ ὀχλεῖται, ἀλλ' ὀλίγοι πάνυ πορεύονται, ὥσπερ ἀνοδίας τινὸς καὶ τραχείας καὶ πετρώδους εἶναι δοκούσης;

Ξ. Καὶ μάλα (ἔφην).

Π. Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα ἔνθεν καὶ ἔνθεν βαθεῖς;

Ξ. Ὁρῶ.

Π. Αὕτη τοίνυν ἐστὶν ἡ ὁδὸς (ἔφη) ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν Παιδείαν.

Ξ. Καὶ μάλα γε χαλεπὴ προσιδεῖν.

Π. Οὐκοῦν καὶ ἄνω ἐπὶ τοῦ βουνοῦ ὁρᾷς πέτραν τινὰ μεγάλην καὶ ὑψηλὴν, καὶ κύκλῳ ἀπόκρημνον;

Ξ. Ὁρῶ (ἔφην).

Π. Ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας ἐπὶ τῇ πέτρᾳ, λιπαρὰς, καὶ εὐεκτούσας τῷ σώματι, ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως;

Ξ. Ὁρῶ· ἀλλὰ τίνες καλοῦνται (ἔφην) αὗται;

Π. Ἡ μὲν, Ἐγκράτεια καλεῖται (ἔφη)· ἡ δὲ Καρτερία· εἰσὶ δὲ ἀδελφαί.

Ξ. Τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως;

Π. Παρακαλοῦσιν (ἔφη) τοὺς παραγιγνομένους ἐπὶ τὸν τόπον,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θαῤῥεῖν, καὶ μὴ ἀποδειλιᾶν, λέγουσαι, ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτοὺς, εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν.

Ξ. Ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν, πῶς ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ' αὐτήν.

Π. Αὗται ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς αὑτάς. Εἶτα κελεύουσιν αὐτοὺς διαναπαύσασθαι· καὶ μετὰ μικρὸν διδόασιν Ἰσχὺν καὶ Θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστήσειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδὸν, ὡς ἔστι καλή τε, καὶ ὁμαλὴ, καὶ εὐπόρευτος, καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς.

Ξ. Ἐμφαίνει, νὴ Δία.

Π. Ὁρᾷς οὖν (ἔφη) ἔμπροσθεν τοῦ ἄλσους ἐκείνου καὶ τόπον τινὰ, ὃς δοκεῖ καλός τε εἶναι, καὶ λειμωνοειδὴς, καὶ φωτὶ πολλῷ καταλαμπόμενος;

Ξ. Καὶ μάλα.

Π. Κατανοεῖς οὖν καὶ ἐν μέσῳ τῷ λειμῶνι περίβολον ἕτερον, καὶ πύλην ἑτέραν;

Ξ. Ἔστιν οὕτως. Ἀλλὰ τίς καλεῖται ὁ τόπος οὗτος;

Π. *Εὐδαιμόνων οἰκητήριον* (ἔφη)· ὧδε γὰρ διατρίβουσιν αἱ Ἀρεταὶ πᾶσαι, καὶ ἡ Εὐδαιμονία.

Ξ. Εἶεν (ἔφην ἐγώ)· ὡς καλὸν λέγεις τὸν τόπον εἶναι.

Π. Οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς (ἔφη), ὅτι γυνή τις ἑστὶ καλὴ καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέσῃ δὲ καὶ κεκριμένῃ ἤδη τῇ ἡλικίᾳ, στολὴν δ' ἔχουσα ἁπλῆν τε καὶ ἀκαλλώπιστον; ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ' ἐπὶ τετραγώνου, ἀσφαλῶς κειμένου. Καὶ μετ' αὐτῆς ἄλλαι δύο εἰσὶ, θυγατέρες τινὲς δοκοῦσαι εἶναι.

Ξ. Ἐμφαίνει οὕτως ἔχειν.

Π. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, Παιδεία ἐστίν· ἡ δὲ, Ἀλήθεια· ἡ δὲ, Πειθώ.

Ξ. Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη;

Π. Σημεῖον (ἔφη), ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ξ. Καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη;

Π. Θάρσος, καὶ Ἀροβία (ἔφη ἐκεῖνος).

Ξ. Ταῦτα δὲ τίνα ἐστίν;

Π. Ἐπιστήμη (ἔφη) τοῦ μηδὲν ἄνποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ.

Ξ. Ὦ Ἡράκλεις, ὡς καλὰ (ἔφην) τὰ δῶρα! Ἀλλὰ τίνος ἕνεκεν οὕτως ἔξω τοῦ περιβόλου ἕστηκεν;

Π. Ὅπως τοὺς παραγινομένους (ἔφη) θεραπεύῃ καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν. Εἶθ', ὅταν καθαρθῶσιν, οὕτως αὐτοὺς εἰσάγει πρὸς τὰς Ἀρετάς.

Ξ. Πῶς τοῦτο (ἔφην ἐγώ); Οὐ γὰρ συνίημι.

Π. Ἀλλὰ συνήσεις (ἔφη). Ὡς ἂν, εἴ τις φιλόθοινος κάμνων ἐτύγχανε, πρὸς ἰατρὸν ἂν δήπου γενόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε τὰ νοσοποιοῦντα· εἶτα οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν κατέστησεν. Εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, εὐλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου.

Ξ. Ταῦτα μὲν συνίημι (ἔφην ἐγώ).

Π. Τὸν αὐτὸν τοίνυν τρόπον (ἔφη), καὶ πρὸς τὴν Παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν, καὶ ποτίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ πρῶτον καὶ ἐκβάλῃ τὰ κακὰ, ὅσα ἔχων ἦλθε.

Ξ. Ποῖα ταῦτα;

Π. Τὴν Ἄγνοιαν καὶ τὸν Πλάνον, ἃ παρὰ τῆς Ἀπάτης ἐπεπώκει, καὶ τὴν Ἀλαζονείαν, καὶ τὴν Ἐπιθυμίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὸν Θυμὸν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν τῷ πρώτῳ περιβόλῳ.

Ξ. Ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει;

Π. Ἔνδον (ἔφη) πρὸς τὴν Ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας Ἀρετάς.

Ξ. Ποίας ταύτας;

Π. Οὐχ ὁρᾷς (ἔφη) ἔσω τῆς πύλης χορὸν γυναικῶν· ὡς εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν· ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι, καθάπερ αἱ ἄλλαι;

Ξ. Ὁρῶ (ἔφην). Ἀλλὰ τίνες αὗται καλοῦνται;

Π. Ἡ μὲν πρώτη, Ἐπιστήμη (ἔφη) καλεῖται. Αἱ δὲ ἄλλαι,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταύτης ἀδελφαί, Ἀνδρεία, Δικαιοσύνη, Καλοκἀγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πρᾳότης.

Ξ. Ὦ κάλλιστα (ἔφην ἔγωγε)! ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν!

Π. Ἐὰν συνῆτε (ἔφη), καὶ ἔξιν περιποιήσησθ' ὧν ἀκούετε.

Ξ. Ἀλλὰ προσέξομεν ὡς μάλιστα (ἔφην ἔγωγε).

Π. Τοιγαροῦν (ἔφη) σωθήσεσθε.

Ξ. Ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῦ ἀπάγουσι;

Π. Πρὸς τὴν μητέρα (ἔφη).

Ξ. Αὕτη δὲ τίς ἐστιν;

Π. Εὐδαιμονία (ἔφη).

Ξ. Ποία δέ ἐστιν αὕτη;

Π. Ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων;

Ξ. Ὁρῶ.

Π. Οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσμημένη ἐλευθέρως, καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καὶ ποικίλῳ;

Ξ. Ἐμφαίνει οὕτως.

Π. Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία (ἔφη).

Ξ. Ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ;

Π. Στεφανοῖ αὐτὸν (ἔφη) τῇ ἑαυτῆς δυνάμει ἥτε Εὐδαιμονία, καὶ αἱ ἄλλαι Ἀρεταὶ πᾶσαι, ὥσπερ νενικηκότα τοὺς μεγίστους ἀγῶνας.

Ξ. Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτὸς (ἔφην ἐγώ);

Π. Τοὺς μεγίστους (ἔφη), καὶ τὰ μέγιστα θηρία, ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε, καὶ ἐποίει δοῦλον. Ταῦτα πάντα νενίκηκε, καὶ ἀπέῤῥιψεν ἀφ' ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι, καθάπερ οὗτος ἐκείνοις πρότερον.

Ξ. Ποῖα ταῦτα λέγεις θηρία; πάνυ γὰρ ἐπιποθῶ ἀκοῦσαι.

Π. Πρῶτον μὲν (ἔφη) τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον. Ἢ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι;

Ξ. Καὶ πονηρά γε (ἔφην ἐγώ).

Π. Εἶτα τὴν Λύπην, καὶ τὸν Ὀδυρμὸν, καὶ τὴν Ὑπερηφάνειαν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κακίαν. Πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται, ὥσπερ τὸ πρότερον.

Ξ. Ὦ καλῶν ἔργων (ἔφην ἐγὼ), καὶ καλλίστης νίκης! Ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπέ· τίς ἡ δύναμις τοῦ στεράνου, ᾧ ἔρης στεφανοῦσθαι αὐτόν;

Π. Εὐδαιμονικὴ, ὦ νεανίσκε. Ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει, εὐδαίμων γίγνεται καὶ μακάριος, καὶ ἔχει οὐκ ἐν ἑτέροις τὰς ἐλπίδας τῆς Εὐδαιμονίας, ἀλλ' ἐν αὐτῷ.

Ξ. Ὡς καλὸν τὸ νίκημα λέγεις! ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει;

Π. Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ Ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρῶτον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων, οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζονείας, οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενοδοξίας, ἕτεροι δὲ ὑφ' ἑτέρων κακῶν· ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι, καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττονται διὰ παντὸς τοῦ βίου. Τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν· ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ Δαιμονίου πρόσταγμα.

Ξ. Ὀρθῶς μοι δοκεῖς λέγειν. Ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ Ἀρεταὶ, ὅθεν ἥκει τὸ πρότερον.

Π. Οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο (ἔφη) οὐδὲν τῶν ἐκεῖ· ἀλλ' ἐνεδοίαζε, καὶ διὰ τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ, κακά. Διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρίβοντες. Νῦν δὲ, ἀνειληφὼς τὴν ἐπιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ ὡς κακῶς πράσσουσιν.

Ξ. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ; ἢ ποῖ ἔτι βαδίζει;

Π. Ὅποι ἂν βούληται (ἔφη)· πανταχοῦ γάρ ἐστιν αὐτῷ ἀσφάλεια, ὥσπερ τῷ τὸ Κωρύκιον ἄντρον ἔχοντι. Καὶ πανταχοῦ οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλείας. Ὑπο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες.

Ξ. Πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκ ἔτι φοβεῖται, μή τι πάθῃ ὑπ' αὐτῶν;

Π. Νὴ Δία, οὐδὲν οὐ μὴ διοχληθήσεται, οὔτε ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης, οὔτε ὑπ' Ἀκρασίας, οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπ' ἄλλου κακοῦ οὐθενός. Ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούντων, καθάπερ οἱ ἐχιολέκται. Τὰ γὰρ θηρία δήπου, τὰ πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτούς. Οὕτω καὶ τοῦτον οὐκ ἔτι οὐθὲν λυπεῖ, διὰ τὸ ἔχειν τὸ ἀντιφάρμακον.

Ξ. Καλῶς ἐμοὶ δοκεῖς λέγειν. Ἀλλ' ἔτι τοῦτό μοι εἰπέ· τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός· οἱ δὲ ἀστεφάνωτοι, λύπης καὶ ταραχῆς· καὶ τὰς κνήμας [δὲ] καὶ τὰς κεφαλὰς δοκοῦσι τετρίφθαι· κατέχονται δὲ ὑπὸ γυναικῶν τινων.

Π. Οἱ μὲν ἐστεφανωμένοι, οἱ σεσωσμένοι εἰσὶ πρὸς τὴν Παιδείαν, καὶ εὐφραίνονται, τετυχηκότες αὐτῆς· οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν, ἀπεγνωσμένοι ὑπὸ τῆς Παιδείας ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δὲ ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ.

Ξ. Αἱ δὲ γυναῖκες, αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται;

Π. Λύπαι (ἔφη), καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι.

Ξ. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν.

Π. Νὴ Δία, πάντα (ἔφη) καὶ ἐπακολουθοῦσιν. Οὗτοι δὲ, ὅταν παραγένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν καὶ τὴν Ἀκρασίαν, οὐχ ἑαυτοὺς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι καὶ τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι καὶ κακοδαίμονες, οἳ τὸν βίον τὸν παρ' αὐταῖς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καταλιπόντες κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐτοῖς ἀγαθῶν.

Ξ. Ποῖα δὲ [καὶ] λέγουσιν ἀγαθὰ εἶναι;

Π. Τὴν Ἀσωτίαν, καὶ τὴν Ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. Τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπον, καὶ ἀπολαύειν, μέγιστον ἀγαθὸν ἡγοῦνται εἶναι.

Ξ. Αἱ δὲ ἐκεῖθεν παραγιγνόμεναι ἕτεραι γυναῖκες, ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται;

Π. Δόξαι (ἔφη)· καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς Ἀρετὰς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν οὓς τότε ἀπήγαγον.

Ξ. Πότερον οὖν (ἔφην ἐγὼ), αὗται εἴσω πρὸς τὰς Ἀρετὰς εἰσπορεύονται;

Π. (Ἔφη) Οὔ. Οὐ γὰρ θέμις Δόξαν εἰσπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην, ἀλλὰ τῇ Παιδείᾳ παραδιδόασιν αὐτούς. Εἶτα, ὅταν ἡ Παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν, ἄλλους ἄξουσαι· ὥσπερ αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσι, καὶ ἄλλων τινῶν γεμίζονται.

Ξ. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς (ἔφην) ἐξηγεῖσθαι. Ἀλλ' ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ Δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν.

Π. Θαῤῥεῖν (ἔφη). Διὸ καὶ ἡμεῖς θαῤῥεῖτε· πάντα γὰρ ὑμῖν ἐξηγήσομαι, καὶ οὐδὲν ἀποκρύψω.

Ξ. Καλῶς λέγεις (ἔφην ἐγώ).—Ἐκτείνας οὖν τὴν χεῖρα πάλιν,

Π. Ὁρᾶτε (ἔφη) τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον ὅτι Τύχη καλεῖται;

Ξ. Ὁρῶμεν.

Π. Ταύτῃ κελεύει (ἔφη) μὴ πιστεύειν, καὶ βέβαιον μηδὲν πιστεύειν μηδὲ ἀσφαλὲς ἔχειν, ὅ,τι ἂν παρ' αὐτῆς λάβῃ τις, μηδὲ ὡς ἴδια ἡγεῖσθαι. Οὐδὲν γὰρ κωλύει, ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέρῳ διδόναι· πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. Καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν κελεύει πρὸς τὰς παρ' αὐτῆς δόσεις ἀπτῶτους γίγνεσθαι, καὶ μήτε χαίρειν ὅταν διδῷ, μήτε ἀθυμεῖν ὅταν ἀφέλη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ται, καὶ μήτε ψέγειν αὐτὴν, μήτε ἐπαινεῖν. Οὐδὲν γὰρ ποιεῖ μετὰ λογισμοῦ, ἀλλ' εἰκῇ, καὶ ὡς ἔτυχε, πάντα, ὥσπερ πρότερον ὑμῖν ἔλεξα. Διὰ τοῦτο οὖν τὸ Δαιμόνιον κελεύει μὴ θαυμάζειν, ὅ,τι ἂν πράττῃ αὕτη, μηδὲ γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. Καὶ γὰρ ἐκεῖνοι, ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι. Ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πεπονθέναι, οὐ μνημονεύοντες, ὅτι ἐπὶ τοῦτο ἔλαβον τὰ θέματα, ἐφ' ᾧ οὐδὲν κωλύει τὸν θέμενον πάλιν κομίσασθαι. Ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαιμόνιον καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν· καὶ μνημονεύειν, ὅτι τοιαύτην ἔχει φύσιν ἡ Τύχη, ὥστε, ἃ δέδωκεν, ἀφελέσθαι, καὶ ταχέως πάλιν δοῦναι πολλαπλάσια, αὖθις δὲ ἀφελέσθαι ἃ δέδωκεν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ προϋπάρχοντα. Ἃ γοῦν διδῷ, κελεύει λαμβάνειν παρ' αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντας πρὸς τὴν βεβαίαν καὶ ἀσφαλῆ δόσιν.

Ξ. Ποίαν ταύτην (ἔφην ἐγώ);

Π. Ἣν λήψονται παρὰ τῆς Παιδείας, ἣν διασωθῶσιν ἐκεῖ.

Ξ. Αὕτη οὖν τίς ἐστιν;

Π. Ἡ ἀληθὴς Ἐπιστήμη (ἔφη) τῶν συμφερόντων, καὶ ἀσφαλὴς δόσις καὶ βεβαία, καὶ ἀμετάβλητος. Φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην, καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον ὅτι Ἀκρασία καὶ Ἀδυπάθεια καλοῦνται, καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδέν. Ὡς δ' ἂν πρὸς τὴν Ψευδοπαιδείαν ἀφίκωνται, κελεύει αὐτοῖς χρόνον τινὰ ἐνδιατρίψαι, καὶ λαβεῖν ὅ,τι ἂν βούλωνται παρ' αὐτῆς, ὥσπερ ἐφόδιον· εἶτα ἐντεῦθεν ἀπιέναι πρὸς τὴν ἀληθινὴν Παιδείαν συντόμως. Ταῦτ' ἐστὶν, ἃ προστάσσει τὸ Δαιμόνιον. Ὅστις τοίνυν παρ' αὐτά τι ποιεῖ, ἢ παρακούει, ἀπόλλυται κακὸς κακῶς.

Ὁ μὲν δὴ μῦθος, ὦ Ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστίν. Εἰ δὲ δεῖ τι προσπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος. Ἐγὼ γὰρ ἡμῖν φράσω.

Ξ. Καλῶς λέγεις (ἔφην) ἐγώ. Ἀλλὰ τί κελεύει αὐτοὺς τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Π. Ταῦθ' ἃ δοκεῖ εὔχρηστα εἶναι.

Ξ. Ταῦτ' οὖν τίνα ἐστί;

Π. Γράμματα (ἔφη), καὶ τῶν ἄλλων μαθημάτων, ἃ καὶ Πλάτων φησὶν ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται.

Ξ. Πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλει τις ἥξειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, ἢ οὔ;

Π. Ἀνάγκη μὲν οὐδεμία (ἔφη)· χρήσιμα μέντοι ἐστί. Πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα.

Ξ. Οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας;

Π. Οὐδέν· ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι· ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. Ὡς γὰρ δι' ἑρμηνέως συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέν τοί γε οὐκ ἄχρηστον ἦν καὶ ἡμᾶς αὐτοὺς τὴν φωνὴν ἀκριβεστέραν ἔχειν, ἅντι συνήκαμεν, οὕτω καὶ ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει γενέσθαι.

Ξ. Πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοὶ, πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων;

Π. Πῶς μέλλουσι προέχειν, ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν ὥσπερ καὶ οἱ ἄλλοι, καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; οὐδὲν γὰρ κωλύει, εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδότην, καὶ τὸ πέρας ἄφρονα.

Ξ. Ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν.

Π. Πῶς οὖν οὗτοι προέχουσιν (ἔφη) εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τούτων τῶν μαθημάτων;

Ξ. Οὐδαμῶς φαίνεται ἐκ τούτου τοῦ λόγου. Ἀλλὰ τί ἐστιν (ἔφην ἐγὼ) τὸ αἴτιον, ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν, ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν Παιδείαν;

Π. Καὶ τί τοῦτο ὠφελεῖ αὐτοὺς (ἔφη); ὅτε πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ πρώτου περιβόλου ἀπὸ τῆς Ἀκρασίας, καὶ τῆς ἄλλης Κακίας, εἰς τὸν τρίτον περίβολον, πρὸς τὴν Παιδείαν τὴν ἀληθινὴν, οἳ τούτους τοὺς μαθηματικοὺς παραλλάττουσιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὥστε, πῶς ἔτι προέχουσιν; ἆρα ἢ ἀκινητότεροι, ἢ δυσμαθέστεροί εἰσι.

Ξ. Πῶς (ἔφην ἐγὼ) τοῦτο;

Π. Ὅτι οἱ ἐν τῷ δευτέρῳ περιβόλῳ, εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε ἐπίστασθαι ἃ οὐκ οἴδασιν. Ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι πρὸς τὸ ὁρμᾷν πρὸς τὴν ἀληθινὴν Παιδείαν. Εἶτα τὸ ἕτερον οὐχ ὁρᾷς, ὅτι καὶ αἱ Δόξαι ἐκ τοῦ πρώτου περιβόλου εἰσπορεύονται πρὸς αὐτοὺς ὁμοίως; Ὥστε οὐθὲν οὗτοι ἐκείνων βελτίους εἰσὶν, ἐὰν μὴ καὶ τούτοις συνῇ Μεταμέλεια, καὶ πεισθῶσιν, ὅτι οὐ Παιδείαν ἔχουσιν, ἀλλὰ Ψευδοπαιδείαν, δι' ἣν ἀπατῶνται. Οὕτω δὲ διακείμενοι, οὐκ ἄν ποτε σωθεῖεν. Καὶ ὑμεῖς τοίνυν, ὦ Ξένοι (ἔφη), ἐὰν μὴ οὕτω ποιῆτε, καὶ ἐνδιατρίβητε τοῖς λεγομένοις, μέχρις ἂν ἕξιν λαβεῖν. Ἀλλὰ περὶ τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ διαλείπειν· τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι. Εἰ δὲ μὴ, οὐδὲν ὄφελος ἔσται ὑμῖν ὧν νῦν ἀκούετε.

Ξ. Ποιήσομεν. Τοῦτο δὲ ἐξήγησαι, πῶς οὐκ ἔστιν ἀγαθὰ, ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς Τύχης; οἷον τὸ ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν, τὸ νικᾶν, καὶ τὰ λοιπὰ, ὅσα τούτοις παραπλήσια; ἢ πάλιν, τὰ ἐναντία πῶς οὐκ ἔστι κακά; Πάνυ γὰρ ἡμῖν παράδοξον καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον.

Π. Ἄγε τοίνυν, πειρῶ (ἔφη) ἀποκρίνασθαι τὸ φαινόμενον, περὶ ὧν ἄν σε ἐρωτῶ.

Ξ. Ἀλλὰ ποιήσω τοῦτο (ἔφην ἐγώ).

Π. Πότερον οὖν, κἂν κακῶς τις ζῇ, ἀγαθὸν ἐκεῖνο τὸ ζῆν;

Ξ. Οὔ μοι δοκεῖ, ἀλλὰ κακὸν (ἔφην ἐγώ).

Π. Πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν (ἔφη), εἴπερ τούτῳ ἐστὶ κακόν;

Ξ. Ὅτι τοῖς μὲν κακῶς ζῶσι, κακόν μοι δοκεῖ εἶναι· τοῖς δὲ καλῶς, ἀγαθόν.

Π. Καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν, καὶ ἀγαθὸν εἶναι;

Ξ. Ἔγωγε.

Π. Μὴ οὖν ἀπιθάνως λέγε. Ἀδύνατον γὰρ, τὸ αὐτὸ πρᾶγμα καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κακὸν καὶ ἀγαθὸν εἶναι. Οὕτω γὰρ καὶ ὠφέλιμον καὶ βλαβερὸν ἂν εἴη, καὶ αἱρετὸν καὶ φευκτὸν ἅμα ἀεί·

Ξ. Ἀπίθανον μέν· ἀλλὰ πῶς οὐκ, εἰ τὸ κακῶς ζῆν, ᾧ ἂν ὑπάρχοι, κακόν τι ὑπάρχει αὐτῷ, κακὸν αὐτῷ τὸ ζῆν ἐστιν;

Π. Ἀλλ' οὐ τὸ αὐτὸ (ἔφη) ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. Ἢ οὔ σοι φαίνεται;

Ξ. Ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὸ αὐτὸ εἶναι.

Π. Τὸ κακῶς τοίνυν ζῆν, κακόν ἐστι· τὸ δὲ ζῆν, οὐ κακόν ἐστιν· ἐπεί, εἰ ἦν κακόν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν.

Ξ. Ἀληθῆ μοι δοκεῖς λέγειν.

Π. Ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν* εἶναι * τὸ ζῆν, οὔτε κακόν· ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν, ἐν τοῖς ἀῤῥωστοῦσίν ἐστι νοσερὸν καὶ ὑγιεινόν [ἀλλὰ τὸ πῶς τέμνειν καὶ καίειν]· οὐκοῦν οὕτω καὶ ἐπὶ τοῦ ζῆν.

Ξ. Ἔστι ταῦτα.

Π. Σὺ τοίνυν οὕτω θεώρησον· Πότερον ἂν βούλοιο ζῆν κακῶς, ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως;

Ξ. Ἀποθανεῖν ἔγωγε καλῶς.

Π. Οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν, εἴπερ αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν.

Ξ. Ἔστι ταῦτα.

Π. Οὐκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν καὶ νοσεῖν. Πολλάκις γὰρ οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ᾖ περίστασις τοιαύτη.

Ξ. Ἀληθῆ λέγεις.

Π. Ἄγε δή, σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως· εἴγε θεωρεῖν ἐστιν (ὡς πολλάκις ἐστὶν ἰδεῖν) ὑπάρχοντά τινι πλοῦτον, κακῶς δὲ ζῶντα τοῦτον καὶ ἀθλίως.

Ξ. Νὴ Δία, πολλούς γε.

Π. Οὐκοῦν οὐδὲν τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς;

Ξ. Φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Π. Οὐκοῦν τὸ σπουδαίους εἶναι, οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ Παιδεία.

Ξ. Εἰκός γε, ἐκ τούτου ἄρα τοῦ λόγου.

Π. Ποῦ δὲ ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴπερ οὐ βοηθεῖ τοῖς ἔχουσιν αὐτὸν, εἰς τὸ βελτίους εἶναι;

Ξ. Φαίνεται.

Π. Οὕτως οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ ἐπίστωνται τῷ πλούτῳ χρῆσθαι.

Ξ. Δοκεῖ μοι.

Π. Πῶς οὖν τοῦτο ἄν τις κρίνειεν ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν;

Ξ. Οὐδαμῶς.

Π. Οὐκοῦν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται· εἰ δὲ μὴ, κακῶς.

Ξ. Ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν.

Π. Καὶ τὸ σύνολον δὲ, τὸ τιμᾶν ταῦτα ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν ὡς κακὰ, τοῦτο δ' ἔστι τὸ ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον, ὅταν τιμῶνταί τε, καὶ οἴωνται διὰ τούτων μόνων εἶναι τὸ εὐδαιμονεῖν· καὶ πάνθ' ἑπομένως πράττωσιν ἕνεκα τούτων, καὶ τὰ ἀσεβέστατα δοκοῦντα εἶναι. Ταῦτα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν. Ἀγνοοῦσι γὰρ, ὅτι οὐ γίνεται ἐκ κακῶν ἀγαθόν. Πλοῦτον δέ ἐστι πολλοὺς κτησαμένους ἰδεῖν ἐκ κακῶν καὶ αἰσχρῶν ἔργων, οἷον λέγω ἐκ τοῦ προδιδόναι καὶ λῃΐζεσθαι, καὶ ἀνδροφονεῖν, καὶ συκοφαντεῖν, καὶ ἀποστερεῖν, καὶ ἐξ ἄλλων πολλῶν καὶ μοχθηρῶν.

Ξ. Ἔστι ταῦτα.

Π. Εἰ τοίνυν γίνεται ἐκ κακοῦ ἀγαθὸν μηθὲν, ὥσπερ εἰκός· πλοῦτος δὲ γίνεται ἐκ κακῶν ἔργων· ἀνάγκη μὴ εἶναι ἀγαθὸν τὸν πλοῦτον.

Ξ. Συμβαίνει οὕτως ἐκ τούτου τοῦ λόγου.

Π. Ἀλλ' οὐδὲ τὸ φρονεῖν γε οὐδὲ δικαιοπραγεῖν οὐκ ἔστι κτήσασθαι ἐκ κακῶν ἔργων· ὡσαύτως δὲ οὐδὲ τὸ ἀδικεῖν καὶ ἀφρονεῖν, ἐκ καλῶν ἔργων· οὐδὲ ὑπάρχειν ἅμα τῷ αὐτῷ δύνανται. Πλοῦτον δὲ, καὶ δόξαν, καὶ τὸ νικᾶν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλή-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σια, οὐδὲν κωλύει ὑπάρχειν τινὶ ἅμα μετὰ κακίας πολλῆς. Ὥστε οὐκ ἂν εἴη ταῦτα ἀγαθὰ οὐδὲ κακά· ἀλλὰ τὸ φρονεῖν μόνον ἀγαθὸν, τὸ δὲ ἀφρονεῖν κακόν.

Ξ. Ἱκανῶς μοι δοκεῖς λέγειν (ἔφην).

Γ'.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας

ΠΑΡΑΙΝΕΣΙΣ ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΥΣ,

Ὅπως ἂν ἐξ Ἑλληνικῶν ὠφελοῖντο λόγων (1).

Πολλὰ μὲ τὰ παρακαλοῦντά ἐστι ξυμβουλεῦσαι ὑμῖν, ὦ παῖδες, ἃ βέλτιστα εἶναι κρίνω, καὶ ἃ ξυνοίσειν ὑμῖν ἐλομένοις πεπίστευκα. Τό, τε γὰρ ἡλικίας οὕτως ἔχειν, καὶ τὸ διὰ πολλῶν ἤδη γεγυμνάσθαι πραγμάτων, καὶ μὴν καὶ τὸ τῆς πάντα παιδευούσης ἐπ' ἄμφω μεταβολῆς ἱκανῶς μετασχεῖν, ἔμπειρόν με εἶναι τῶν ἀνθρωπίνων πεποίηκεν, ὥστε τοῖς ἄρτι καθισταμένοις τὸν βίον, ἔχειν ὥσπερ ὁδοῦ τὴν ἀσφαλεστάτην ὑποδεικνύναι. Τῇ τε παρὰ τῆς φύσεως οἰκειότητι εὐθὺς μετὰ τοὺς γονέας ὑμῖν τυγχάνω, ὥστε μήτε αὐτὸς ἔλαττόν τι πατέρων εὐνοίας νέμειν ὑμῖν· ὑμᾶς δὲ νομίζω, εἰ μή τι ὑμῶν διαμαρτάνω τῆς γνώμης, μὴ ποθεῖν τοὺς τεκόντας, πρὸς ἐμὲ βλέποντας. Εἰ μὲν οὖν προθύμως δέχοισθε τὰ

(1) Κατὰ τὴν ἐν Παρισίοις ἔκδοσιν Ἰουλιανοῦ τοῦ Γαρνιέρου 1722, Τόμ. Β'. σελ. 173—186.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λεγόμενα, τῆς δευτέρας τῶν ἐπαινουμένων ἔσεσθε παρ' Ἡσιόδῳ τάξεως· εἰ δὲ μή, ἐγὼ μὲν οὐδὲν ἂν εἴποιμι δυσχερὲς, αὐτοὶ δὲ μέμνησθε τῶν ἐπῶν δηλονότι, ἐν οἷς ἐκεῖνος φησίν· Ἄριστον μὲν εἶναι τὸν παρ' ἑαυτοῦ τὰ δέοντα ξυνορῶντα· ἐσθλὸν δὲ κἀκεῖνον, τὸν τοῖς παρ' ἑτέρων ὑποδειχθεῖσιν ἑπόμενον· τὸν δὲ πρὸς οὐδέτερον ἐπιτήδειον, ἀχρεῖον εἶναι πρὸς ἅπαντα (1).

Μὴ θαυμάζετε δὲ, εἰ καὶ καθ' ἑκάστην ἡμέραν εἰς διδασκάλους φοιτῶσι, καὶ τοῖς ἐλλογίμοις τῶν παλαιῶν ἀνδρῶν, δι' ὧν καταλελοίπασι λόγων, συγγινομένοις ὑμῖν, αὐτός τι παρ' ἐμαυτοῦ λυσιτελέστερον ἐξευρηκέναι φημί. Τοῦτο μὲν οὖν αὐτὸ καὶ ξυμβουλεύσων ἥκω, τὸ μὴ δεῖν εἰσάπαξ τοῖς ἀνδράσι τούτοις, ὥσπερ πλοίου, τὰ πηδάλια τῆς διανοίας ὑμῶν παραδόντας, ᾗπερ ἂν ἄγωσι, ταύτῃ συνέπεσθαι· ἀλλ' ὅσον ἐστὶ χρήσιμον αὐτῶν δεχομένους, εἰδέναι τί χρὴ καὶ παριδεῖν. Τίνα οὖν ἐστὶ ταῦτα, καὶ ὅπως διακρινοῦμεν, τοῦτο δὴ καὶ διδάξω, ἔνθεν ἐλών.

Ἡμεῖς, ὦ παῖδες, οὐδὲν εἶναι χρῆμα παντάπασι τὸν ἀνθρώπινον βίον τοῦτον ὑπολαμβάνομεν, οὔτ' ἀγαθόν τι νομίζομεν ὅλως, οὔτ' ὀνομάζομεν, ὃ τὴν συντέλειαν ἡμῖν ἄχρι τούτου παρέχεται. Οὔκουν προγόνων περιφάνειαν, οὐκ ἰσχὺν σώματος, οὐ κάλλος, οὐ μέγεθος, οὐ τὰς παρὰ πάντων ἀνθρώπων τιμὰς, οὐ βασιλείαν αὐτὴν, οὐχ ὅ,τι ἂν εἴποι τις τῶν ἀνθρωπίνων μέγα, ἀλλ' οὐδὲ εὐχῆς ἄξιον κρίνομεν, ἢ τοὺς ἔχοντας ἀποβλέπομεν, ἀλλ' ἐπὶ μακρότερον προϊέμενοι ταῖς ἐλπίσι, καὶ πρὸς ἑτέρου βίου παρασκευὴν ἅπαντα πράττομεν. Ἃ μὲν οὖν ἂν συντελῇ πρὸς τοῦτον ἡμῖν, ἀγαπᾶν τε καὶ διώκειν παντὶ σθένει χρῆναι φαμέν· τὰ δὲ οὐκ ἐξικνούμενα πρὸς ἐκεῖνον, ὡς οὐδενὸς ἄξια παρορᾶν.

Τίς δὴ οὖν οὗτος ὁ βίος, καὶ ὅπῃ, καὶ ὅπως αὐτὸν βιωσόμεθα, μακρότερον μὲν, ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν ἐρικέσθαι, μειζόνων

(1) Ἡσιόδ. Ἔργ. καὶ Ἡμέρ. 269—272. — Βλ. Κλασ. Βιβλ. Ἑλλήν. Ποιητῶν, Τόμ. Η', σελ. 38. —

« Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσει·
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
Ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
Ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρῄος ἀνήρ. »

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ ἢ καθ' ὑμᾶς ἀκροατῶν ἀκοῦσαι. Τοσοῦτόν γε μὴν εἰπὼν, ἱκανῶς ἂν ἴσως ὑμῖν ἐνδειξαίμην, ὅτι πᾶσαν ὁμοῦ τὴν, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, τῷ λόγῳ τις συλλαβὼν καὶ εἰς ἓν ἀθροίσας εὐδαιμονίαν, οὐδὲ πολλοστῷ μέρει τῶν ἀγαθῶν ἐκείνων εὑρήσει παρισουμένην, ἀλλὰ πλεῖον τοῦ ἐν ἐκείνοις ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν, κατὰ τὴν ἀξίαν ἀρεστηκότα, ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται. Μᾶλλον δὲ, ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέρα σώματος, τοσούτῳ καὶ τῶν βίων ἑκατέρων ἐστὶ τὸ διάφορον. Εἰς δὴ τοῦτον ἄγουσι μὲν ἱεροὶ λόγοι, δι' ἀποῤῥήτων ἡμᾶς ἐκπαιδεύοντες. Ἕως γε μὴν ὑπὸ τῆς ἡλικίας ἐπακούειν τοῦ βάθους τῆς διανοίας αὐτῶν οὐχοΐόν τε, ἐν ἑτέροις οὐ πάντῃ διεστηκόσιν, ὥσπερ ἐν σκιαῖς τισι καὶ κατόπτροις, τῷ τῆς ψυχῆς ὄμματι τέως προγυμναζόμεθα, τοὺς ἐν τοῖς τακτικοῖς τὰς μελέτας ποιουμένους μιμούμενοι· οἵγε ἐν χειρονομίαις καὶ ὀρχήσεσι τὴν ἐμπειρίαν κτησάμενοι, ἐπὶ τῶν ἀγώνων τοῦ ἐκ τῆς παιδιᾶς ἀπολαύουσι κέρδους. Καὶ ἡμῖν δὴ οὖν ἀγῶνα προκεῖσθαι, πάντων ἀγώνων μέγιστον, νομίζειν χρεών, ὑπὲρ οὗ πάντα ποιητέον ἡμῖν καὶ πονητέον εἰς δύναμιν ἐπὶ τὴν τούτου παρασκευὴν, καὶ ποιηταῖς καὶ λογοποιοῖς καὶ ῥήτορσι, καὶ πᾶσιν ἀνθρώποις ὁμιλητέον, ὅθεν ἂν μέλλῃ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ὠφέλειά τις ἔσεσθαι. Ὡς περ οὖν οἱ δευσοποιοὶ, παρασκευάσαντες πρότερον θεραπείαις τισὶν, ὅ,τι ποτ' ἂν ᾖ τὸ δεξόμενον τὴν βαφὴν, οὕτω τὸ ἄνθος ἐπάγουσιν, ἄν τε ἁλουργὸν, ἄν τέ τι ἕτερον ἢ τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον, εἰ μέλλοι ἀνέκπλυτος ἡμῖν ἅπαντα τὸν χρόνον ἡ τοῦ καλοῦ παραμένειν δόξα, τοῖς ἔξω δὴ τούτοις προτελεσθέντες, τηνικαῦτα τῶν ἱερῶν καὶ ἀποῤῥήτων ἐπακουσόμεθα παιδευμάτων· καὶ οἷον ἐν ὕδατι τὸν ἥλιον ὁρᾶν ἐθισθέντες, οὕτως αὐτῷ προσβαλοῦμεν τῷ φωτὶ τὰς ὄψεις.

Εἰ μὲν οὖν ἐστί τις οἰκειότης πρὸς ἀλλήλους τοῖς λόγοις, προὔργου ἂν ἡμῖν αὐτῶν ἡ γνῶσις γένοιτο· εἰ δὲ μὴ, ἀλλὰ τό γε παράλληλα θέντας, καταμαθεῖν τὸ διάφορον, οὐ μικρὸν εἰς βεβαίωσιν τοῦ βελτίονος. Τίνι μέντοι καὶ παρεικάσας τῶν παιδεύσεων ἑκατέραν τῆς εἰκόνος ἂν τύχοις; ἧπου καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ τὸ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον καὶ φύλλα τοῖς κλά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοις περισειόμενα· οὕτω δὴ καὶ ψυχῇ, προηγουμένως μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ ἄχαρίγε μὴν οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλλα σκέπην τε τῷ καρπῷ καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα. Λέγεται τοίνυν καὶ Μωϋσῆς ἐκεῖνος ὁ πάνυ, οὗ μέγιστόν ἐστιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίων μαθήμασιν ἐγγυμνασάμενος τὴν διάνοιαν (1), οὕτω προσελθεῖν τῇ θεωρίᾳ τοῦ Ὄντος (2). Παραπλησίως δὲ τούτῳ, κἂν τοῖς κάτω χρόνοις, τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνός φασι τὴν σοφίαν Χαλδαίων καταμαθόντα, τότε τῶν θείων ἅψασθαι παιδευμάτων (3).

Ἀλλ' ὅτι μὲν οὐκ ἄχρηστον ψυχαῖς μαθήματα τὰ ἔξωθεν δὴ ταῦτα, ἱκανῶς εἴρηται· ὅπως γε μὴν αὐτῶν μετεκτέον ὑμῖν, ἐξῆς ἂν εἴη λέγειν. Πρῶτον μὲν οὖν τοῖς παρὰ τῶν ποιητῶν (ἵν' ἐντεῦθεν ἄρξωμαι), ἐπεὶ παντοδαποί τινές εἰσι κατὰ τοὺς λόγους, μὴ πᾶσιν ἐρεξῆς προσέχειν τὸν νοῦν. Ἀλλ' ὅταν μὲν τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις ἢ λόγους ὑμῖν διεξίωσιν, ἀγαπᾶν τε καὶ ζηλοῦν, καὶ ὅτι μάλιστα πειρᾶσθαι τοιούτους εἶναι· ὅταν δὲ ἐπὶ μοχθηροὺς ἄνδρας ἔλθωσι, τὴν μίμησιν ταύτην δεῖ φεύγειν, ἐπιῤῥασσομένους τὰ ὦτα οὐχ ἧττον ἢ τὸν Ὀδυσσέα, φασὶν ἐκεῖνοι, τὰ τῶν Σειρήνων μέλη (4). Ἡ γὰρ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια, ὁδός τίς ἐστιν ἐπὶ τὰ πράγματα. Διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. Οὐ τοίνυν ἐπαινεσόμεθα τοὺς ποιητὰς, οὐ λοιδορουμένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας ἢ μεθύοντας μιμουμένους, οὐχ ὅταν τραπέζῃ πληθούσῃ καὶ ᾠδαῖς ἀνειμέναις τὴν εὐδαιμονίαν ὁρίζωνται. Πάντων δὲ ἥκιστα περὶ θεῶν τι διαλεγομένοις προσέξομεν, καὶ μάλισθ' ὅταν ὡς περὶ πολλῶν τε αὐτῶν διεξίωσι, καὶ τούτων οὐδὲ ὁμονοούντων. Ἀδελφὸς γὰρ δὴ παρ' ἐκείνοις διαστασιάζει πρὸς ἀδελφὸν, καὶ γονεὺς πρὸς παῖδας, καὶ τούτοις αὖθις πρὸς τοὺς τεκόντας πόλεμός ἐστιν ἀκήρυκτος. Μοιχείας δὲ θεῶν, καὶ ἔρωτας,

(1) Πράξ. Ἀποστ. Ζ', 22.
(2) Ἐξόδ. Γ', 14.
(3) Δαν. Α', 4.
(4) Ὀδυσ. Μ. στίχ. 160 καὶ ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ μίξεις ἀναφανδόν, καὶ ταύτας γε μάλιστα τοῦ κορυφαίου πάντων καὶ ὑπάτου Διός, ὡς αὐτοὶ λέγουσιν, ἃ κἂν περὶ βοσκημάτων τις λέγων ἐρυθριάσειε, τοῖς ἐπὶ σκηνῆς καταλείψομεν.

Ταὐτὰ δὴ ταῦτα λέγειν καὶ περὶ συγγραφέων ἔχω· καὶ μάλισθ' ὅταν ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων λογοποιῶσι. Καὶ ῥητόρων δὲ τὴν περὶ τὸ ψεύδεσθαι τέχνην οὐ μιμησόμεθα. Οὔτε γὰρ ἐν δικαστηρίοις, οὔτ' ἐν ταῖς ἄλλαις πράξεσιν, ἐπιτήδειον ἡμῖν τὸ ψεῦδος, τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου, οἷς τὸ μὴ δικάζεσθαι, νόμῳ προστεταγμένον ἐστίν (1)· ἀλλ' ἐκεῖνα αὐτῶν μᾶλλον ἀποδεξόμεθα, ἐν οἷς ἀρετὴν ἐπήνεσαν, ἢ πονηρίαν διέβαλον. Ὡς γὰρ τῶν ἀνθέων τοῖς μὲν λοιποῖς ἄχρι τῆς εὐωδίας ἡ τῆς χρόας ἐστὶν ἡ ἀπόλαυσις, ταῖς μελίτταις δ' ἄρα καὶ μέλι λαμβάνειν ἀπ' αὐτῶν ὑπάρχει· οὕτω δὴ κἀνταῦθα, τοῖς μὴ τὸ ἡδὺ καὶ ἐπίχαρι μόνον τῶν τοιούτων λόγων διώκουσιν, ἔστι τινὰ καὶ ὠφέλειαν ἀπ' αὐτῶν εἰς τὴν ψυχὴν ἀποθέσθαι. Κατὰ πᾶσαν δὴ οὖν τῶν μελιττῶν τὴν εἰκόνα, τῶν λόγων ἡμῖν μεθεκτέον. Ἐκεῖναί τε γάρ, οὔτε ἅπασι τοῖς ἄνθεσι παραπλησίως ἐπέρχονται, οὔτε μὴν οἷς ἂν ἐπιπτῶσιν, ὅλα φέρειν ἐπιχειροῦσιν· ἀλλ' ὅσον αὐτῶν ἐπιτήδειον πρὸς τὴν ἐργασίαν λαβοῦσαι, τὸ λοιπὸν χαίρειν ἀφῆκαν. Ἡμεῖς τε, ἂν σωφρονῶμεν, ὅσον οἰκεῖον ἡμῖν καὶ συγγενὲς τῇ ἀληθείᾳ παρ' αὐτῶν κομισάμενοι, ὑπερβησόμεθα τὸ λειπόμενον. Καὶ καθάπερ τῆς ῥοδωνιᾶς τοῦ ἄνθους δρεψάμενοι, τὰς ἀκάνθας ἐκκλίνομεν, οὕτω καὶ ἐπὶ τῶν τοιούτων λόγων, ὅσον χρήσιμον καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξώμεθα.

Εὐθὺς οὖν ἐξ ἀρχῆς ἐπισκοπεῖν ἕκαστον τῶν μαθημάτων, καὶ συναρμόζειν τῷ τέλει προσῆκε, κατὰ τὴν Δωρικὴν παροιμίαν, Τὸν λίθον ποτὶ τὰν σπάρταν ἄγοντας. Καὶ ἐπειδή περ δι' ἀρετῆς ἡμᾶς ἐπὶ τὸν βίον καθεῖναι δεῖ τὸν ἡμέτερον, εἰς ταύτην δὲ πολλὰ μὲν ποιηταῖς, πολλὰ δὲ συγγραφεῦσι, πολλῷ δ' ἔτι πλείω φιλοσόφοις ἀνδράσιν ὕμνηται, τοῖς τοιούτοις τῶν λόγων μάλιστα προσεκτέον. Οὐ μικρὸν γὰρ τὸ ὅρελος οἰκειότητά τινα καὶ συνήθειαν ταῖς τῶν νέων ψυχαῖς τῆς ἀρετῆς ἐγγενέσθαι· ἐπεί περ ἀμετάστατα πέφυκεν

(1) Ματθ. Ε', 40, καὶ Ζ', 1—2.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶναι τὰ τῶν τοιούτων μαθήματα, δι' ἀπαλότητα τῶν ψυχῶν, εἰς βάθος ἐνσημαινόμενα. Ἤ τί ποτ' ἄλλο διανοηθέντα τὸν Ἡσίοδον, ὑπολάβωμεν ταυτὶ ποιῆσαι τὰ ἔπη, ἃ πάντες ᾄδουσιν, ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπ' ἀρετήν (1); ὅτι τραχεῖα μὲν πρῶτον καὶ δύσβατος, καὶ ἱδρῶτος συχνοῦ καὶ πόνου πλήρης, ἡ πρὸς ἀρετὴν φέρουσα, καὶ ἀνάντης ὁδός. Διόπερ οὐ παντὸς, οὔτε προσβῆναι αὐτῇ διὰ τὸ ὄρθιον, οὔτε προσβάντι, ῥᾳδίως ἐπὶ τὸ ἄκρον ἐλθεῖν. Ἄνω δὲ γενομένῳ ὁρᾶν ὑπάρχει, ὡς μὲν λεία τε καὶ καλὴ, ὡς δὲ ῥᾳδία τε καὶ εὔπορος, καὶ τῆς ἑτέρας ἡδίων τῆς ἐπὶ τὴν κακίαν ἀγούσης, ἣν ἀθρόαν εἶναι λαβεῖν ἐκ τοῦ σύνεγγυς ὁ αὐτὸς οὗτος ποιητὴς ἔφησεν. Ἐμοὶ μὲν γὰρ δοκεῖ οὐδὲν ἕτερον, ἢ προτρέπων ἡμᾶς ἐπ' ἀρετὴν, καὶ προκαλούμενος ἅπαντας ἀγαθοὺς εἶναι, ταῦτα διελθεῖν· καὶ ὥστε μὴ καταμαλακισθέντας πρὸς τοὺς πόνους, προαποστῆναι τοῦ τέλους. Καὶ μέν τοι, καὶ εἴ τις ἕτερος ἐοικότα τούτοις τὴν ἀρετὴν ὕμνησεν, ὡς εἰς ταὐτὸν ἡμῖν φέροντας τοὺς λόγους ἀποδεχώμεθα.

Ὡς δ' ἐγώ τινος ἤκουσα δεινοῦ καταμαθεῖν ἀνδρὸς ποιητοῦ διάνοιαν, πᾶσα μὲν ἡ ποίησις τῷ Ὁμήρῳ ἀρετῆς ἐστὶν ἔπαινος, καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει, ὅ,τι μὴ πάρεργον· οὐχ ἥκιστα δὲ ἐν οἷς τὸν στρατηγὸν τῶν Κεφαλλήνων πεποίηκε γυμνὸν ἐκ τοῦ ναυαγίου περισωθέντα (2). Πρῶτον μὲν αἰδέσαι τὴν βασιλίδα φανέντα μόνον· τοσούτου δεῖν αἰσχύνην ὀρλῆσαι, γυμνὸν ὀρθέντα μόνον· ἐπειδήπερ αὐτὸν ἀρετὴ ἀντὶ ἱματίων κεκοσμημένον ἐποίησεν. Ἔπειτα μέν τοι καὶ τοῖς λοιποῖς Φαίαξι τοσοῦτον ἄξιον νομισθῆναι, ὥστε ἀφέντας τὴν τρυφὴν, ἣ συνέζων, ἐκεῖνον ἀποβλέπειν καὶ ζηλοῦν ἅπαντας, καὶ μηδένα Φαιάκων ἐν τῷ τότε εἶναι ἄλλοτι ἂν εὔξασθαι μᾶλλον, ἢ Ὀδυσσέα γενέσθαι, καὶ ταῦτα ἐκ ναυαγίου περισωθέντα. Ἐν τούτοις γὰρ ἔλεγεν ὁ τοῦ ποιητοῦ τῆς διανοίας ἐξηγητὴς, μονονουχὶ βοῶντα λέγειν τὸν Ὅμηρον· ὅτι ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἣ καὶ ναυαγήσαντι συνεκνήχεται, καὶ ἐπὶ τῆς χέρσου γενόμενον γυμνὸν, τιμιώτερον ἀποδείξει τῶν εὐ-

(1) Ἡσιόδ. Ἔργ. καὶ Ἡμέρ. στίχ. 263—268. — Τὰ Ἡσιόδεια ταῦτα ἔπη προεσημειώθησαν ἐν σελ. 36 τοῦ παρόντος τόμου.

(2) Ὁμήρ. Ὀδυσ. Ζ, στίχ. 135 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δαιμόνων Φαιάκων. Καὶ γὰρ οὕτως ἔχει. Τὰ μὲν ἄλλα τῶν κτημάτων, οὐ μᾶλλον τῶν ἐχόντων ἢ καὶ οὐτινοσοῦν τῶν ἐπιτυχόντων ἐστὶν, ὥσπερ ἐν παιδιᾷ κύβων τῇδε κἀκεῖσε μεταβαλλόμενα· μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετον, καὶ ζῶντι καὶ τελευτήσαντι παραμένουσα. Ὅθεν δὴ καὶ Σόλων μοι δοκεῖ πρὸς τοὺς εὐπόρους εἰπεῖν τὸ,

Ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει (1).

Παραπλήσια δὲ τούτοις καὶ τὰ Θεόγνιδος, ἐν οἷς φησι τὸν θεὸν, ὄντινα δὴ καὶ φησὶ, τοῖς ἀνθρώποις τὸ τάλαντον ἐπιῤῥέπειν ἄλλοτε ἄλλως· ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δὲ μηδὲν ἔχειν (2).

Καὶ μὴν καὶ ὁ Κεῖός που σοφιστὴς Πρόδικος τῶν ἑαυτοῦ συγγραμμάτων, ἀδελφὰ τούτοις εἰς ἀρετὴν καὶ κακίαν ἐριλοσόφησεν· ᾧ δὴ καὶ αὐτῷ τὴν διάνοιαν προσεκτέον (οὐ γὰρ ἀπόβλητος ὁ ἀνήρ). Ἔχει δὲ οὕτω πως ὁ λόγος αὐτῷ, ὅσα ἐγὼ τοῦ ἀνδρὸς τῆς διανοίας μέμνημαι· ἐπεὶ τά γε ῥήματα οὐκ ἐπίσταμαι· πλήν γε δὴ ὅτι ἁπλῶς οὕτως εἴρηκεν ἄνευ μέτρου. Ὅτι (3) νέῳ ὄντι τῷ Ἡρακλεῖ κομιδῇ, καὶ σχεδὸν ταύτην ἄγοντι τὴν ἡλικίαν, ἣν καὶ ὑμεῖς νῦν, βουλευομένῳ ποτέραν τράπηται τῶν ὁδῶν, τὴν διὰ τῶν πόνων ἄγουσαν πρὸς ἀρετὴν, ἢ τὴν ῥᾳστην, προσελθεῖν δύω γυναῖκας· ταύτας δὲ εἶναι Ἀρετὴν καὶ Κακίαν· εὐθὺς μὲν οὖν καὶ σιωπώσας, ἐμραίνειν ἀπὸ τοῦ σχήματος τὸ διάφορον. Εἶναι γὰρ τὴν μὲν ὑπὸ κομμωτικῆς διεσκευασμένην εἰς κάλλος, καὶ ὑπὸ τρυφῆς διαῤῥεῖν. καὶ πάντα ἑσμὸν ἡδονῆς ἐξηρτημένην ἄγειν· ταῦτά τε οὖν δεικνύναι, καὶ ἔτι πλείω τούτων ὑπισχνουμένην, ἕλκειν ἐπιχειρεῖν τὸν Ἡρακλέα πρὸς ἑαυτήν. Τὴν δ' ἑτέραν, κατεσκληκέναι,

(1) Βλ. Κλασ. Βιβλιοθ. Ἑλλήν. Ποιητῶν, Τόμ. Γ'. σελ. 49, καὶ Πλούταρχ· ἐν βίῳ Σόλωνος (Ἑλλην. Βιβλιοθ. Κοραῆ, Τόμ. Γ'. σελ. 145).

(2) Νοεῖ ἴσως τὰ τοῦ Θεόγνιδος. στίχ. 309—312. (Κλασ. Βιβλιοθ. Ἑλλήν. Ποιητῶν, Τόμ. Γ'. σελ. 10.)

« Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί.
Τολμᾷ δ' ἔν τ' ἀγαθοῖς κείμενος, ἔν τε κακοῖς.
Εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσει,
Ἀφραίνων κακίην οὐ δύναται κατέχειν. »

(3) Βλ. ἀνωτέρω, σελ. 37—40.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ αὐχμεῖν, καὶ σύντονον βλέπειν, καὶ λέγειν τοιαῦτα ἕτερα· ὑπισχνεῖσθαι γὰρ οὐδὲν ἀνειμένον, οὐδὲ ἡδύ, ἀλλ' ἱδρῶτας μυρίους, καὶ πόνους, καὶ κινδύνους διὰ πάσης ἠπείρου τε καὶ θαλάσσης· ἆθλον δὲ τούτων εἶναι, θεὸν γενέσθαι, ὡς ὁ ἐκείνου λόγος· ἣ περ δὴ καὶ τελευτῶντα τὸν Ἡρακλέα ξυνέπεσθαι.

Καὶ σχεδὸν ἅπαντες, ὧν δὴ καὶ λόγος τις ἐστὶν ἐπὶ σοφίᾳ, ἢ μικρὸν ἢ μεῖζον, εἰς δύναμιν ἕκαστος ἐν τοῖς ἑαυτῶν συγγράμμασιν, ἀρετῆς ἔπαινον διεξῆλθον· οἷς πειστέον, καὶ πειρατέον ἐπὶ τοῦ βίου δεικνύναι τοὺς λόγους· ὡς ὅγε τὴν ἄχρι ῥημάτων παρὰ τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν,

Οἷος πέπνυται· τοὶ δὲ, σκιαὶ ἀΐσσουσι. (1)

Καί μοι δοκεῖ τὸ τοιοῦτον παραπλήσιον εἶναι, ὥς περ ἂν εἰ ζωγράφου θαυμαστόν τι οἷον κάλλος ἀνθρώπου μιμησαμένου· ὁ δὲ αὐτὸς εἴη τοιοῦτος ἐπὶ τῆς ἀληθείας, οἷον ἐπὶ τῶν πινάκων ἐκεῖνος ἔδειξεν. Ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν ἀρετὴν εἰς τὸ μέσον, καὶ μακροὺς ὑπὲρ αὐτῆς ἀποτείνειν λόγους, ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφροσύνης, καὶ τὸ πλέον ἔχειν πρὸ τοῦ δικαίου τιμᾶν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς ὑποκρινομένοις τὰ δράματα· οἳ ὡς βασιλεῖς καὶ δυνάσται πολλάκις εἰσέρχονται, οὔτε βασιλεῖς ὄντες, οὔτε δυνάσται, οὐδὲ μὲν οὖν τυχὸν ἐλεύθεροι τὸ παράπαν. Εἶτα μουσικὸς μὲν, οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύραν εἶναι· καὶ χοροῦ κορυφαῖος, μὴ ὅτι μάλιστα συνᾴδοντα τὸν χορὸν ἔχειν· αὐτὸς δέ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτὸν, καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται· ἀλλ' ἡ γλῶττα μὲν ὁμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος, κατ' Εὐριπίδην, ἐρεῖ (2); καὶ τὸ δοκεῖν ἀγαθὸς πρὸ τοῦ εἶναι διώξεται; Ἀλλ' οὗτός ἐστιν ὁ ἔσχατος τῆς ἀδικίας ὅρος, εἴ τι δεῖ Πλάτωνι πείθεσθαι, τὸ δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα.

Τοὺς μὲν οὖν τῶν λόγων, οἳ τὰς τῶν καλῶν ἔχουσιν ὑποθήκας, οὕτως ἀποδεχώμεθα. Ἐπειδὴ δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν, ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασώζονται, ἢ

(1) Ἐκ τῆς Ὁμήρ. Ὀδυσ. Κ, στίχ. 495.

(2) Εὐριπ. Ἱππόλ. στίχ. 607. « Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος. » (Βλ. Κλασ. Βιβλιοθ. Ἑλλήν. Ποιητῶν, Τόμ. ΙΒ', σελ. 225).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποιητῶν, ἢ συγγραφέων φυλαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπολειπώμεθα. Οἷον· ἐλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων· ὁ δὲ οὐ προσεῖχε· καὶ εἰς πᾶσαν διήρκεσε τὴν ἡμέραν, ὁ μὲν, ἀφειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν· ὁ δὲ, οὐ μέλων αὐτῷ. Εἶτα, ἑσπέρας ἤδη καὶ σκότους ἀπαλλαττόμενον μόλις, ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρείη τὸ πρὸς φιλοσοφίαν γυμνάσιον (1). Πάλιν τις Εὐκλείδῃ τῷ Μεγαρόθεν παροξυνθείς, θάνατον ἠπείλησε καὶ ἐπώμοσεν· ὁ δὲ ἀντώμοσεν, ἢ μὴν ἱλεώσασθαι αὐτὸν, καὶ παύσειν χαλεπῶς πρὸς αὐτὸν ἔχοντα (2). Πόσου ἄξιον τῶν τοιούτων τι παραδειγμάτων εἰσελθεῖν τὴν μνήμην ἀνδρὸς, ὑπ' ὀργῆς ἤδη κατεχομένου; Τῇ τραγῳδίᾳ γὰρ οὐ πιστευτέον ἁπλῶς λεγούσῃ, Ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει χεῖρα· ἀλλὰ μάλιστα μὲν, μηδὲ διανίστασθαι πρὸς θυμὸν τὸ παράπαν· εἰ δὲ μὴ ῥᾴδιον τοῦτο, ἀλλ' ὥσπερ χαλινὸν αὐτῷ τὸν λογισμὸν ἐμβάλλοντας, μὴ ἐᾶν ἐκφέρεσθαι περαιτέρω.

Ἐπαναγάγωμεν δὲ τὸν λόγον αὖθις πρὸς τὰ τῶν σπουδαίων πράξεων παραδείγματα. Ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι, ὥστε ἐξοιδεῖν ἤδη καὶ ὑπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶν εἶναι. Ὡς δ' οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγεται, ὥσπερ ἀνδριάντι τὸν δημιουργὸν, Ὁ δεῖνα ἐποίει· καὶ τοσοῦτον ἀμύνασθαι. Ταῦτα σχεδὸν εἰς ταὐτὸν τοῖς ἡμετέροις φέροντα, πολλοῦ ἄξιον εἶναι μιμήσασθαι τοὺς τηλικούτους φημί· τουτὶ μὲν γὰρ τὸ τοῦ Σωκράτους, ἀδελφὸν ἐκείνῳ τῷ παραγγέλματι· ὅτι τῷ τύπτοντι κατὰ τῆς σιαγόνος, καὶ τὴν ἑτέραν παρέχειν προσῆκε (3)· τοσοῦτον δεῖν ἀπαμύνασθαι. Τὸ δὲ τοῦ Περικλέους ἢ τὸ Εὐκλείδου, τῷ, τοὺς διώκοντας ὑπομένειν, καὶ πρᾴως αὐτῶν τῆς ὀργῆς ἀνέχεσθαι· καὶ τῷ, τοῖς ἐχθροῖς εὔχεσθαι τὰ ἀγαθὰ, ἀλλὰ μὴ ἐπαρᾶσθαι (4). Ὡς ὅγε ἐν

(1) Πλούταρχ. ἐν βίῳ Περικλέους· (Βλ. Ἑλλην. Βιβλιοθ. Κοραῆ, Τόμ. Γ', σελ. 284—285).

(2) Βλ. τῆς παρούσης ἐκδόσ. Τόμ. Α', σελ. 28.

(3) Ματθ. Ε', 39. — (4) Αὐτόθ. 44.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τούτοις προπαιδευθείς, οὐκ ἔτ' ἂν ἐκείνοις, ὡς ἀδυνάτοις διαπιστήσειεν. Οὐκ ἂν παρέλθοιμι τὸ τοῦ Ἀλεξάνδρου, ὃς τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβών, θαυμαστόν τι οἷον τὸ κάλλος παρέχειν μαρτυρουμένας, οὐδὲ προσιδεῖν ἠξίωσεν· αἰσχρὸν εἶναι κρίνων, τοὺς ἄνδρας ἑλόντα, γυναικῶν ἡττηθῆναι (1). Τουτὶ γὰρ εἰς ταὐτὸν ἐκείνῳ φέρει· ὅτι ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικὶ, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι, οὐκ ἀφίεται τοῦ ἐγκλήματος (2). Τὸ δὲ τοῦ Κλεινίου, τῶν Πυθαγόρου γνωρίμων ἑνός, χαλεπὸν πιστεῦσαι ἀπὸ ταὐτομάτου συμβῆναι τοῖς ἡμετέροις, ἀλλ' οὐχὶ μιμησαμένου σπουδῇ. Τί δὲ ἦν ὃ ἐποίησεν ἐκεῖνος; Ἐξὸν δι' ὅρκου τριῶν ταλάντων ζημίαν ἀποφυγεῖν, ὁ δὲ ἀπέτισε μᾶλλον ἢ ὤμοσε· καὶ ταῦτα, εὐορκεῖν μέλλων· ἀκούσας, ἐμοὶ δοκεῖν, τοῦ προστάγματος, τὸν ὅρκον ἡμῖν ἀπαγορεύοντος (3).

Ἀλλ' ὅπερ ἐξ ἀρχῆς ἔλεγον, πάλιν εἰς ταὐτὸν ἐπανίωμεν· οὐ πάντα ἑξῆς παραδεκτέον ἡμῖν, ἀλλ' ὅσα χρήσιμα. Καὶ γὰρ αἰσχρὸν τῶν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι· τῶν δὲ μαθημάτων, ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν· ἀλλ', ὥςπερ χειμάῤῥουν, παρασύροντας ἅπαν τὸ προστυχὸν ἐμβάλλεσθαι. Καί τοι τίνα ἔχει λόγον, κυβερνήτην μὲν οὐκ εἰκῇ τοῖς πνεύμασιν ἐφιέναι, ἀλλὰ πρὸς ὅρμους εὐθύνειν τὸ σκάφος· καὶ τοξότην κατὰ σκοποῦ βάλλειν· καὶ μὲν δὴ καὶ χαλκευτικόν τινα, ἢ τεκτονικὸν ὄντα τοῦ κατὰ τὴν τέχνην ἐφίεσθαι τέλους· ἡμᾶς δὲ καὶ τῶν τοιούτων δημιουργῶν ἀπολείπεσθαι, πρός γε τὸ συνορᾶν δύνασθαι τὰ ἡμέτερα; Οὐ γὰρ δὴ τῶν μὲν χειρωνακτῶν ἔστι τι πέρας τῆς ἐργασίας, τοῦ δὲ ἀνθρωπίνου βίου σκοπὸς οὐκ ἔστι, πρὸς ὃν ἀφορῶντα πάντα ποιεῖν καὶ λέγειν χρὴ, τόν γε μὴ τοῖς ἀλόγοις παντάπασι προσεοικέναι μέλλοντα; ἢ οὕτως ἂν εἴημεν ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα, οὐδενὸς ἡμῖν νοῦ ἐπὶ τῶν τῆς ψυχῆς οἰάκων καθεζομένου, εἰκῇ κατὰ τὸν βίον ἄνω καὶ κάτω περιφερόμενοι. Ἀλλ' ὥςπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, εἰ δὲ βούλει, τοῖς μουσικοῖς, ἐκείνων εἰσὶ τῶν ἀγώνων αἱ μελέται, ὧνπερ οἱ στέφανοι πρόκεινται, καὶ οὐδείς γε πά-

(1) Πλούταρ. ἐν βίῳ Ἀλεξάνδρου. (Βλ. Ἑλλην. Βιβλιοθ. Κοραῆ, Τόμ. Γ', σελ. 217).
(2) Ματθ. Ε', 28. — (3) Αὐτόθ. 34.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λην ἀσκῶν, ἢ παγκράτιον, εἶτα κιθαρίζειν ἢ αὐλεῖν μελετᾷ. Οὔκουν ὁ Πολυδάμας γε, ἀλλ' ἐκεῖνος πρὸ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιάσι τὰ ἅρματα ἵστη τρέχοντα καὶ διὰ τούτων τὴν ἰσχὺν ἐκράτυνε. Καὶ ὅ γε Μίλων ἀπὸ τῆς ἀληλειμμένης ἀσπίδος οὐκ ἐξωθεῖτο, ἀλλ' ἀντεῖχεν ὠθούμενος οὐχ ἧττον, ἢ οἱ ἀνδριάντες οἱ τῷ μολύβδῳ συνδεδεμένοι. Καὶ ἁπαξαπλῶς αἱ μελέται αὐτοῖς παρασκευαὶ τῶν ἄθλων ἦσαν. Εἰ δὲ τὰ Μαρσύου ἢ τὰ Ὀλύμπου, τῶν Φρυγῶν, περιειργάζοντο κρούματα, καταλιπόντες τὴν κόνιν καὶ τὰ γυμνάσια, ταχύ γ' ἂν στεφάνων ἢ δόξης ἔτυχον, ἢ διέφυγον τὸ μὴ καταγέλαστοι εἶναι κατὰ τὸ σῶμα; Ἀλλ' οὐ μέν τοι, οὐδὲ ὁ Τιμόθεος, τὴν μελῳδίαν ἀφείς, ἐν ταῖς παλαίστραις διῆγεν· οὐ γὰρ ἂν τοσοῦτον ὑπῆρξεν αὐτῷ διενεγκεῖν ἁπάντων τῇ μουσικῇ· ὥ γε τοσοῦτον περιῆν τῆς τέχνης, ὥστε καὶ θυμὸν ἐγείρειν διὰ τῆς συντόνου καὶ αὐστηρᾶς ἁρμονίας, καὶ μέν τοι καὶ χαλᾶν καὶ μαλάττειν πάλιν διὰ τῆς ἀνειμένης, ὁπότε βούλοιτο. Ταύτῃ τοι, καὶ Ἀλεξάνδρῳ ποτὲ τὸ Φρύγιον ἐπαυλήσαντα, ἐξαναστῆσαι αὐτὸν ἐπὶ τὰ ὅπλα λέγεται μεταξὺ δειπνοῦντα, καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας, τὴν ἁρμονίαν χαλάσαντα. Τοσαύτην ἰσχὺν ἔν τε μουσικῇ καὶ τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὴν τοῦ τέλους κτῆσιν ἡ μελέτη παρέχεται.

Ἐπεὶ δὲ στεφάνων καὶ ἀθλητῶν ἐμνήσθην, ἐκεῖνοι μυρία παθόντες ἐπὶ μυρίοις, καὶ πολλαχόθεν τὴν ῥώμην ἑαυτοῖς συναυξήσαντες, πολλὰ μὲν γυμναστικοῖς ἐνιδρώσαντες πόνοις, πολλὰς δὲ πληγὰς ἐν παιδοτρίβου λαβόντες, δίαιταν δὲ οὐ τὴν ἡδίστην, ἀλλὰ τὴν παρὰ τῶν γυμναστῶν αἱρούμενοι, καὶ τἄλλα, ἵνα μὴ διατρίβω λέγων, οὕτω διάγοντες, ὡς τὸν πρὸ τῆς ἀγωνίας βίον μελέτην εἶναι τῆς ἀγωνίας, τηνικαῦτα ἀποδύονται πρὸς τὸ στάδιον, καὶ πάντα πονοῦσι καὶ κινδυνεύουσιν, ὥστε κοτίνου λαβεῖν στέφανον, ἢ σελίνου, ἢ ἄλλου τινὸς τῶν τοιούτων, καὶ νικῶντες ἀναῤῥηθῆναι παρὰ τοῦ κήρυκος. Ἡμῖν δὲ, οἷς ἆθλα τοῦ βίου πρόκειται οὕτω θαυμαστὰ πλήθει τε καὶ μεγέθει, ὥστε ἀδύνατα εἶναι ῥηθῆναι λόγῳ, ἐπ' ἄμφω καθεύδουσι, καὶ κατὰ πολλὴν διαιτωμένοις ἄδειαν, τῇ ἑτέρᾳ λαβεῖν τῶν χειρῶν ὑπάρξει; Πολλοῦ μέν τ' ἂν ἄξιον ἦν ἡ ῥᾳθυμία τῷ βίῳ, καὶ ὅ γε Σαρδανάπαλος τὰ πρῶτα πάντων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰς εὐδαιμονίαν ἐφέρετο, ἢ καὶ ὁ Μαργίτης, εἰ βούλει, ὃν οὔτ' ἀροτῆρα, οὔτε σκαπτῆρα, οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτηδείων εἶναι Ὅμηρος ἔφησεν (1), εἰ δὴ Ὁμήρου ταῦτα. Ἀλλὰ μὴ ἀληθὴς μᾶλλον ὁ τοῦ Πιττακοῦ λόγος, ὃς χαλεπὸν ἔφησεν ἐσθλὸν ἔμμεναι. Διὰ πολλῶν γὰρ δὴ τῷ ὄντι πόνων διεξελθοῦσι, μόλις ἂν τῶν ἀγαθῶν ἐκείνων τυχεῖν ἡμῖν περιγένοιτο, ὧν ἐν τοῖς ἄνω λόγοις οὐδὲν εἶναι παράδειγμα τῶν ἀνθρωπίνων ἐλέγομεν. Οὐ δὴ οὖν ῥαθυμητέον ἡμῖν, οὐδὲ τῆς ἐν βραχεῖ ῥαστώνης μεγάλας ἐλπίδας ἀνταλλακτέον, εἴπερ μὴ μέλλοιμεν ὀνείδη τε ἕξειν, καὶ τιμωρίας ὑφέξειν, οὔ τι παρὰ τοῖς ἀνθρώποις ἐνθάδε (καί τοι καὶ τοῦτο οὐ μικρὸν τῷ γε νοῦν ἔχοντι), ἀλλ' ἐν τοῖς, εἴτε ὑπὸ γῆν, εἴτε καὶ ὅπου δὴ τοῦ παντὸς ὄντα τυγχάνει, δικαιωτηρίοις. Ὡς τῷ μὲν ἀκουσίως τοῦ προσήκοντος ἁμαρτόντι κἂν συγγνώμη τις ἴσως παρὰ Θεοῦ γένοιτο· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ, οὐδεμία παραίτησις, τὸ μὴ οὐχὶ πολλαπλασίω τὴν κόλασιν ὑποσχεῖν. Τί οὖν ποιῶμεν, φαίη τις ἄν; τί ἄλλο γε, ἢ τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν, πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγοντας;

Οὐ δὴ οὖν τῷ σώματι δουλευτέον, ὅτι μὴ πᾶσα ἀνάγκη· ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα ποριστέον, ὥσπερ ἐκ δεσμωτηρίου, τῆς πρὸς τὰ τοῦ σώματος πάθη κοινωνίας αὐτὴν διὰ φιλοσοφίας λύοντας· ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους. Γαστρὶ μέν γε τὰ ἀναγκαῖα ὑπηρετοῦντας, οὐχὶ τὰ ἥδιστα προσῆκεν· ὡς οἵ γε τραπεζοποιούς τινας καὶ μαγείρους περινοοῦντες, καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλασσαν, οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες, ἐλεεινοὶ τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων οὐδὲν πάσχοντες ἀνεκτότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες, καὶ κοσκίνῳ φέροντες ὕδωρ, καὶ εἰς τετρημένον ἀντλοῦντες πίθον, οὐδὲν πέρας τῶν πόνων ἔχοντες. Κουρὰς δὲ καὶ ἀμπεχόνας ἔξω τῶν ἀναγκαίων περιεργάζεσθαι, ἢ δυστυχούντων ἐστὶ, κατὰ

(1) Ἐκ τοῦ Μαργίτου (ἐν τοῖς ἀποσπασματίοις τῶν Ὁμηρικῶν ἐπῶν. Βλ. Κλασ. Βιβλιοθ. Ἑλλήν. Ποιητῶν, Τόμ. ΙΗ', σελ. 222).

«Πόλλ' ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα·
»Τὸν δ' οὔτ' ἄρ' σκαπτῆρα θεοὶ θέσαν, οὔτε ἀροτῆρα,
»Οὔτ' ἄλλως τι σοφὸν· πάσης δ' ἡμάρτανε τέχνης.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν Διογένους λόγον, ἢ ἀδικούντων (1). Ὥστε καλλωπιστὴν εἶναι καὶ ὀνομάζεσθαι, ὁμοίως αἰσχρὸν ἡγεῖσθαι φημὶ δεῖν τοὺς τοιούτους, ὡς τὸ ἑταιρεῖν ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν. Τί γὰρ ἂν διαφέροι τῷ τε νοῦν ἔχοντι, ξυστίδα ἀναβεβλῆσθαι, ἢ τι τῶν φαύλων ἱμάτιον φέρειν, ἕως ἂν μηδὲν ἐνδέῃ τοῦ πρὸς χειμῶνά τε εἶναι καὶ θάλπος ἀλεξητήριον; Καὶ τ' ἄλλα δὴ τὸν αὐτὸν τρόπον, μὴ περιττότερον τῆς χρείας κατεσκευάσθαι, μηδὲ περιέπειν τὸ σῶμα πλέον ἢ ὡς ἄμεινον τῇ ψυχῇ. Οὐχ ἧττον γὰρ ὄνειδος ἀνδρὶ, τῷ γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίῳ, καλλωπιστὴν καὶ φιλοσώματον εἶναι, ἢ πρὸς ἄλλο τι τῶν παθῶν ἀγεννῶς διακεῖσθαι. Τὸ γὰρ τὴν πᾶσαν σπουδὴν εἰσφέρεσθαι, ὅπως ὡς κάλλιστα αὐτῷ τὸ σῶμα ἕξει, οὐ διαγινώσκοντός ἐστιν ἑαυτὸν, οὐδὲ συνιέντος τοῦ σοροῦ παραγγέλματος (2)· ὅτι οὐ τὸ ὁρώμενόν ἐστιν ὁ ἄνθρωπος, ἀλλά τινος δεῖ περιττοτέρας σοφίας, δι' ἧς ἕκαστος ἡμῶν, ὅστις ποτ' ἐστὶν, ἑαυτὸν ἐπιγνώσεται. Τοῦτο δὲ μὴ καθηραμένοις τὸν νοῦν ἀδυνατώτερον, ἢ λημῶντι πρὸς τὸν ἥλιον ἀναβλέψαι. Κάθαρσις δὲ ψυχῆς, ὡς ἀθρόως τε εἰπεῖν καὶ ὑμῖν ἱκανῶς, τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν· μὴ ὀφθαλμοὺς ἑστιᾶν ταῖς ἀτόποις τῶν θαυματοποιῶν ἐπιδείξεσιν, ἢ σωμάτων θέαις ἡδονῆς κέντρον ἐναριέντων· μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν· ἀνελευθερίας γὰρ δὴ καὶ ταπεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιούτουδε τῆς μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν· ἀλλὰ τὴν ἑτέραν μεταδιωκτέον ἡμῖν, τὴν ἀμείνω τε καὶ εἰς ἄμεινον φέρουσαν· ἣ καὶ Δαυὶδ χρώμενος, ὁ ποιητὴς τῶν ἱερῶν ᾀσμάτων, ἐκ τῆς μανίας, ὥς φασι, τὸν βασιλέα καθίστη (3). Λέγεται δὲ καὶ Πυθαγόραν κωμασταῖς περιτυχόντα μεθύουσι, κελεῦσαι τὸν αὐλητὴν τὸν τοῦ κώμου κατάρχοντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαι σφίσι τὸ Δώριον· τοὺς δὲ, οὕτως ἀναῤῥωνῆσαι ὑπὸ τοῦ μέλους, ὥστε τοὺς στεφάνους ῥίψαντας, αἰσχυνομένους ἐπανελθεῖν. Ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύον-

(1) « Διογένης πρὸς τὸ καλλωπιζόμενον μειράκιον, ἔφη· Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. » Διογ. Λαερτ. Ϛ', ϐ', 54.

(2) Τοῦ « Γνῶθι σαυτόν. »

(3) Α', Βασιλ. Ιϛ', 23.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ται. Τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας ἀναπλησθῆναι. Ὥστε τῆς νῦν δὴ κρατούσης ταύτης ἧττον ἡμῖν μεθεκτέον, ἢ οὐτινοσοῦν τῶν αἰσχίστων. Ἀτμοὺς γεμὴν παντοδαπούς, ἡδονὴν ὀσφρήσει φέροντας τῷ ἀέρι καταμιγνῦναι, ἢ μύροις ἑαυτοὺς ἀναχρώννυσθαι, καὶ ἀπαγορεύειν αἰσχύνομαι. Τί δ' ἄν τις εἴποι περὶ τοῦ μὴ χρῆναι τὰς ἐν ἀφῇ καὶ γεύσει διώκειν ἡδονάς; ἢ ὅτι καταναγκάζουσιν αὗται τοὺς περὶ τὴν ἑαυτῶν θήραν ἐσχολακότας, ὡς περ τὰ θρέμματα, πρὸς τὴν γαστέρα καὶ τὰ ὑπ' αὐτὴν συννενευκότας ζῆν; Ἐνὶ δὲ λόγῳ· παντὸς ὑπεροπτέον τοῦ σώματος τῷ μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι· ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένου, ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμήν (1). Ἤ τί διαφέρουσιν, οἳ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιστα ἔχοι, φροντίζουσι, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν, ὡς οὐδενὸς ἀξίαν, περιορῶσι, τῶν περὶ τὰ ὄργανα σπουδαζόντων, τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης καταμελούντων; Πᾶν μὲν οὖν τοὐναντίον, κολάζειν αὐτὸ καὶ κατέχειν, ὥς περ θηρίου τὰς ὁρμὰς, προσῆκε, καὶ τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους τῇ ψυχῇ, οἱονεὶ μάστιγι τῷ λογισμῷ καθικνουμένους, κοιμίζειν· ἀλλὰ μὴ πάντα χαλινὸν ἡδονῆς ἀνέντας περιορᾶν τὸν νοῦν, ὥςπερ ἡνίοχον, ὑπὸ δυσηνίων ἵππων, ὕβρει φερομένων, παρασυρόμενον ἄγεσθαι. Καὶ τοῦ Πυθαγόρου μεμνῆσθαι, ὃς τῶν συνόντων καταμαθών τινα γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦντα, οὕτως ἔφη· *οὐ παύσῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ δεσμωτήριον*; Διὸ δὴ καὶ Πλάτωνά φασι τὴν ἐκ σώματος βλάβην προειδόμενον, τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς, τὴν Ἀκαδημίαν, καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος, οἷον ἀμπέλου τὴν εἰς τὰ περιττὰ φορὰν περικόπτοι (2). Ἐγὼ δὲ καὶ σφαλερὰν εἶναι τὴν ἐπ' ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα (3).

(1) Πρὸς Ῥωμ. Ιʹ, 14.

(2) Αἰλιαν. Ποικίλ. Ἱστορ. Θʹ, ἰ. (Βλ. Πρόδρομ. Ἑλλην. Βιβλιοθ. Κοραῆ, σελ. 112).

(3) « Ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραί, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. » Ἱπποκρ. Ἀφορισμ. Τμ. Αʹ, γʹ. (ἐκδοσ. J. A. Van der Linden, 1668, Τόμ. Αʹ, σελ. 68).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὅτε τοίνυν ἡ ἄγαν αὔτη τοῦ σώματος ἐπιμέλεια αὐτῷ τε ἀλυσιτελὴς τῷ σώματι, καὶ πρὸς τὴν ψυχὴν ἐμπόδιόν ἐστι, τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν, μανία σαφής. Ἀλλὰ μὴν εἰ τούτου γε ὑπερορᾷν μελετήσαιμεν, σχολῇ γ' ἂν ἄλλο τι τῶν ἀνθρωπίνων θαυμάσαιμεν. Τί γὰρ ἔτι χρησόμεθα πλούτῳ, τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες; Ἐγὼ μὲν οὐχ ὁρῶ· πλὴν εἰ μὴ, κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας, ἡδονήν τινα φέροι θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. Ὅ γε μὴν ἐλευθερίως πρὸς τὰ τοιαῦτα διακεῖσθαι πεπαιδευμένος, πολλοῦ ἂν δέοι ταπεινόν τι καὶ αἰσχρὸν ἔργῳ ἢ λόγῳ ποτὲ προελέσθαι· τὸ γὰρ τῆς χρείας περιττότερον, κἂν λύδιον ᾖ ψῆγμα, κἂν τῶν μυρμήκων ἔργον τῶν χρυσοφόρων (1), τοσούτῳ πλέον ἀτιμάσει, ὅσῳ περ ἂν ἧττον προσδέηται· αὐτὴν δὲ δήπου τὴν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις, ἀλλ' οὐ ταῖς ἡδοναῖς ὁριεῖται. Ὡς οἵ γε τῶν ἀναγκαίων ὅρων ἔξω γενόμενοι, παραπλησίως τοῖς κατὰ τοῦ πρανοῦς φερομένοις, πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ' ὅσῳ περ ἂν πλείω προσπεριβάλλωνται, τοῦ ἴσου δέονται, ἢ καὶ πλείονος, πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὃς φησί·

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται (2).

Τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον, λέγοντι·

Οὐκ ἔραμαι πλουτεῖν, οὐδ' εὔχομαι· ἀλλ' ἐμοὶ εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν (3).

Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων

---

(1) Λύδιον ψῆγμα, τὸ καταφερόμενον διὰ τοῦ Πακτωλοῦ. Περὶ δὲ τῶν χρυσοφόρων μυρμήκων, βλ. Ἡροδότ. ἱστορ. Γ', § 102 κ' ἑπόμ. « Ἐν τῇ ἐρημίῃ ταύτῃ » καὶ τῇ ψάμμῳ γίνονται μύρμηκες, μεγάθεα ἔχοντες κυνῶν μὲν ἐλάσσονα, ἀλωπέκεων » δὲ μείζονα.... Οὗτοι ὦν οἱ μύρμηκες ποιεύμενοι οἴκησιν ὑπὸ γῆν, ἀναφορέουσι » τὴν ψάμμον κατάπερ οἱ ἐν τοῖσι Ἕλλησι μύρμηκες καὶ τὸν αὐτὸν τρόπον· εἰσὶ δὲ » καὶ αὐτοὶ εἶδος ὁμοιότατοι· ἡ δὲ ψάμμος ἡ ἀναφερομένη ἐστὶ χρυσῖτις » κτλ. (Κλασ. Βιβλιοθ. Ἑλλήν. Λογογράφων, Τόμ. Ζ', σελ. 243).

(2) « Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν. » Ἐκ τῶν τοῦ Σόλωνος Ε', 71 (Βλ. Κλασ. Βιβλιοθ. Ἑλλήν. Ποιητῶν, Τόμ. Γ'. σελ. 48.)

(3) Θεόγνιδ. παραινές. στίχ. 1111, 1112. (Κλασ. Βιβλ. Ἑλλήν. Ποιητῶν, Τόμ. Γ', σελ. 36.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑπεροψίαν· ὅς γε καὶ βασιλέως τοῦ μεγάλου ἑαυτὸν ἀπέφηνε πλουσιώτερον, τῷ ἐλαττόνων, ἢ ἐκεῖνος, κατὰ τὸν βίον προσδεῖσθαι. Ἡμῖν δὲ ἄρα, εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσεῖη τάλαντα, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ βοσκημάτων ἑσμοὶ πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει. Ἀλλ', οἶμαι, προσήκει ἀπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον, καὶ παρόντος, μὴ τῷ κεκτῆσθαι μᾶλλον φρονεῖν, ἢ τῷ εἰδέναι αὐτὸν διατίθεσθαι. Τὸ γὰρ τοῦ Σωκράτους εὖ ἔχει· ὃς, μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασιν, οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη, πρὶν ἂν, καὶ ὅτι χρῆσθαι τούτοις ἐπίσταται, πειραθῆναι. Ἡ Φειδίας μὲν καὶ Πολύκλειτος, εἰ τῷ χρυσίῳ μέγα ἐφρόνουν καὶ τῷ ἐλέφαντι, ὧν ὁ μὲν Ἠλείοις τὸν Δία, ὁ δὲ Ἀργείοις τὴν Ἥραν ἐποιησάτην, καταγελάστω ἂν ἦστην, ἀλλοτρίῳ πλούτῳ καλλωπιζόμενοι, ἀφέντες τὴν τέχνην, ὑφ' ἧς καὶ ὁ χρυσὸς ἡδίων καὶ τιμιώτερος ἀπεδείχθη. Ἡμεῖς δὲ τὴν ἀνθρωπείαν ἀρετὴν οὐκ ἐξαρκεῖν ἑαυτῇ πρὸς κόσμον ὑπολαμβάνοντες, ἐλάττονος αἰσχύνης ἄξια ποιεῖν οἰόμεθα ; Ἀλλὰ δῆτα πλούτου μὲν ὑπεροψόμεθα, καὶ τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάσομεν, κολακείας δὲ καὶ θωπείας διωξόμεθα καὶ τῆς Ἀρχιλόχου ἀλώπεκος τὸ κερδαλέον τε καὶ ποικίλον ζηλώσομεν (1) ; Ἀλλ' οὐκ ἔστιν ὃ μᾶλλον φευκτέον τῷ σωφρονοῦντι, τοῦ πρὸς δόξαν ζῆν, καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα περισκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου, ὥστε κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγειν, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ, μηδὲν αἱρεῖσθαι τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν. Ἢ τὸν μὴ οὕτως ἔχοντα, τί τοῦ Αἰγυπτίου σοφιστοῦ φήσομεν ἀπολείπειν ; ὃς φυτὸν ἐγίγνετο, καὶ θηρίον, ὁπότε βούλοιτο, καὶ πῦρ, καὶ ὕδωρ, καὶ πάντα χρήματα (2). Εἴπερ δὴ καὶ αὐτὸς νῦν μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι· νῦν δὲ τοὺς ἐναντίους ἀφήσει λόγους, ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦσαν αἴσθηται, ὅπερ δίκης ἐστὶ κολάκων· καὶ, ὥσπερ φασὶ τὸν πολύποδα τὴν χρόαν πρὸς τὴν ὑποκειμένην γῆν, οὕτως

(1) Πλάτ. Πολιτ. Β'. « Πρόθυρα μὲν καὶ σχῆμα κύκλῳ περὶ ἑαυτὸν σκιαγραφίαν ἀρετῆς περιγραπτέον, τὴν δὲ τοῦ σοφωτάτου Ἀρχιλόχου ἀλώπεκα ἑλκτέον εἰς ὄπισθεν κερδαλέαν καὶ ποικίλην. (Βλ. Κλασ. Βιβλ. Ἑλλ. Λογογράφων, Τόμ. Α'. σελ 41.)

(2) Ὁμήρ. Ὀδυσ. Δ, στίχ. 385 καὶ 455—458.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτὸς τὴν διάνοιαν πρὸς τὰς τῶν συνόντων γνώμας μεταβαλεῖται. Ἀλλὰ ταῦτα μέν που, κἂν τοῖς ἡμετέροις λόγοις τελειότερον μαθησόμεθα· ὅσον δὲ σκιαγραφίαν τινὰ τῆς ἀρετῆς, τό γε νῦν εἶναι, ἐκ τῶν ἔξωθεν παιδευμάτων περιγραψώμεθα. Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασι. Τὸ γὰρ καὶ σμικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι (1), οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην, ἢ καὶ εἰς ἡντιναοῦν ἐπιστήμην ὀρθῶς ἡγεῖσθαι ἔχειν τῷ ποιητῇ προσῆκεν. Ὁ μὲν οὖν Βίας, τῷ υἱεῖ πρὸς Αἰγυπτίους ἀπαίροντι, καὶ πυνθανομένῳ, τί ἂν ποιῶν, αὐτῷ μάλιστα κεχαρισμένα πράττοι; ἐφόδιον, ἔφη, πρὸς γῆρας κτησάμενος· τὴν ἀρετὴν δὴ τὸ ἐφόδιον λέγων, μικροῖς ὅροις αὐτὴν περιγράφων, ὅς γε ἀνθρωπίνῳ βίῳ τὴν ἀπ' αὐτῆς ὠφέλειαν ὡρίζετο. Ἐγὼ δὲ, κἂν τὸ Τιθωνοῦ τις γῆρας, κἂν τὸ Ἀργανθωνίου λέγῃ, κἂν τὸ τοῦ μακροβιωτάτου παρ' ἡμῖν Μαθουσάλα (2), ὃς χίλια ἔτη, τριάκοντα δεόντων, βιῶναι λέγεται· κἂν σύμπαντα τὸν, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, χρόνον ἀναμετρῇ, ὡς ἐπὶ παίδων διανοίας γελάσομαι, εἰς τὸν μακρὸν ἀποσκοπῶν καὶ ἀγήρω αἰῶνα, οὗ πέρας οὐδέν ἐστι τῇ ἐπινοίᾳ λαβεῖν, οὐ μᾶλλόν γε, ἢ τελευτὴν ὑποθέσθαι τῆς ἀθανάτου ψυχῆς. Πρὸς ὃν περ κτᾶσθαι παραινέσαιμ' ἂν τὰ ἐφόδια, πάντα λίθον, κατὰ τὴν παροιμίαν, κινοῦντας, ὅθεν ἂν μέλλῃ τις ἡμῖν ἐπ' αὐτὸν ὠφέλεια γενήσεσθαι. Μηδ', ὅτι χαλεπὰ ταῦτα καὶ πόνου δεόμενα, διὰ τοῦτ' ἀποκνήσωμεν· ἀλλ' ἀναμνησθέντας τοῦ παραινέσαντος, ὅτι δέοι βίον μὲν ἄριστον αὐτὸν ἕκαστον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾶν τῇ συνηθείᾳ γενήσεσθαι, ἐγχειρεῖν τοῖς βελτίστοις. Αἰσχρὸν γάρ, τὸν παρόντα καιρὸν προεμένους, ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθόν, ὅτε οὐδὲν ἔσται πλέον ἀντωμένοις.

Ἐγὼ μὲν οὖν ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν νῦν εἴρηκα· τὰς δὲ παρὰ πάντα τὸν βίον ὑμῖν ξυμβουλεύσω. Ὑμεῖς δὲ, τριῶν ἀρρωστημάτων ὄντων, μὴ τῷ ἀνιάτῳ προσεοικέναι δόξητε· μηδὲ τὴν τῆς γνώμης νόσον παραπλησίαν τῇ τῶν εἰς τὰ σώματα δυστυχη-

(1) Ἡσιόδ. Ἔργ. καὶ Ἡμέρ. στίχ. 331—332. (Κλασ. Βιβλ. Ἑλλ. Ποιητῶν, τόμ. Η', σελ. 39).

(2) Γενέσ. Ε', 27.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σάντων δείξητε. Οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ παρὰ τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀῤῥωστημάτων, ἐφ' ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας· οἱ δ' εἰς ἀνήκεστον παντελῶς μελαγχολίας παρενεχθέντες, οὐδὲ προσιόντας προσίενται· ὃ μὴ πάθητε νῦν ὑμεῖς, τοὺς ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀπορεύγοντες.

Ζ'.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

Ἱεροσολύμων Ἀρχιεπισκόπου

ΛΟΓΟΙ,

ΚΑΤΗΧΗΤΙΚΟΙ ΚΑΙ ΜΥΣΤΑΓΩΓΙΚΟΙ.

Περὶ τῆς παρούσης ἐκδόσεως.

ΕΚ τῶν κατὰ καιροὺς γενομένων διαφόρων ἐκδόσεων τῶν συγγραμμάτων τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἱεροσολύμων Ἀρχιεπισκόπου, ἔτυχον προχείρους τρεῖς· δύο μὲν, ἐν τῇ δημοσίᾳ Βιβλιοθήκῃ — τὴν ὑπὸ Ἰωάννου τοῦ Πρευότου (Ἑλλην. Λατιν. εἰς φύλ.) ἐν Παρισίοις 1640, καὶ τὴν ὑπὸ Θωμᾶ τοῦ Μιλλεσίου (Ἑλλην. Λατιν. καὶ ταύτην, εἰς φύλ.) ἐν Ὀξωνίῳ 1703· — μίαν δὲ, ἐν τῇ βιβλιοθήκῃ τῆς Ῥιζαρείου Ἐκκλησιαστικῆς σχολῆς, τὴν ἐν Βενετίᾳ κατὰ τὸ 1763 γενομένην μετατύπωσιν τῆς ὑπὸ Ἀντωνίου Αὐγουστίνου τοῦ Τουττέου (Ἑλλην. καὶ Λατιν. ὡσαύτως εἰς φύλ.) ἐν Παρισίοις 1720, ἐκδόσεως τῶν Ἁπάντων τοῦ θείου Πατρὸς τὴν ὁποίαν (κρινομένην πασῶν τῶν μέχρι τοῦδε ἀρίστην — Βλ. Φιλολογ. καὶ Κριτικ. ἱστορίαν τῶν ἁγίων τῆς Ἐκκλησίας Πατέρων, ὑπὸ Κ. Κοντογόνου, Τόμ. Β', σελ. 263.) δὲν ἠδυνήθην νὰ εὕρω προχείρως.

Ἐντολὴν λαβὼν ὑπὸ τοῦ ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς δημοσίας ἐκπαιδεύσεως Ὑπουργοῦ νὰ μεταχειρισθῶ καλὴν ἔκδοσιν κειμένου, καὶ ὅσον τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δυνατὸν καθαρεῦον ἀπὸ τυπογραφικῶν σφαλμάτων, προσέσχον, ἐλλείψει τῆς πρωτοτύπου Τουττεανῆς, εἰς τὰς δύο ἐκ τῶν ἄνωθι μνημονευθεισῶν τριῶν, ὁπλονότι εἰς τὴν ἐν Βενετίᾳ μετατυπωθεῖσαν τοῦ Τουττέου καὶ εἰς τὴν ἐν Ὀξωνίῳ τοῦ Θ. Μιλλεσίου. Ἀλλὰ παρατηρήσας, ὅτι πολλὰ μὲν ὑπάρχουσιν ἐν τῷ κειμένῳ ἑκατέρας τὰ κατὰ τὴν λέξιν διαφέροντα· τὰ δὲ κατὰ τὸν τύπον ἡμαρτημένα τῆς ἐν Βενετίᾳ Τουττεανῆς παρίστανται πλείω τῶν τῆς Μιλλεσιανῆς, προέκρινα τὸ κείμενον ταύτης, ἤτοι τῆς ἐν Ὀξωνίῳ. Ὅ,τι δὲ ἐκ τῆς ἐν Βενετίᾳ παρέλαβον ἐν προσθήκῃ ἢ πρὸς διόρθωσιν λέξεων ἢ φράσεων, κατ' ἐμὲ ἡμαρτημένων, τὸ μὲν προστεθὲν, ἔθηκα μεταξὺ μονίσκων [ ]· τὸ δὲ βέλτιον κριθὲν ὑπεσημείωσα διὰ τῶν στοιχείων Μ καὶ ΒΤ, ὁπλούντων, τοῦ μὲν Μ τὴν τοῦ Μιλλεσίου ἔκδοσιν, τῶν δὲ ΒΤ τὴν ἐν Βενετίᾳ μετατύπωσιν τῆς τοῦ Τουττέου.

Οἱ Κατηχητικοὶ οὗτοι καὶ Μυσταγωγικοὶ λόγοι ἐκδίδονται νῦν, ἵνα χρησιμεύωσιν εἰς τοὺς ἐν τοῖς Ἱερατικοῖς σχολείοις μαθητεύοντας, πρὸς ἀνάγνωσιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΠΡΟΚΑΤΗΧΗΣΙΣ,

ἤτοι

ΠΡΟΛΟΓΟΣ ΤΩΝ ΚΑΤΗΧΗΣΕΩΝ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

Ἀρχιεπισκόπου Ἱεροσολύμων.

ά. **Ἤ**ΔΗ μακαριότητος ὀσμὴ πρὸς ὑμᾶς, ὦ φωτιζόμενοι. Ἤδη τὰ νοητὰ ἄνθη συλλέγετε, πρὸς πλοκὴν ἐπουρανίων σεφάνων. Ἤδη τοῦ Πνεύματος τοῦ ἁγίου ἔπνευσεν ἡ εὐωδία. Ἤδη περὶ τὴν πρόκυλιν τῶν βασιλείων γεγόνατε· γένοιτο δὲ ἵνα καὶ ὑπὸ τοῦ βασιλέως εἰσαχθῆτε. Ἄνθη γὰρ νῦν ἐφάνη τῶν δένδρων· γένοιτο δὲ ἵνα καὶ ὁ καρπὸς τέλειος ᾖ. Ὀνοματογραφία τέως ὑμῖν γέγονε, καὶ στρατεία; κλῆσις, καὶ νυμφαγωγίας λαμπάδες, καὶ οὐρανίου πολιτείας ἐπιθυμία(1), καὶ πρόθεσις ἀγαθὴ, καὶ ἐλπὶς ἐπακολουθοῦσα. Ἀψευδὴς γὰρ ὁ εἰπὼν, « Ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν » (2). Ὁ μὲν γὰρ Θεὸς δαψιλής ἐστιν εἰς εὐεργεσίαν· περιμένει δὲ ἑκάστου τὴν γνησίαν προαίρεσιν. Διὰ τοῦτο ἐπήγαγεν ὁ Ἀπόστολος λέγων· « Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν » (3). Ἡ πρόθεσις γνησία οὖσα, κλητόν σε ποιεῖ. Κἂν γὰρ τὸ σῶμα ὦδε ἔχῃς, τὴν δὲ διάνοιαν μὴ ἔχῃς, οὐδὲν ὠφελεῖ. Προσῆλθέ ποτε καὶ Σίμων τῷ λουτρῷ ὁ Μάγος· ἐβαπτίσθη, ἀλλ' οὐκ ἐφωτίσθη (4)· καὶ τὸ μὲν σῶμα ἔβαψεν ὕδατι, τὴν δὲ καρδίαν οὐκ ἐφώτισε Πνεύματι· καὶ

(1) Πρὸς Φιλιπ. Γ', 20.
(2) Πρὸς Ῥωμ. Η', 28.
(3) Αὐτόθι.
(4) Πράξ. Ἀποστόλ. Η', 13.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κατέβη μὲν τὸ σῶμα καὶ ἀνέβη· ἡ δὲ ψυχὴ οὐ συνετάφη Χριστῷ, οὐδὲ συνηγέρθη (1).

ϐ'. Ἐγὼ δὲ λέγω τὰς ὑπογραφὰς τῶν πτωμάτων, ἵνα μὴ σὺ πέσῃς(2)· « Ταῦτα γὰρ τυπικῶς ἐγίνετο ἐκείνοις, γέγραπται δὲ πρὸς νουθεσίαν» τῶν μέχρι σήμερον προσερχομένων(3). Μή τις ὑμῶν εὑρεθῇ πειράζων τὴν χάριν. «Μή τις ῥίζα πικρίας ἄνω ῥύουσα ἐνοχλῇ»(4). Μή τις ὑμῶν εἰσέλθῃ λέγων· Ἄφες ἴδωμεν τί ποιοῦσιν οἱ πιστοί· εἰσελθὼν ἴδω, ἵνα μάθω τὰ γινόμενα. Ἰδεῖν προσδοκᾷς, τὸ δὲ ὀρθῆναι οὐ προσδοκᾷς ; Καὶ νομίζεις, ὅτι σὺ μὲν πολυπραγμονεῖς τὰ γιγνόμενα, Θεὸς δέ σου οὐ πολυπραγμονεῖ τὴν καρδίαν ; Ἐπολυπραγμόνησέ τις ποτὲ τὸν γάμον ἐν τοῖς Εὐαγγελίοις, καὶ ἀνάξιον ἔνδυμα λαβὼν, εἰσῆλθε, καὶ ἀνέπεσε, καὶ ἔφαγε· συνεχώρησε γὰρ ὁ νυμφίος. Ἴδει δὲ αὐτὸν ἰδόντα τὸ λευχείμονον πάντων, καὶ αὐτὸν ἀναλαβέσθαι τοιοῦτον ἔνδυμα. Ἀλλ' ἴσως μὲν μετελάμβανε βρωμάτων, ἀνισότητα δὲ εἶχε σχημάτων καὶ προαιρέσεως (5). Ἀλλ' ὁ νυμφίος, εἰ καὶ δαψιλὴς, ἀλλ' οὐκ ἄκριτος. Περιερχόμενος δὲ τῶν ἀνακειμένων ἕκαστον, καὶ θεωρῶν (ἔμελε γὰρ [αὐτῷ] οὐχ ὅπως δυσειμονῶσιν, ἀλλ' ὅπως εὐσχημονῶσιν), ἰδών τινα ἀλλότριον μὴ ἔχοντα γάμου ἔνδυμα, ἔλεγε [πρὸς αὐτόν]· « Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε ; » (6) ποίῳ χρώματι ; ποίᾳ συνειδήσει ; Ἔσω· θυρωρὸς οὐκ ἐκώλυσε, διὰ τὸ δαψιλὲς τοῦ παρέχοντος. Ἔσω· ἄγνοιαν εἶχες ποταπῷ δεῖ σχήματι εἰσελθεῖν εἰς τὸ συμπόσιον. Εἰσῆλθες, εἶδες ἀστράπτοντα ὥσπερ τὰ σχήματα τῶν ἀνακειμένων· οὐκ ἔδει σε κἂν ἐκ τῶν φαινομένων διδαχθῆναι ; οὐκ ἔδει σε εἰσελθεῖν εὐκαίρως, ἵνα εὐκαίρως ἐξέλθῃς ; νυνὶ δὲ ἀκαίρως εἰσῆλθες, ἵνα ἀκαίρως ἐκβληθῇς. Καὶ προστάσσει τοῖς ὑπηρέταις· « Δήσατε αὐτοῦ τοὺς πόδας » (7) τοὺς τολμηρῶς εἰσβάλλοντας· « δήσατε αὐτοῦ τὰς χεῖρας » τὰς

(1) Πρὸς Κολοσ. Β', 12· καὶ πρὸς Ῥωμ. ϛ', 3—4.
(2) Ἐκ τοῦ ΒΤ—Μ, ἐμπέσῃς.
(3) Α' πρὸς Κορινθ. Ι', 11.
(4) Πρὸς Ἑβρ. ΙΒ', 15· καὶ Δευτερον. ΚΘ', 18.
(5) Ματθ. ΚΒ', 11.
(6) Ματθ. ΚΒ', 12.
(7) Ματθ. ΚΒ', 13.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ εἰδυίας ἔνδυμα περιβαλέσθαι φαιδρόν· « καὶ ἐμβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον »· ἀνάξιος γάρ ἐστι λαμπάδων νυμφικῶν. Εἶδες τί συνέβη τῷ τότε ; ἀσφάλισαι τὰ σεαυτοῦ.

γ'. Ἡμεῖς μὲν γὰρ, οἱ διάκονοι Χριστοῦ, δεδέγμεθα ἕκαστον, καὶ θυρωρῶν ὥς περ τάξιν ἐπέχοντες, ἀνετὴν ἀφήκαμεν τὴν θύραν. Ἐγχωρεῖ δέ σε βεβορβορωμένην ἔχοντα τὴν ψυχὴν ἁμαρτίαις, καὶ τὴν προαίρεσιν ἐσπιλωμένην, εἰσελθεῖν. Εἰσῆλθες· κατήξιώθης· ὄνομά σου ἐνεγράφη. Βλέπεις μοι τὸ σεμνὸν τοῦτο τῆς Ἐκκλησίας κατάστημα ; Θεωρεῖς μοι τάξιν καὶ ἐπιστήμην, Γραφῶν ἀνάγνωσιν, κανονικῶν παρουσίαν, διδασκαλίας ἀκολουθίαν ; Δυσωπήθητι τὸν τόπον, καὶ παιδεύθητι ἐκ τῶν φαινομένων. Ἔξελθε εὐκαίρως ταυτῦν, καὶ εἴσελθε αὔριον εὐκαιρότατα. Εἰ φιλάργυρον εἶχες τὸ σχῆμα τῆς ψυχῆς, ἄλλο ἐνδυσάμενος εἴσελθε. Ἔκδυσαι τὸ σχῆμα ὃ εἶχες, μὴ ἐπικαλύψῃς. Ἔκδυσαί μοι πορνείαν καὶ ἀκαθαρσίαν, καὶ ἔνδυσαί μοι σωφροσύνης λαμπροτάτην στολήν. Ἐγὼ παραγγέλλω, πρὶν ὁ νυμφίος τῶν ψυχῶν εἰσέλθῃ Ἰησοῦς, καὶ ἴδῃ τὰ σχήματα. Πολλή σοι ἡ προθεσμία· τεσσαράκοντα ἡμερῶν μετάνοιαν ἔχεις· ἔχεις πολλὴν εὐκαιρίαν καὶ ἐκδύσασθαι καὶ ἀποπλύνασθαι, καὶ ἐνδύσασθαι καὶ εἰσελθεῖν. Εἰ δὲ ἐπιμένῃς κακῇ προαιρέσει, ὁ μὲν λέγων ἀναίτιος, σὺ δὲ μὴ προσδόκα λήψεσθαι τὴν χάριν. Τὸ μὲν γὰρ ὕδωρ σε δέξεται, τὸ δὲ πνεῦμά σε οὐκ ἀποδέξεται (1). Εἴ τις σύνοιδεν ἑαυτῷ τὸ τραῦμα, τὴν ἔμπλαστρον λαβέτω. Εἴ τις ἔπεσεν, ἐγειρέσθω. Μηδεὶς ἐν ὑμῖν Σίμων, μηδεμία (2) ὑπόκρισις, μηδὲ περιεργία τοῦ πράγματος.

δ'. Ἐγχωρεῖ σε καὶ προράσει ἄλλῃ ἐλθεῖν. Ἐγχωρεῖ καὶ ἄνδρα βούλεσθαι γυναικὶ καθικετεῦσαι, καὶ διὰ τοῦτο προσελθεῖν. Ἀντιστρέφει καὶ ἐπὶ γυναικῶν τὸ ὅμοιον ὁ λόγος· καὶ δοῦλος πολλάκις δεσπότῃ, καὶ φίλος φίλῳ ἀρέσαι ἠθέλησε. Δέχομαι τὸ δέλεαρ τοῦ ἀγκίστρου, καὶ καταδέχομαί σε κακῇ προαιρέσει μὲν ἐλθόντα, ἐλπίδι δὲ ἀγαθῇ σωθησόμενον. Ἴσως οὐκ ᾔδεις ποῦ ἔρχῃ, οὐδὲ ποία σε σαγήνη λαμβάνει. Γέγονας ἔσω δικτύων ἐκκλησιαστι-

(1) Ἐκ τοῦ BT.—M, τὸ δὲ πνεῦμα οὐ δέξεται.
(2) Αὐτ. —M, μηδέ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κῶν, ζωγρήθητι, μὴ φύγῃς. Ἀγκιστρεύει γάρ σε Ἰησοῦς, οὐχ ἵνα θανατώσῃ, ἀλλ' ἵνα θανατώσας ζωοποιήσῃ. Δεῖ σε γὰρ ἀποθανεῖν καὶ ἀναστῆναι. Ἤκουσας γὰρ τοῦ Ἀποστόλου λέγοντος· « Νεκροὶ μὲν τῇ ἁμαρτίᾳ, ζῶντες δὲ τῇ δικαιοσύνῃ » (1). Ἀπόθανε τοῖς ἁμαρτήμασι, καὶ ζῆσον τῇ δικαιοσύνῃ· ἀπὸ τῆς σήμερον ζῆσον. Βλέπε μοι πηλίκην ἀξίαν ὁ Ἰησοῦς χαρίζεται. Κατηχούμενος ἐλέγου, ἔζωθεν περιεχούμενος· ἀκούων ἐλπίδα, καὶ μὴ εἰδώς· ἀκούων μυστήρια, καὶ μὴ νοῶν· ἀκούων Γραφάς, καὶ μὴ εἰδὼς τὸ βάθος. Οὐκ ἔτι περιεχῇ, ἀλλ' ἐνεχῇ· τὸ γὰρ ἔνοικον Πνεῦμα λοιπὸν οἶκον θεῖον τὴν διάνοιάν σου (2) ἐργάζεται (3). Ὅταν ἀκούσῃς τὰ περὶ τῶν μυστηρίων γεγραμμένα, τότε νοήσεις ἃ μὴ ᾔδεις. Καὶ μὴ νομίσῃς ὅτι μικρὸν πρᾶγμα λαμβάνεις. Ἄνθρωπος ὢν οἰκτρὸς, Θεοῦ λαμβάνεις προσηγορίαν. Ἄκουε Παύλου λέγοντος· « Πιστὸς ὁ Θεός » (4). Ἄκουε ἄλλης γραφῆς λεγούσης· « Θεὸς πιστὸς καὶ δίκαιος » (5). Τοῦτο προβλέπων ὁ Ψαλμῳδὸς ἔλεγεν ἐκ προσώπου τοῦ Θεοῦ, ἐπειδὴ μέλλουσιν ἄνθρωποι Θεοῦ προσηγορίαν λαμβάνειν· « Ἐγὼ » εἶπα, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες» (6). Ἀλλὰ βλέπε, μὴ πιστοῦ μὲν ἡ προσηγορία, ἀπίστου δὲ ἡ προαίρεσις. Εἰσῆλθες εἰς ἀγῶνα, κάμε τὸν δρόμον· ἄλλον καιρὸν τοιοῦτον οὐκ ἔχεις. Εἴ σοι γάμων ἡμέραι προέκειντο (7), οὐκ ἂν κατερρόνησας πάντων, καὶ περὶ τὴν ἑτοιμασίαν τῆς ἑστιάσεως ἐγένου ; Μέλλων δὲ τὴν ψυχὴν καθοσιοῦν τῷ ἐπουρανίῳ νυμφίῳ, οὐκ ἀργήσεις σωματικῶν, ἵνα ἄρῃς πνευματικά ; Οὐκ ἔνι δὶς καὶ τρὶς λαβεῖν τὸ (8) λουτρόν· ἐπεὶ ἐνῆν (9) εἰπεῖν· Ἅπαξ ἀποτυχὼν, δεύτερον κατορθῶ. Ἐὰν δὲ τὸ ἅπαξ ἀποτύχῃς, ἀδιόρθωτον τὸ πρᾶγμα· « Εἷς γὰρ Κύριος,

(1) Πρὸς Ῥωμ. Ϛ', 11· καὶ Α'. Πέτρ. Β', 24· καὶ πρὸς Ῥωμ. Η', 9—11.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, οἴκους θείους ἐν τῇ διανοίᾳ σου.
(3) Α' πρὸς Κορινθ. Γ', 16.
(4) Α' πρὸς Κορινθ. Α', 9.
(5) Δευτερονομ. ΛΒ. 4· καὶ Α'. Ἰωάν. Δ', 9.
(6) Ψαλμ. ΠΑ', 6.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, προσέκειντο.
(8) Αὐτόθ. — Μ, λαβεῖν τὸ εἰπεῖν λουτρόν.
(9) Αὐτόθ. — Μ, ἦν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ μία πίστις, καὶ ἓν βάπτισμα » (1). Μόνον γὰρ οἱ αἱρετικοὶ ἀναβαπτίζονται· ἐπειδὴ τὸ πρότερον, οὐκ ἦν βάπτισμα.

ε. Οὐδὲν γὰρ ἄλλο παρ' ἡμῶν ζητεῖ ὁ Θεὸς, εἰμὴ προαίρεσιν ἀγαθήν. Μὴ λέγε, πῶς μου ἐξαλείφονται αἱ ἁμαρτίαι ; Ἐγώ σοι λέγω, τῷ θέλειν, τῷ πιστεύειν. Τί τούτου συντομώτερον ; Ἐὰν δὲ τὰ μὲν χείλη σου λέγῃ τὸ θέλειν, ἡ δὲ καρδία μὴ λέγῃ, καρδιογνώστης ὁ κρίνων. Ἄργησον ἀπὸ τῆς σήμερον ἀπὸ παντὸς φαύλου πράγματος· μή σου λαλησάτω ἡ γλῶσσα ἄσεμνα ῥήματα· μή σου τὸ βλέμμα ἁμαρτανέτω, μηδὲ ῥεμβέσθω περὶ τὰ ἀχρήσιμα. Οἱ πόδες σου εἰς τὰς καταχήσεις σπευδέτωσαν. Τοὺς ἐπορκισμοὺς δέχου μετὰ σπουδῆς· κἂν ἐμφυσηθῇς, κἂν ἐπορκισθῇς, σωτήρια σοι τὸ πρᾶγμα. Νόμισον εἶναι ἀργὸν χρυσὸν, καὶ δεδολωμένον, ποικίλαις ὕλαις ἀναμεμιγμένον, χαλκῷ, καὶ κασσιτέρῳ, καὶ σιδήρῳ, καὶ μολύβδῳ. Ζητοῦμεν τὸν χρυσὸν μόνον ἔχειν· χρυσὸς μὴ δύναται ἄνευ πυρὸς καθαρθῆναι τὰ ἀνοίκεια ; οὕτως ἄνευ ἐπορκισμῶν οὐ δύναται καθαρθῆναι ψυχή (2). Εἰσὶ δὲ θεῖοι, ἐκ θείων Γραφῶν συνειλεγμένοι. Ἐσκέπασταί σου τὸ πρόσωπον, ἵνα σχολάσῃ λοιπὸν ἡ διάνοια· ἵνα μὴ τὸ βλέμμα ῥεμβόμενον, ποιήσῃ ῥέμβεσθαι καὶ τὴν καρδίαν· τῶν δὲ ὀφθαλμῶν ἐσκεπασμένων, οὐκ ἐμποδίζεται τὰ ὦτα δέξασθαι τὸ σωτήριον. Ὃν γὰρ τρόπον οἱ τῆς χρυσοχοϊκῆς ἐργασίας ἔμπειροι, διά τινων λεπτῶν ὀργάνων τὸ πνεῦμα τῷ πυρὶ παρεμβάλλοντες, καὶ τὸ ἐν τῇ χώνῃ κεκρυμμένον χρυσίον ἀναρυσῶντες, τὴν παρακειμένην ἐρεθίζοντες φλόγα, εὑρίσκουσι τὸ ζητούμενον, οὕτω, τῶν ἐπορκιζόντων διὰ Πνεύματος θείου ἐμβαλλόντων τὸν φόβον, καὶ ὥς περ ἐν χώνῃ, τῷ σώματι, τὴν ψυχὴν ἀναζωπυρούντων, φεύγει μὲν ὁ ἐχθρὸς δαίμων, παραμένει δὲ ἡ σωτηρία, καὶ παραμένει ἡ ἐλπὶς τῆς αἰωνίου ζωῆς· καὶ λοιπὸν ἡ ψυχὴ καθαρθεῖσα τῶν ἁμαρτημάτων, ἔχει τὴν σωτηρίαν.

---

(1) Πρὸς Ἐφες. Δ', 5.

(2) Παρεδεξάμην τὴν ςίξιν κατὰ τὸ ΒΤ, ἀντὶ τῆς ἐν τῷ κειμένῳ ἐχούσης οὕτω· σωτήρια σοι τὸ πρᾶγμα νόμισον εἶναι. Ἀργὸν χρυσὸν, καὶ δεδολωμένον ποικίλαις ὕλαις ἀναμεμιγμένον, χαλκῷ, καὶ κασσιτέρῳ, καὶ σιδήρῳ, καὶ μολύβδῳ, ζητοῦμεν τὸν χρυσὸν μόνον ἔχειν, χρυσὸς μὴ δύναται κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ς'. Παραμένωμεν τοίνυν τῇ ἐλπίδι, ἀδελφοί, καὶ δῶμεν ἑαυτοὺς, καὶ ἐλπίσωμεν· ἵνα ὁ Θεὸς τῶν ὅλων τὴν ἡμετέραν προαίρεσιν ἰδὼν, καθάρῃ μὲν ἡμᾶς τῶν ἁμαρτιῶν, ἐλπίδας δὲ ἡμῖν ἀγαθὰς παράσχῃ τῶν πραγμάτων, καὶ δώῃ ἡμῖν μετάνοιαν σωτηρίαν (1). Θεὸς ἐκάλεσε, σὺ δὲ ἐκλήθης. Παράμενε ταῖς κατηχήσεσιν· εἰ καὶ πολλὰ παρατείνωμεν λέγοντες, μὴ ποτὲ ἡ διάνοιά σου ἐκλυθῇ. Ὅπλα γὰρ λαμβάνεις κατὰ ἀντικειμένης ἐνεργείας· ὅπλα λαμβάνεις κατὰ αἱρεσέων, κατὰ Ἰουδαίων, καὶ Σαμαρειτῶν, καὶ Ἐθνῶν. Πολλοὺς ἐχθροὺς ἔχεις, πολλὰ βέλη λάμβανε. Πρὸς πολλοὺς γὰρ ἀκοντίζεις· καὶ χρεία σοι μαθεῖν πῶς κατακοντίσεις τὸν Ἕλληνα, πῶς ἀγωνίσῃ πρὸς αἱρετικὸν, πρὸς Ἰουδαῖον καὶ Σαμαρείτην. Καὶ τὰ μὲν ὅπλα ἕτοιμα, καὶ τὸ ξίφος ἑτοιμότατον τοῦ Πνεύματος· δεῖ δὲ καὶ δεξιὰς τείνειν διὰ προαιρέσεως ἀγαθῆς, ἵνα πόλεμον Κυρίου πολεμήσῃς, ἵνα νικήσῃς ἀντικειμένας ἐνεργείας, ἵνα ἀήττητος γένῃ παντὶ αἱρετικῷ πράγματι (2). Παραγγελία δέ σοι καὶ τοῦτο ἔστω. Τὰ λεγόμενα μάνθανε, καὶ τήρει εἰς τὸν αἰῶνα. Μὴ νομίσῃς τὰς συνήθεις εἶναι ὁμιλίας· κἀκεῖναι μὲν γὰρ ἀγαθαὶ καὶ πίστεως ἄξιαι· ἀλλ' ἐὰν σήμερον ἀμελήσωμεν, αὖριον μανθάνομεν· τὰ δὲ περὶ τοῦ λουτροῦ τῆς παλιγγενεσίας κατ' ἀκολουθίαν διαδιδόμενα διδάγματα, ἐὰν σήμερον ἀμεληθῇ, πότε κατορθωθήσεται; Νόμισόν [μοι] φυτείας εἶναι δένδρων καιρόν· ἐὰν μὴ σκάψωμεν καὶ βαθύνωμεν, πότε δύναται ἄλλοτε καλῶς φυτευθῆναι τὸ ἄπαξ κακῶς φυτευθέν; Νόμισόν μοι οἰκοδομὴν εἶναι τὴν κατήχησιν [ἐὰν μὴ βαθύνωμεν καὶ θεμέλιον θῶμεν], ἐὰν μὴ κατὰ ἀκολουθίαν δεσμοῖς οἰκοδομῆς ἁρμολογήσωμεν τὸν δόμον, ἵνα μὴ εὑρεθῇ τι χαῦνον καὶ σαθρὰ γένηται ἡ οἰκοδομὴ, [οὐδὲν ὄφελος οὐδὲ τοῦ προτέρου κόπου]· ἀλλὰ δεῖ κατὰ ἀκολουθίαν λίθον μὲν λίθῳ ἀκολουθεῖν, καὶ γωνίαν γωνίᾳ ἔπεσθαι· ἀποξέοντων δὲ [ἡμῶν τὰ] περισσὰ, οὕτω δεῖ λείαν (3) οἰκοδομὴν ἀναβαίνειν. Οὕτω προσφερόμενόν σοι λίθους ὡς περ γνώσεως· δεῖ ἀκούειν τὰ περὶ Θεοῦ ζῶν-

(1) Γραπτέον ἴσ. σωτήριον, ἢ σωτηρίας.
(2) Πρὸς Ἐφεσ. ς', 16, 17.
(3) Λείαν· ἐκ τοῦ ΒΤ.—Μ, ἀντὶ τοῦ λίαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τος· δεῖ ἀκούειν τὰ περὶ κρίσεως· δεῖ ἀκούειν τὰ περὶ Χριστοῦ· δεῖ ἀκούειν τὰ περὶ ἀναστάσεως. Καὶ πολλά ἐστιν ἀκολούθως λεγόμενα, νῦν μὲν σποράδην εἰρημένα, τότε δὲ κατὰ ἁρμονίαν προσφερόμενα. Ἐὰν δὲ μὴ συνάψῃς ἐν τῷ ἑνί, καὶ μνημονεύσῃς τῶν πρώτων καὶ τῶν δευτέρων, ὁ μὲν οἰκοδομῶν οἰκοδομεῖ, σὺ δὲ σαθρὰν ἕξεις τὴν οἰκοδομήν.

ζ'. Ὅτε τοίνυν κατήχησις λέγεται, ἐάν σε κατηχούμενος ἐξετάσῃ· Τί εἰρήκασιν οἱ διδάσκοντες, μηδὲν λέγε τῷ ἔξω. Μυστήριον γάρ σοι παραδίδομεν, καὶ ἐλπίδα μέλλοντος αἰῶνος. Τήρησον τὸ μυστήριον τῷ μισθαποδότῃ. Μή ποτέ σοι τις εἴπῃ, Τί βλάπτῃ, ἐὰν κἀγὼ μάθω; Καὶ οἰνοσοῦντες τὸν οἶνον ζητοῦσιν· ἀλλ' ἐὰν ἀκαίρως δοθῇ, φρενῖτιν ἐργάζεται, καὶ δύο κακὰ γίνεται· καὶ ὁ νοσῶν ἀπόλλυται, καὶ ὁ ἰατρὸς διαβάλλεται. Οὕτω [καὶ] ὁ κατηχούμενος, ἐὰν ἀκούσῃ παρὰ πιστοῦ· καὶ ὁ κατηχούμενος φρενιτιᾷ (οὐκ οἶδε γὰρ τί ἤκουσε, καὶ ἐλέγχει τὸ πρᾶγμα, καὶ ἐκμυκτηρίζει τὸ λεγόμενον), καὶ ὁ πιστὸς ὡς προδότης κατακρίνεται. Ἤδη δὲ σὺ [ἐν] μεθορίῳ στήκεις, βλέπε μοι μὴ ἐκλαλήσῃς· οὐχ ὅτι οὐκ ἄξια λαλιᾶς τὰ λεγόμενα, ἀλλ' ὅτι ἡ ἀκοὴ ἀναξία τοῦ δέξασθαι. Ἦ ποτε καὶ σὺ κατηχούμενος· οὐ διηγησάμην σοι τὰ προκείμενα. Ὅταν τῇ πείρᾳ λάβῃς τὸ ὕψωμα τῶν διδασκομένων, τότε ἂν γνώσῃ, ὅτι ἀνάξιοι οἱ κατηχούμενοι τῆς ἀκοῆς. Μιᾶς μητρὸς γεγόνατε υἱοὶ καὶ θυγατέρες, οἱ ἀπογραφέντες.

η'. Ὅταν εἰσέλθητε (1) πρὸ τῆς ὥρας τῶν ἐξορκισμῶν, εἷς ἕκαστος ὑμῶν λαλείτω τὰ πρὸς εὐσέβειαν. Κἄν τις ὑμῶν μὴ παρῇ, ἐπιζητήσατε. Εἰς τράπεζαν εἰ ἐκλήθης, οὐκ ἂν περιέμενες τὸν συγκεκλημένον; ἀδελφὸν εἰ εἶχες, οὐκ ἂν τῷ ἀδελφῷ τὸ ἀγαθὸν ἐζήτεις; Μὴ πολυπραγμόνει λοιπὸν πραγμάτων ἀνωφέλειαν. Μή, τί ἐποίησε πόλις· μή, τί ἐποίησε κώμη· μή, τί ἐποίησε βασιλεύς· μή, τί ἐποίησεν ἐπίσκοπος· μή, τί ἐποίησε πρεσβύτερος. Ἄνω βλέπε· καιρὸς ὁ σὸς ἐκείνου χρείαν ἔχει· « Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός » (2). Ἐὰν ἴδῃς τοὺς πιστοὺς διακονοῦντας, καὶ μὴ μεριμνῶντας,

(1) Ἐκ τοῦ BT.—M, εἰσέλθῃς.
(2) Ψαλμ. ΜΕ'. 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔχουσι τὸ ἀσφαλές· οἶδασι τί ἔλαβον, κατέχουσι τὴν χάριν. Σὺ δὲ ἀκμὴν ἐν ζυγῷ στήκεις, ἢ δεχθῆναι, ἢ μὴ δεχθῆναι. Μὴ μιμήσῃ τοὺς ἔχοντας τὸ ἀμέριμνον, ἀλλὰ μέτελθε τὸν φόβον. Καὶ ὅταν ἐποχισμὸς γένηται, ἕως ὅτου οἱ ἄλλοι ἐπορκιζόμενοι παραγένωνται, ἄνδρες μετὰ ἀνδρῶν, καὶ γυναῖκες μετὰ γυναικῶν. Νῦν γάρ μοι χρεία τῆς τοῦ Νῶε κιβωτοῦ, ἐν ᾗ (1) ἦν Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἡ γυνὴ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ (2). Εἰ γὰρ καὶ μία ἦν ἡ κιβωτὸς καὶ κεκλεισμένη ἦν ἡ θύρα, ἀλλὰ ἐσχημάτιστο τὰ πράγματα. Εἰ [καὶ] κέκλεισται ἡ ἐκκλησία καὶ πάντες ὑμεῖς ἔνδον, ἀλλὰ διεστάλθω τὰ πράγματα, ἄνδρες μετὰ ἀνδρῶν, καὶ γυναῖκες μετὰ γυναικῶν· μὴ γένηται ἡ ὑπόθεσις τῆς σωτηρίας, πρόφασις ἀπωλείας. Κἂν ἡ ὑπόθεσις καλὴ πλησίον ἀλλήλων καθέζεσθαι, ἀλλὰ μακρὰν ἔστω τὰ πάθη. Εἶτα οἱ ἄνδρες καθεζόμενοι ἐχέτωσαν καὶ βιβλίον χρήσιμον· καὶ ὁ μέν τις ἀναγινωσκέτω, ὁ δέ τις ἀκουέτω. Κἂν μὴ βιβλίον παρῇ, ὁ μὲν προσευχέσθω, ὁ δέ τι χρήσιμον λαλείτω. Καὶ ὁ σύλλογος πάλιν ὁ παρθενικὸς οὕτω συνειλέχθω, ἢ ψάλλων ἢ ἀναγινώσκων ἡσυχῇ, ὥστε λαλεῖν μὲν τὰ χείλη, μὴ ἀκούειν δὲ τὰ ἀλλότρια ὦτα· «Γυναικὶ γὰρ λαλεῖν ἐν Ἐκκλησίᾳ οὐκ ἐπιτρέπω» (3). Καὶ ἡ ἐν γάμοις δὲ ὁμοίως μυείσθω καὶ προσευχέσθω, καὶ τὰ χείλη κινείσθω, φωνὴ δὲ μὴ ἀκουέσθω (4)· ἵνα παρέλθῃ Σαμουὴλ, ἵνα σου ἡ στεῖρα ψυχὴ γεννήσῃ τὴν σωτηρίαν, Θεοῦ ἐπακούσαντος· ὁ γὰρ Σαμουὴλ ταύτην ἔχει τὴν ἑρμηνείαν.

θ΄. Ὄψομαι τὴν σπουδὴν ἑκάστου, ὄψομαι τὸ εὐλαβὲς ἑκάστης. Πυρούσθω ἡ διάνοια πρὸς εὐλάβειαν· χαλκευέσθω ἡ ψυχή· σφυροκοπείσθω τὸ σκληρὸν τῆς ἀπιστίας· ἀποπεσάτωσαν αἱ περισσαὶ τοῦ σιδήρου λεπίδες· μενέτω τὸ καθαρόν· ἀποπεσάτω τοῦ σιδήρου ὁ ἰός· μενέτω τὸ γνήσιον. Ποτὲ (5) μὲν ὑμῖν δείξῃ ὁ Θεὸς ἐκείνην τὴν νύκτα, τὸ σκότος τὸ ἡμεροφανὲς, περὶ οὗ εἴρηται· «Σκότος οὐ

(1) ἐν ᾗ· ἐκ τοῦ ΒΤ.—Μ, ἵνα ᾖ.
(2) Γενές. Ζ΄, 7.
(3) Α΄ πρὸς Τιμόθ. Β΄, 12· καὶ Α΄ πρὸς Κορινθ. ΙΔ΄, 34.
(4) Α΄ Βασιλ. Α΄, 13.
(5) Ποτὲ· ἐκ τοῦ ΒΤ.—Μ, πότε.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται » (1)· τότε ὑμῶν ἑκάστῳ [καὶ ἑκάστῳ καὶ ἑκάστῃ] παραδείσου θύρα ἀνεῳχθῇ. Τότε ὑδάτων ἀπολαύσητε Χριστοφόρων, ἐχόντων εὐωδίαν. Τότε Χριστοῦ προσηγορίαν λάβητε, καὶ ἐνέργειαν θείων πραγμάτων. Ἤδη μοι τῆς διανοίας τὸ ὄμμα ἀναβλέψατε· ἤδη μοι χοροὺς ἀγγελικοὺς ἐννοήσατε, καὶ δεσπότην τῶν ὅλων Θεὸν καθεζόμενον, Υἱὸν δὲ μονογενῆ ἐν δεξιᾷ συγκαθήμενον, καὶ Πνεῦμα συμπαρόν· Θρόνους δὲ καὶ Κυριότητας λειτουργοῦντας· καὶ ὑμῶν δὲ ἕκαστον καὶ ἑκάστην, σωζόμενον καὶ σωζομένην. Ἤδη ὑμῶν τὰ ὦτα, ὡς περ ἐκατηχεῖσθε, ποιήσατε (2) ἐκείνην τὴν καλὴν ἠχὴν, ὅτε ὑμῶν σωθέντων οἱ ἄγγελοι ἐπιφωνήσουσι· « Μακάριοι ὧν ἀφέθησαν » αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι» (3)· ὅτε, ὡς περ ἀστέρες τῆς Ἐκκλησίας, εἰσέλθητε φαιδροὶ τῷ σώματι, καὶ ρωτεινοὶ τῇ ψυχῇ.

ί. Μέγα τὸ προκείμενον βάπτισμα· αἰχμαλώτοις λύτρον· ἁμαρτημάτων ἄφεσις· θάνατος ἁμαρτίας· παλιγγενεσία ψυχῆς· ἔνδυμα φωτεινόν· σφραγὶς ἁγία ἀκατάλυτος· ὄχημα πρὸς οὐρανόν· παράδεισου τρυφή· βασιλείας πρόξενον· υἱοθεσίας χάρισμα. Ἀλλὰ δράκων παρὰ (4) τὴν ὁδὸν τηρεῖ τοὺς περιπατοῦντας, βλέπε μὴ δάκῃ τῇ ἀπιστίᾳ· βλέπει τοσούτους σωζομένους, καὶ ζητεῖ τίνα καταπίῃ (5). Πρὸς Πατέρα πνευμάτων εἰσέρχῃ, ἀλλὰ δι' ἐκείνου τοῦ δράκοντος διέρχῃ· πῶς οὖν αὐτὸν διέλθῃς; « Ὑπόδησαι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης» (6)· ἵνα κἂν δάκῃ, μὴ βλάπτῃ. Πίστιν ἔνοικον ἔχε, κραταιὰν ἐλπίδα, κρηπίδα ἰσχυρὰν, ἵνα διέλθῃς τὸν ἐχθρὸν, καὶ εἰσέλθῃς πρὸς τὸν δεσπότην. Τὴν σαυτοῦ καρδίαν

(1) Ψαλμ. ΡΑΗ', 12.

(2) ΒΤ, ὥσπερ κατηχεῖσθω· ποθήσατε κτλ.— Ἐν ἀμφοτέραις ταῖς ἐκδόσεσι δὲν φαίνεται τέλειος ὁ λόγος· διὰ ὑπό τινων μὲν ἐπροστάθη ἡ τροπὴ τοῦ ἐκατηχεῖσθε, εἰς ἀπαρέμφατον (ὥσπερ κατηχεῖσθαι)· ὑφ' ἑτέρων δέ, ἡ προσθήκη τῆς λέξεως ἠχηθῆναι, ἵνα ᾖ ἡ φράσις οὕτω· « ποιήσατε ἐκείνην τὴν καλὴν ἠχηθῆναι ἠχὴν » κτλ.

(3) Ψαλμ. ΛΑ', 1.

(4) ἐκ τοῦ ΒΤ.— Μ, περὶ.

(5) Α'. Πέτρ. Ε', 8.

(6) Πρὸς Ἐφες. ς', 15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἑτοίμασον εἰς ὑποδοχὴν διδασκαλίας, εἰς κοινωνίαν ἁγίων μυστηρίων. Εὔχου πυκνότερον, ἵνα ὁ Θεὸς σε καταξιώσῃ τῶν ἐπουρανίων καὶ ἀθανάτων μυστηρίων. Μήτε ἡμέραν ἄργει, μήτε νύκτα· ἀλλ' ὅταν ὁ ὕπνος (1) ἐκ τῶν ὀμμάτων σου ἐκπέσῃ, τότε ἡ διάνοιά [σου] εἰς προσευχὴν σχολαζέτω. Κἂν ἴδῃς λογισμὸν αἰσχρὸν ἀναβάντα εἰς τὴν διάνοιάν σου, λάβε κρίσεως [ἔννοιαν] ὑπομνηστικὸν σωτηρίας· σχόλασον τὴν διάνοιαν εἰς τὸ μαθεῖν, ἵνα ἐπιλάθῃ φαύλων πραγμάτων. Ἐὰν ἴδῃς τινά σοι λέγοντα· Καὶ εἰσέρχῃ εἰς τὸ ὕδωρ καταβῆναι; ἄρτι γὰρ οὐκ ἔχει πόλις βαλανεῖα; Γίνωσκε, ὅτι ὁ δράκων τῆς θαλάσσης ταῦτά σοι κατασκευάζει· μὴ πρόσεχε τοῖς χείλεσι τοῦ λαλοῦντος, ἀλλὰ τῷ ἐνεργοῦντι Θεῷ. Φύλασσε τὴν σαυτοῦ ψυχὴν ὅπως (2) ἄληπτος γένῃ, ἵνα παραμείνας τῇ ἐλπίδι, κληρονόμος γένῃ σωτηρίας αἰωνίου.

ιά. Ἡμεῖς μὲν ταῦτα, ὡς ἄνθρωποι, καὶ παραγγέλλομεν καὶ διδάσκομεν. Μὴ ποιήσητε δὲ τὴν οἰκοδομὴν ἡμῶν (3) χόρτον, καλάμην, καὶ ἄχυρα, ἵνα μὴ τοῦ ἔργου κατακαέντος, ζημιωθῶμεν· ἀλλὰ ποιήσατε τὸ ἔργον, χρυσίον καὶ ἀργύριον, καὶ λίθους τιμίους (4). Ἐν ἐμοὶ γάρ ἐστι τὸ εἰπεῖν, ἐν σοὶ δὲ τὸ προσθέσθαι, ἐν Θεῷ δὲ τὸ τελειῶσαι. Νευρώσωμεν τὴν διάνοιαν· συντείνωμεν τὴν ψυχήν· ἑτοιμάσωμεν τὴν καρδίαν· περὶ ψυχῆς τρέχομεν· περὶ αἰωνίων πραγμάτων ἐλπίζομεν. Δυνατὸς δὲ ὁ Θεὸς, ὁ τὰς καρδίας ὑμῶν εἰδὼς, καὶ γινώσκων τίς μέν ἐστι γνήσιος (5), τίς δὲ ὑποκριτὴς, τὸν μὲν γνήσιον φυλάξαι, τὸν δὲ ὑποκριτὴν πιστοποιῆσαι. Δύναται γὰρ ὁ Θεὸς καὶ τὸν ἄπιστον πιστοποιῆσαι (ἐὰν μόνον δῷ τὴν καρδίαν), καὶ ἐξαλεῖψαι τὸ καθ' ὑμῶν χειρόγραφον (6). Ἀμνηστίαν δὲ ὑμῖν (7) παράσχοι τῶν πρώτων παραπτωμάτων· φυτεύσοι δὲ ὑμᾶς εἰς τὴν Ἐκκλησίαν· καὶ στρατεύσοι ὑμᾶς ἑαυτῷ, ὅπλα περιβαλών τῆς δικαιοσύνης· οὐρανίων δὲ πραγμάτων καινῆς δια-

(1) Ἐκ τοῦ ΤΒ.—Μ, ὅτε ὕπνος.
(2) Μ, πῶς
(3) Μ, ὑμῶν.
(4) Α' πρὸς Κορινθ. Γ'. 12, 13.
(5) Μ, δίκαιος.
(6) Πρὸς Κολοσ. Β', 13, 14.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, ὑμῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θήκης πληρώσειε, καὶ Πνεύματος ἁγίου σφραγῖδα δῶῃ ἀνεξάλειπτον εἰς τοὺς αἰῶνας· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(*Τὰς τῶν φωτιζομένων κατηχήσεις ταύτας, τοῖς μὲν τῷ βαπτίσματι προσερχομένοις, καὶ τοῖς τὸ λουτρὸν ἔχουσιν ἤδη πιστοῖς εἰς ἀνάγνωσιν παρεχόμενος, μὴ δὸς τὸ σύνολον μήτε κατηχουμένοις, μήτε ἄλλοις τισὶ τοῖς μὴ οὖσι Χριστιανοῖς· ἐπεὶ τῷ Κυρίῳ λόγον δώσεις. Καὶ ἐὰν ποιῇς ἀντίγραφον, ὡς ἐπὶ Κυρίου ταῦτα πρόγραψον.*)

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

Ἀρχιεπισκόπου Ἱεροσολύμων,

ΚΑΤΗΧΗΣΙΣ Α'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰσαγωγικὴ τοῖς τῷ βαπτίσματι προσελθοῦσι· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· «Λούσασθε, καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου» (1).

ά. ΚΑΙΝΗΣ διαθήκης μαθηταί, καὶ Χριστοῦ μυστηρίων κοινωνοί, νῦν μὲν τῇ κλήσει, μετ' ὀλίγον δὲ καὶ τῇ χάριτι, « Καρδίαν ἑαυ- » τοῖς ποιήσατε καινὴν, καὶ πνεῦμα καινὸν » (2), ἵνα εὐφροσύνη γένηται τοῖς οὐρανίοις. Εἰ γὰρ « ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι » χαρὰ γίνεται,» κατὰ τὸ Εὐαγγέλιον (3), πόσῳ μᾶλλον ἡ τοσούτων σωτηρία ψυχῶν κινήσει πρὸς εὐφροσύνην τοὺς οὐρανίους (4);

(1) Ἡσαΐου Α', 16.
(2) Ἰεζεκ. ΙΗ', 31.
(3) Λουκ. ΙΕ', 7.
(4) Ἐκ τοῦ ΒΓ. — Μ, τοὺς οὐρανούς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀγαθῆς ὁδοῦ καὶ καλλίστης ἐραψάμενοι, τὸν τῆς εὐσεβείας εὐλαβῶς δράμετε δρόμον· εἰς γὰρ τὴν ὑμετέραν ἀπολύτρωσιν ἑτοιμότατος πάρεστιν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, λέγων· « Δεῦτε πάντες οἱ » κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς » (1). Οἱ τὸ χαλεπὸν τῶν πταισμάτων ἠφρισεμένοι, καὶ σειραῖς τῶν οἰκείων ἁμαρτιῶν ἐσφιγμένοι, τῆς προφητικῆς φωνῆς ἀκούσατε λεγούσης· « Λούσασθε, καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ » τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου » (2), ἵνα ἀγγελικὸς ὑμῖν ἐπιβοήσῃ χορός· « Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, » καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι » (3). Οἱ τὰς τῆς πίστεως λαμπάδας ἐξάψαντες ἀρτίως, ἀσβέστους ἐν χερσὶ διατηρήσατε ταύτας· ἵν' ὁ τῷ λῃστῇ τότε τὸν παράδεισον ἐν τῷ παναγίῳ τούτῳ Γολγοθᾷ διὰ τὴν πίστιν ἀνοίξας (4), τὸ νυμφικὸν ὑμῖν ᾄσαι παράσχοι μέλος.

Ϛ'. Δοῦλος εἴ τις ἐστὶν ἐνταῦθα τῆς ἁμαρτίας, ἑτοιμότατος γενέσθω διὰ τῆς πίστεως εἰς τὴν ἐλευθέριον τῆς υἱοθεσίας ἀναγέννησιν· καὶ τὴν μὲν τῶν ἁμαρτιῶν κακίστην δουλείαν ἀποθέμενος, τὴν δὲ τοῦ Κυρίου μακαριωτάτην δουλείαν κτησάμενος, καταξιωθήτω τὴν τῶν οὐρανῶν κληρονομῆσαι βασιλείαν. « Ἐκδύσασθε τὸν πα- » λαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπά- » της » διὰ τῆς ἐξομολογήσεως, «ὅπως ἐνδύσησθε τὸν καινὸν, τὸν » ἀνακαινούμενον κατ' ἐπίγνωσιν τοῦ κτίσαντος αὐτόν» (5). Τὸν ἀρραβῶνα τοῦ Πνεύματος τοῦ ἁγίου (6) κτήσασθε διὰ τῆς πίστεως, ὅπως δυνηθῆτε δεχθῆναι εἰς τὰς αἰωνίους μονάς (7). Προσέλθετε εἰς τὴν μυστικὴν σφραγῖδα, ἵνα εὔγνωστοι ἦτε τῷ δεσπότῃ· [καὶ]συγκαταριθμήθητε τῇ ἁγίᾳ καὶ λογικῇ τοῦ Χριστοῦ ποίμνῃ, εἰς τὰ δεξιὰ αὐτοῦ ἀφορισθησόμενοι, καὶ κληρονομοῦντες τὴν ἡτοιμασμένην ὑμῖν ζωήν. Οἷς γὰρ ἔτι τὸ τραχὺ τῶν ἁμαρτιῶν περίκειται,

(1) Ματθ. ΙΑ', 28.
(2) Ἡσ. Α', 16.
(3) Ψαλμ. ΛΑ', 1.
(4) Λουκ. ΚΓ', 43.
(5) Πρὸς Ἐφεσ. Δ', 22, 24· καὶ Πρὸς Κολοσ. Γ', 9, 10.
(6) Β' πρὸς Κορινθ. Ε', 5.
(7) Λουκ. ΙΓ', 9.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὗτοι ἐν τοῖς ἀριστεροῖς τυγχάνουσι, διὰ τὸ μὴ προσελθεῖν τῇ τοῦ Θεοῦ χάριτι, τῇ δοθείσῃ διὰ Χριστοῦ ἐπὶ τῇ τοῦ λουτροῦ ἀναγεννήσει. Ἀναγέννησιν δὲ οὐ σωμάτων λέγω, ἀλλὰ ψυχῆς τὴν πνευματικὴν ἀναγέννησιν. Τὰ μὲν γὰρ σώματα διὰ τῶν φαινομένων γονέων γεννῶνται, αἱ δὲ ψυχαὶ διὰ τῆς πίστεως ἀναγεννῶνται· « Τὸ γὰρ » Πνεῦμα ὅπου θέλει πνεῖ » (1). Καὶ τότε ἀκοῦσαι ἔχεις, ἐὰν ἄξιος γένῃ, « Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ » (2), ὅταν εὑρεθῇς μηδὲν ἀκάθαρτον ὑποκρίσεως ἔχων ἐν συνειδήσει.

γ'. Εἰ γάρ τις τῶν ἐνταῦθα νομίζοι πειράζειν τὴν χάριν, ἑαυτὸν ἀπατᾷ, καὶ τὴν δύναμιν ἀγνοεῖ. Ἀνυπόκριτον ἔχε τὴν ψυχήν, ὦ ἄνθρωπε, διὰ τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς (3). Ὡς περ γὰρ οἱ μέλλοντες στρατεύειν, ἐρευνῶσι τὰς ἡλικίας καὶ τὰ σώματα τῶν στρατευομένων, οὕτω καὶ ὁ Κύριος στρατολογῶν τὰς ψυχάς, ἐρευνᾷ τὰς προαιρέσεις· κἂν μὲν ὑπόκρισιν ἔχῃ τις κρυπτομένην, ἀπέβαλε τὸν ἄνθρωπον ὡς τῆς ἀληθοῦς στρατείας ἀνεπιτήδειον· εἰ δὲ ἄξιον καταλάβῃ, τούτῳ δίδωσιν ἑτοίμως τὴν χάριν. Οὐ δίδωσι « τὰ » ἅγια τοῖς κυσίν» (4)· ἀλλ' ὅπου βλέπει τὴν ἀγαθὴν συνείδησιν, ἐκεῖ τὴν σωτηριώδη δίδωσι σφραγῖδα, τὴν θαυμασίαν, ἣν τρέμουσι δαίμονες, καὶ γινώσκουσιν ἄγγελοι· ἵνα οἱ μὲν φύγωσιν ἐλασθέντες, οἱ δὲ περιέπωσιν ὡς οἰκεῖοι. Τοὺς οὖν λαμβάνουσι τὴν πνευματικὴν ταύτην σφραγῖδα καὶ σωτήριον, χρεία καὶ τῆς οἰκείας προαιρέσεως. Ὡς περ γὰρ κάλαμος γραφικὸς, ἢ καὶ βέλος, χρείαν ἔχει τοῦ συνεργοῦντος, οὕτω καὶ ἡ χάρις χρείαν ἔχει τῶν πιστευόντων.

δ'. Ὅπλον λαμβάνεις οὐ φθαρτὸν, ἀλλὰ πνευματικόν. Καταφυτεύῃ λοιπὸν εἰς τὸν νοητὸν παράδεισον. Λαμβάνεις ὄνομα καινὸν, ὃ πρότερον οὐκ εἶχες. Πρὸ τούτου κατηχούμενος ἦς, νῦν δὲ πιστὸς κληθήσῃ. Μεταφυτεύῃ λοιπὸν εἰς τὰς ἐλαίας τὰς νοητὰς, « ἐξ ἀγριελαίου εἰς καλλιέλαιον ἐγκεντριζόμενος » (5)· ἐξ ἁμαρτιῶν εἰς

(1) Ἰωάν. Γ', 8.
(2) Ματθ. ΚΕ', 21.
(3) Ψαλμ. Ζ',10.
(4) Ματθ. Ζ', 6.
(5) Πρὸς Ῥωμ. ΙΑ', 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δικαιοσύνην, ἐκ μολυσμῶν εἰς καθαρότητα. Γίνῃ κοινωνὸς τῆς ἁγίας ἀμπέλου· ἀλλ' ἐὰν μὲν ἐπιμείνῃς τῇ ἀμπέλῳ, αὔξῃ ὡς κλῆμα καρποφόρον· ἐὰν δὲ μὴ ἐπιμείνῃς, ὑπὸ τοῦ πυρὸς καταναλωθήσῃ (1). Καρποφορήσωμεν τοίνυν ἀξίως. Μὴ γένοιτο γὰρ ἵνα ἐν ἡμῖν γένηται τὸ κατὰ τὴν ἄκαρπον ἐκείνην συκῆν, μή ποτε ἐλθὼν ὁ Ἰησοῦς καὶ νῦν καταράσηται διὰ τὴν ἀκαρπίαν (2). Ἀλλ' εἴη πάντας ἐκεῖνο λέγειν· «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ » τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα » (3). Ἐλαία οὐκ αἰσθητὴ, ἀλλὰ νοητὴ ρωτοφόρος. Αὐτοῦ μὲν οὖν ἐστι τὸ καταφυτεῦσαι καὶ ποτίσαι, σὸν δὲ τὸ καρποφορῆσαι· Θεοῦ τὸ χαρίσασθαι, σὸν δὲ τὸ λαβεῖν καὶ διατηρῆσαι. Μὴ διὰ τὸ δωρεὰν δίδοσθαι τὴν χάριν καταφρόνει, ἀλλὰ λαβὼν συντήρησον εὐλαβῶς.

ε'. Καιρὸς ἐξομολογήσεως ὁ παρών. Ἐξομολόγησαι τὰ πεπραγμένα, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν νυκτὶ, τὰ ἐν ἡμέρᾳ. Ἐξομολόγησαι «ἐν καιρῷ δεκτῷ καὶ ἐν ἡμέρᾳ σωτηρίας » (4). Δέξαι τὸν ἐπουράνιον θησαυρόν. Σχόλασον εἰς τοὺς ἐπορκισμούς. (5) Παρέδρευε ταῖς κατηχήσεσι, καὶ μέμνησο τῶν λεχθησομένων· λέγεται γὰρ, οὐχ ἵνα μόνον ἀκούσῃς, ἀλλ' ἵνα διὰ τῆς πίστεως ἐπισφραγίσῃς τὰ λεγόμενα. Πᾶσαν μέριμναν ἀνθρωπίνην ἐξάλειψον ἀπὸ σοῦ· περὶ ψυχῆς γὰρ τρέχεις. Τὰ τοῦ κόσμου πάντως καταλιμπάνεις· μικρὰ τὰ καταλιμπανόμενα, μεγάλα δὲ τὰ παρὰ τοῦ Κυρίου δωρούμενα. Κατάλειπε τὰ παρόντα, καὶ πίστευε εἰς τὰ μέλλοντα. Τοσούτους κύκλους ἐνιαυτῶν διῆλθες, περὶ τὸν κόσμον μάτην ἀσχολούμενος, καὶ τεσσαράκοντα ἡμέρας οὐ σχολάζεις τῇ προσευχῇ, διὰ τὴν σαυτοῦ ψυχήν ; « Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς », φησὶν ἡ Γραφὴ (6). Τὸ λαλεῖν πολλὰ ἀργὰ παραίτησαι· μήτε καταλάλει, μήτε ἡδέως ἄκουε καταλαλοῦντος· ἀλλὰ μᾶλλον εἰς προσευχὰς

(1) Ἰωάν. ΙΕ', 4—6.
(2) Ματθ. ΚΑ', 18—19· καὶ Μάρκ. 13—14.
(3) Ψαλμ. ΝΑ', 10.
(4) Β' πρὸς Κορινθ. ς', 2.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, ἐξορκισμούς.
(6) Ψαλμ. ΜΕ', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἕτοιμος ἔσο. Δεῖξον ἐν ἀσκήσει, τῆς καρδίας σου τὸ νενευρωμένον (1). Καθάρισόν σου τὸ ἄγγος, ἵνα πλείονα δέξῃ τὴν χάριν. Ἡ μὲν γὰρ ἄφεσις τῶν ἁμαρτιῶν ἐξ ἴσου δίδοται τοῖς πᾶσιν· ἡ δὲ τοῦ Πνεύματος τοῦ ἁγίου κοινωνία, κατὰ ἀναλογίαν δεδώρηται τῆς ἑκάστου πίστεως. Ἐὰν ὀλίγα κάμῃς, ὀλίγα λαμβάνεις· ἐὰν δὲ ἐργάσῃ πολλά, πολὺς ὁ μισθός. Σεαυτῷ τρέχεις, τὸ συμφέρον σκόπει.

ς'. Εἴ τι κατά τινος ἔχεις, ἄφες. Προσέρχῃ λαβεῖν ἄφεσιν ἁμαρτιῶν, ἀνάγκη καὶ σὲ συγχωρῆσαι τῷ ἡμαρτηκότι· ἐπεὶ ποίῳ προσώπῳ τῷ Κυρίῳ λέξεις, Ἄφες μοι τὰς πολλάς μου ἁμαρτίας, αὐτὸς σὺ μηδὲ τὰς ὀλίγας τῷ συνδούλῳ συγχωρήσας (2); Εἰς τὰς Συνάξεις ἔσο σπουδαῖος, μὴ μόνον νῦν, ὅτε καὶ ὑπὸ τῶν Κληρικῶν τὴν σπουδὴν ἀπαιτῇ, ἀλλὰ καὶ μετὰ τὸ λαβεῖν τὴν χάριν. Εἰ γὰρ πρὶν λάβῃς, καλὸν τὸ γινόμενον, ἆρα οὐχὶ καὶ μετὰ τὴν δόσιν καλόν; Εἰ, πρὶν ἐγκεντρισθῇς, ἀσφαλὲς τὸ ποτίζεσθαι καὶ γεωργεῖσθαι, μετὰ τὴν φυτείαν ἆρ' οὐχὶ κάλλιον πολύ; Ἀγώνισαι περὶ τῆς σαυτοῦ ψυχῆς, μάλιστα ἐν τοιαύταις ἡμέραις. Θρέψον σου τὴν ψυχὴν ἀναγνώσεσι θείαις· ἡτοίμασε γάρ σοι τράπεζαν πνευματικὴν ὁ Κύριος· εἰπὲ καὶ αὐτὸς κατὰ τὸν ψαλμῳδόν· « Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν· ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με· τὴν ψυχήν μου ἐπέστρεψεν » (3)· ἵνα καὶ ἄγγελοι συνευφρανθῶσι, καὶ αὐτὸς ὁ Χριστὸς ὁ μέγας ἀρχιερεύς, τὴν ὑμετέραν προαίρεσιν ἀποδεξάμενος, προσφέρων ὑμᾶς ἅπαντας, εἴπῃ τῷ Πατρί· « Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός » (4)· ὃς πάντας ὑμᾶς εὐαρεστοῦντας αὐτῷ συντηρήσειεν. ὯΙ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Ἐκ τοῦ ΒΤ. — Μ, τὸν ἐντεθυρωμένον.
(2) Ματθ. ΙΗ', 23—35.
(3) Ψαλμ. ΚΒ', 1, 2, 3.
(4) Ἡσαΐου Η', 18· καὶ Πρὸς Ἑβρ. Β', 13.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ Β'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, περὶ μετανοίας καὶ ἀφέσεως ἁμαρτιῶν· καὶ περὶ Ἀντικειμένου. Καὶ ἀνάγνωσις ἐκ τοῦ Ἰεζεκιήλ· « Δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται. » (1).

ά. Δεινὸν ἡ ἁμαρτία, καὶ νόσος χαλεπωτάτη ψυχῆς ἡ παρανομία, ὑποτέμνουσα μὲν αὐτῆς τὰ νεῦρα, καὶ πυρὸς δὲ αἰωνίου γιγνομένη παραίτιος. Κακὸν αὐτεξούσιον, βλάστημα προαιρέσεως. Καὶ ὅτι γε αὐτοπροαιρέτως ἁμαρτάνομεν, λέγει που σαφῶς ὁ Προφήτης· « Ἐγώ σε ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν. » πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία ; » (2). Ἡ φυτεία καλή, ὁ καρπὸς κακός· ἐκ προαιρέσεως τὸ κακόν. Ὁ φυτουργὸς ἀναίτιος, ἡ δὲ ἄμπελος κατακαυθήσεται πυρί· ἐπειδὴ εἰς ἀγαθὸν ἐφυτεύθη, καὶ εἰς κακὸν ἐκαρποφόρησεν ἐκ προαιρέσεως· « Ἐποίησε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον εὐθῆ, κατὰ τὸν Ἐκκλησιαστήν, καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς » (3). « Αὐτοῦ γάρ ἐσμεν ποίημα κτισθέντες ἐπὶ ἔργοις ἀγαθοῖς », φησὶν ὁ Ἀπόστολος (4). Ὁ μὲν οὖν κτίστης, ἀγαθὸς [ὢν], ἐπὶ ἔργοις ἀγαθοῖς ἔκτισε· τὸ δὲ κτισθὲν, ἐξ οἰκείας προαιρέσεως εἰς πονηρίαν (5) ἐτράπη. Δεινὸν μὲν οὖν κακὸν, ὡς εἴρηται, ἡ ἁμαρτία, ἀλλ' οὐκ ἀθεράπευτον. Δεινὸν τῷ κατέχοντι, εὐίατον δὲ τῷ διὰ μετανοίας ἀποτιθεμένῳ. Ὑπόθου γάρ μοι κατέχειν ἐν χειρί τινα τὸ πῦρ· ἕως ὅτου κατέχει τὸν ἄνθρακα, καίεται πάντως. Εἰ δὲ ἀπόθοιτο τὸν ἄνθρακα, συναπέλαυνε καὶ τὸ φλέγον. Εἰ δέ τις νομίζει μὴ κατακαίεσθαι ἁμαρτάνων, τούτῳ λέγει ἡ Γραφή· « Ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει ; » (6). Καίει γὰρ ἡ ἁμαρτία τὰ νεῦρα τῆς ψυχῆς.

β'. Ἀλλ' ἐρεῖ τις· Τί ποτε ἄρα ἐστὶν ἡ ἁμαρτία ; ζῷόν ἐστιν ; Ἀγ-

(1) Ἰεζεκ. ΙΗ', 20.
(2) Ἱερεμ. Β', 21.
(3) Ἐκκλησ. Ζ', 30.
(4) Πρὸς Ἐφεσ. Β', 10.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, πικρίαν.
(6) Παροιμ. ς', 27.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γελός ἐστι ; δαίμων ἐστί ; τί ἐστι τοῦτο τὸ ἐνεργοῦν ; Οὐκ ἔστιν ἐχθρὸς ἔξωθεν, ἄνθρωπε, καταγωνιζόμενος· ἀλλὰ βλάστημα κακὸν, αὐξάνον ἀπὸ σοῦ. Ὀρθοῖς βλέπε τοῖς ὄμμασί σου (1), καὶ οὐκ ἔστιν ἐπιθυμία. Κάτεχε τὰ σὰ, καὶ μὴ αἶρε τὰ ἀλλότρια· καὶ ἁρπαγὴ κεκοίμηται. Μνημόνευε τῆς κρίσεως· καὶ οὔτε πορνεία, οὔτε μοιχεία, οὔτε φόνος [οὐδέ τι τῶν παρανομημάτων], ἰσχύσει παρὰ σοί. Ὅταν δὲ ἐπιλάθῃ τοῦ Θεοῦ, τότε λοιπὸν ἄρχῃ λογίζεσθαι πονηρὰ, καὶ συντελεῖν παράνομα. Οὐ μόνος δὲ σὺ καθέστηκας τοῦ πράγματος ἀρχηγὸς, ἀλλὰ καὶ ἄλλος τις ἐστὶ κάκιστος ὑποβολεὺς, ὁ διάβολος. Ὑποβάλλει πᾶσιν ἐκεῖνος, ἀλλ' οὐκ ἐπικρατεῖ τῶν μὴ πειθομένων. Διὰ τοῦτο λέγει ὁ Ἐκκλησιαστής· « *Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς* » (2)· ἀπόκλεισον τὴν θύραν σου, καὶ μάκρυνον ἀπὸ σοῦ, καὶ οὐ βλάψει σε. Ἐὰν δὲ ἀδιαφόρως δέξῃ τὴν ἐνθύμησιν ἐπιθυμίας, διὰ τῶν λογισμῶν ρίζας ἐν σοὶ καταβάλλεται, καὶ καταδεσμεῖ σου τὴν διάνοιαν, καὶ κατασπᾷ σε εἰς βόθρον κακῶν. Ἀλλ' ἴσως λέγεις· Πιστός εἰμι, καὶ οὐ περιγίνεταί μου ἐπιθυμία, κἂν ἐνθυμηθῶ πυκνότερον. Ἀγνοεῖς, ὅτι καὶ πέτραν ἔρρηξε ῥίζα παραμένουσα πολλάκις ; Μὴ δέξῃ τὸν σπόρον, ἐπεὶ διαῤῥήξει σου τὴν πίστιν· πρὶν ἢ ἀνθήσῃ, πρόῤῥιζον ἔξελε τὸ κακὸν, μὴ ῥαθυμήσας ἐξ ἀρχῆς, πέλυκας ὕστερον καὶ πῦρ πολυπραγμονήσῃς (3). Ἀρχόμενος ὀφθαλμιᾷν, θεραπεύου κατὰ καιρὸν, ἵνα μὴ τυφλωθεὶς, τότε ζητήσῃς τὸν ἰατρόν.

γ'. Ἀρχηγὸς μὲν οὖν ἁμαρτίας ὁ διάβολος, καὶ γεννήτωρ τῶν κακῶν. Τοῦτο δὲ ὁ Κύριος εἴρηκεν, οὐκ ἐγώ· « *Ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει* » (4)· πρὸ αὐτοῦ ἥμαρτεν οὐδείς. Ἥμαρτε δὲ, οὐκ ἐκ φύσεως ἐπάναγκες τὸ ἁμαρτητικὸν λαβὼν (ἐπεὶ πάλιν ἀνατρέχει ἡ τῆς ἁμαρτίας πρόφασις εἰς τὸν οὕτω κατασκευάσαντα), ἀλλ' ἀγαθὸς κατασκευασθεὶς, διάβολος γέγονεν ἐξ οἰκείας προαιρέσεως, ἐκ τῆς πράξεως λαβὼν τὴν προσηγορίαν. Ἀρχάγγελος γὰρ ὢν, διάβολος ὕστερον ἐκλήθη ἀπὸ τοῦ διαβάλλειν· καὶ

(1) Παροιμ. Δ', 25.
(2) Ἐκκλησ. Ι', 4.
(3) Ἱερεμ. ΚΓ', 29.
(4) Α'. Ἰωάν. Γ', 8.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγαθὸς ὢν ὑπηρέτης Θεοῦ, γέγονε Σατανᾶς φερωνύμως· ὁ γὰρ Σατανᾶς εἰς τὸν Ἀντικείμενον ἑρμηνεύεται (1). Ἔστι δὲ οὐκ ἐμὰ ταῦτα τὰ διδάγματα, ἀλλ' Ἰεζεκιὴλ τοῦ πνευματοφόρου Προφήτου. Ἐκεῖνος γὰρ λαβὼν θρῆνον ἐπ' αὐτὸν, λέγει· « Σὺ ἀποσφράγισμα ὁμοιότητος » καὶ στέφανος κάλλους, ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ ἐγεννήθης »(2). Καὶ μετ' ὀλίγα· « Ἐγεννήθης ἄμωμος ἐν ταῖς ἡμέραις σου ἀφ' ἧς » ἡμέρας σὺ ἐκτίσθης, ἕως οὗ εὑρέθη τὰ ἀδικήματα ἐν σοί » (3). Πάνυ καλῶς τὸ *εὑρέθη ἐν σοί*· οὐ γὰρ ἔζωθεν ἐπεισηνέχθη, ἀλλ' αὐτὸς ἐγέννησας τὸ κακόν. Καὶ τὴν αἰτίαν ἐξῆς εἴρηκεν· « Ὑψώθη ἡ » καρδία σου ἐπὶ τῷ κάλλει σου, διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν » σου· καὶ διὰ τὰς ἁμαρτίας σου ἐτραυματίσθης· καὶ ἐπὶ τὴν γῆν » ἔρριψά σε » (4). Ὁ Κύριος τοῦτο συμφώνως πάλιν ἐν Εὐαγγελίοις λέγει· « Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρα- » νοῦ πεσόντα » (5). Βλέπεις παλαιᾶς Διαθήκης πρὸς καινὴν συμφωνίαν (6). Οὗτος ἐκπεσὼν συναπέστησε πολλούς. Οὗτος εἰσβάλλει τὰς ἐπιθυμίας τοῖς πειθομένοις· ἐκ τούτου μοιχεία, πορνεία, καὶ πᾶν εἴ τι κακόν. Διὰ τοῦτον ὁ προπάτωρ ἡμῶν Ἀδὰμ ἐξεβλήθη, καὶ ἀντὶ παραδείσου αὐτομάτως θαυμασίους φέροντος καρποὺς, τὴν ἀκανθοφόρον ἀντικατηλλάξατο γῆν.

Δ'. Τί οὖν; ἐρεῖ τις· Ἀπολώλαμεν ἀπατηθέντες· ἆρ' οὐκ ἔστι λοιπὸν σωτηρία; Πεπτώκαμεν· ἆρ' οὐκ ἔστιν ἀναστῆναι; Ἐτυφλώθημεν· ἆρ' οὐκ ἔστιν ἀναβλέψαι; Χωλοὶ γεγόναμεν· ἆρ' οὐκ ἔστιν ὀρθοποδῆσαι; Ἵνα δὲ συντόμως εἴπωμεν, ἀπεθάνομεν· ἆρα οὐκ ἔστιν ἀναστῆναι; Ἆρ' ὁ τὸν Λάζαρον τὸν τετραήμερον ἐγείρας, ἄνθρωπε, τὸν ὀλωδότα (7), ἆρα τὸν ζῶντα σὲ μᾶλλον οὐκ εὐκοπώτερον ἀναστήσει; Ὁ τὸ τίμιον αἷμα ὑπὲρ ἡμῶν ἐκχέας, αὐτὸς ἡμᾶς ῥύσεται τῆς ἁμαρτίας. Μὴ ἀπογνῶμεν ἑαυτοὺς, ἀδελφοί· μὴ ἀποῤῥί-

(1) Ἐκ τοῦ ΒΤ. — ἀντὶ τοῦ ἐν τῷ, κειμένῳ, τὸν διάβολον ἑρμηνεύει.
(2) Ἰεζεκ. ΚΗ', 12.
(3) Αὐτ. 15.
(4) Αὐτ. 16 — 17.
(5) Λουκ. Ι', 18.
(6) Ἐκ τοῦ ΒΤ. — ἀντὶ τοῦ ἐν τῷ κειμένῳ, βλέπεις παλαιαν συμφωνίαν πρὸς καινήν.
(7) Ἰωάν. ΙΑ', 17 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ψωμεν ἑαυτοὺς εἰς ἀνέλπιστον κατάστασιν. Δεινὸν γάρ ἐστι τὸ μὴ πιστεύειν εἰς μετανοίας ἐλπίδα. Ὁ μὴ προσδοκῶν γὰρ τὴν σωτηρίαν, ἀφειδῶς προστίθησι τὰ κακά· ὁ δὲ τὴν ἰατρείαν ἐλπίσας, εὐμαρῶς τὸ λοιπὸν ἑαυτοῦ φείδεται. Ὁ γὰρ λῃστὴς ὁ μὴ δωρεὰν προσδοκῶν, εἰς ἀπόνοιαν αὔξει· ἐλπίσας δὲ τὴν ἄφεσιν, εἰς μετάνοιαν χωρεῖ πολλάκις. Εἶτα, ὅρις μὲν ἀποτίθεται τὸ γῆρας· ἡμεῖς δὲ οὐκ ἀποθησόμεθα τὴν ἁμαρτίαν; Καὶ ἀκανθώδης γῆ, γεωργηθεῖσα καλῶς, εἰς καρποφόρον (1) μετεβλήθη· ἡμῖν δὲ ἀδιόρθωτος ἡ σωτηρία; Ἡ μὲν οὖν φύσις ἐπιδέχεται τὴν σωτηρίαν, ζητεῖται δὲ λοιπὸν ἡ προαίρεσις.

ε. Φιλάνθρωπος ὁ Θεός, καὶ φιλάνθρωπος οὐκ ὀλίγον. Μὴ γὰρ εἴπῃς, Ἐπόρνευσα· ἐμοίχευσα· τὰ δεινά μοι πέπρακται, καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις· ἆρα συγχωρήσει; ἆρα παρέξει τὴν ἀμνηστίαν; Ἄκουε τί λέγει ὁ ψαλμῳδός· « Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε » (2). Οὐ νικᾷ σου τὰ συναχθέντα ἁμαρτήματα τὸ πλῆθος τῶν οἰκτιρμῶν τοῦ Θεοῦ· οὐ νικᾷ σου τὰ τραύματα τὴν ἀρχιατρικὴν ἐμπειρίαν (3)· Δὸς μόνον σεαυτὸν μετὰ πίστεως· λέγε τῷ ἰατρῷ τὸ πάθος· εἰπὲ καὶ αὐτὸς κατὰ τὸν Δαβίδ· « Εἶπα, » ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ », καὶ γενήσεται [ἐπὶ σοῦ] τὸ παραπλήσιον, τὸ ἐξῆς εἰρημένον· « Καὶ σὺ ἀφῆκας τὴν » ἀσέβειαν τῆς καρδίας μου » (4). Θέλεις ἰδεῖν Θεοῦ φιλανθρωπίαν, σὺ ὁ νεωστὶ εἰς τὴν κατήχησιν ἐληλυθώς; Θέλεις ἰδεῖν Θεοῦ φιλανθρωπίαν καὶ τῆς μακροθυμίας τὸ πλῆθος; Ἄκουσον περὶ τοῦ Ἀδάμ. Παρήκουσεν Ἀδάμ, ὁ πρωτόπλαστος τοῦ Θεοῦ· ἆρ' οὐκ ἐδύνατο τὸν θάνατον εὐθὺς ἐπαγαγεῖν; Ἀλλ' ὅρα τί ποιεῖ ὁ φιλανθρωπότατος Κύριος. Ἐκβάλλει μὲν αὐτὸν τοῦ παραδείσου (τῆς γὰρ [ἐκεῖ] διατριβῆς ἀνάξιος ἦν διὰ τὴν ἁμαρτίαν), κατοικίζει δὲ τοῦ παραδείσου κατέναντι (6)· ἵνα βλέπων ὅθεν ἐξέπεσε, καὶ ἐξ οἵων εἰς οἷα

(1) Ἐκ τοῦ ΒΤ. — Μ, εἰς καρποφορίαν.
(2) Ψαλμ. Α', 20.
(3) Ἐ τοῦ ΒΤ. — Μ, τὰ τραύματα ὁ τὴν ἰατρικὴν ἐμπειρίαν ἔχων.
(4) Ψαλμ. ΛΑ', 5.
(5) Γενέσ. Γ', 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κατηνέχθη, λοιπὸν ἐκ μετανοίας σωθῇ. Κάϊν ὁ πρωτότοκος ἄνθρωπος, ἀδελφοκτόνος γέγονεν, εὑρετὴς τῶν κακῶν, καὶ ἀρχηγὸς τῶν φόνων, καὶ βάσκανος πρῶτος. Ἀλλ' ἀνελὼν τὸν ἀδελφὸν, τί κατακρίνεται; « Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς » (1). Μέγα τὸ ἁμάρτημα, μικρὰ ἡ καταδίκη. Φιλανθρωπία μὲν οὖν ἀληθῶς καὶ αὕτη Θεοῦ, ἀλλ' ἔτι μικρὰ πρὸς τὰ ἐπιφερόμενα. Λόγισαι γάρ μοι τὰ ἐπὶ Νῶε. Ἥμαρτον οἱ γίγαντες, καὶ παρανομία πολλὴ τότε τῆς γῆς κατεχύθη(2), καὶ διὰ ταύτην κατακλυσμὸς ἔμελλεν ἐπέρχεσθαι· καὶ τῷ πεντακοσιοστῷ μὲν ἔτει τὴν ἀπειλὴν ἐκφέρει ὁ Θεὸς, τῷ δὲ ἑξακοσιοστῷ τὸν κατακλυσμὸν ἐπήγαγεν ἐπὶ τὴν γῆν (3). Βλέπεις φιλανθρωπίας Θεοῦ πλάτος, εἰς ἑκατὸν παρατεινομένης χρόνους; Ἆρα, ὅπερ ἐποίησε τότε μετὰ τὴν ἑκατονταετίαν, παραχρῆμα οὐκ ἐδύνατο ποιῆσαι; ἀλλ' ἐπίτηδες παρέτεινεν, ἔνδοσιν διδοὺς μετανοίας. Βλέπεις Θεοῦ ἀγαθότητα; καὶ εἴ γε μετενόησαν οἱ τότε, οὐκ ἂν ἀπέτυχον [τῆς τοῦ] Θεοῦ φιλανθρωπίας.

ς'. Ἐλθέ μοι λοιπὸν καὶ ἐπὶ τοὺς ἄλλους, τοὺς ἐκ μετανοίας σωθέντας. Ἀλλ' ἴσως, καὶ ἐν γυναιξὶν ἐρεῖ τις· Ἐπόρνευσα, ἐμοίχευσα, ἐμόλυνα τὸ σῶμα παντοίαις ἀκολασίαις· ἆρ' ἔστι σωτηρία; Ἀπόβλεψον, ὦ γύναι, εἰς τὴν Ῥαάβ, καὶ προσδόκα καὶ σὺ τὴν σωτηρίαν· εἰ γὰρ ἡ φανερῶς καὶ δημοσίᾳ πορνεύσασα, διὰ μετανοίας ἐσώθη, ἆρα ἡ ἅπαξ ποτὲ πορνεύσασα πρὸ τῆς χάριτος, διὰ μετανοίας καὶ νηστείας οὐ σώζεται; Πῶς γὰρ ἐσώθη ἐκείνη, ζήτησον· τοῦτο μόνον εἶπεν, « Ὅτι ὁ Θεὸς ὑμῶν ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς » (4). Ὁ Θεὸς ὑμῶν· ἑαυτῆς γὰρ οὐκ ἐτόλμησεν εἰπεῖν, διὰ τὴν ἀσέλγειαν. Καὶ εἰ θέλῃς δέξασθαι, τοῦ σωθῆναι ταύτην, μαρτυρίαν ἔγγραφον ἔχεις ἀνάγραπτον (5) ἐν ψαλμοῖς· « Μνησθήσομαι » Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με » (6). Ὦ μεγάλης τοῦ Θεοῦ φιλανθρωπίας, καὶ πορνῶν μνημονευούσης ἐν Γραφαῖς· ἀλλ' οὐχ ἁπλῶς, *μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος*, ἀλλὰ μετὰ τοῦ, *τοῖς*

(1) Γενές. Δ', 12.
(2) Ὡσηὲ, Δ', 2.
(3) Γενές. Ζ'. 11.
(4) Ἰησ. Ναυὴ Β', 11.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, ἀνέγγραπτον.
(6) Ψαλμ. Πζ', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γινώσκουσί με. Ἔστιν οὖν καὶ ἐπὶ ἀνδρῶν σωτηρία καὶ ἐπὶ γυναικῶν ὁμοίως, ἡ διὰ μετανοίας προξενουμένη. Κἂν ὁλόκληρος δὲ λαὸς ἁμάρτῃ, οὐ νικᾷ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ἐμοσχοποίησεν ὁ λαὸς, καὶ οὐκ ἀπέστη ὁ Θεὸς τῆς φιλανθρωπίας. Ἠρνήσαντο οἱ ἄνθρωποι Θεὸν, ἀλλ' ὁ Θεὸς ἑαυτὸν οὐκ ἠρνήσατο (1)· « Οὗτοι οἱ θεοί » σου Ἰσραὴλ », εἰρήκασι (2)· καὶ πάλιν συνήθως ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτὴρ αὐτῶν ἐγένετο. Καὶ οὐ μόνος ὁ λαὸς ἥμαρτε, ἀλλὰ καὶ Ἀαρὼν ὁ ἀρχιερεύς· Μωϋσῆς γάρ ἐστιν ὁ λέγων· « Καὶ ἐπὶ Ἀαρὼν ἐγένετο ὀργὴ Κυρίου, καὶ ἐδεήθην, φησίν, ὑπὲρ αὐτοῦ, καὶ συνεχώρησεν αὐτῷ ὁ Θεός » (3). Εἶτα Μωϋσῆς μὲν αἰτῶν ὑπὲρ ἀρχιερέως ἁμαρτάνοντος, ἐδυσώπει τὸν Κύριον· Ἰησοῦς δὲ ὁ μονογενὴς, αἰτῶν ὑπὲρ ἡμῶν οὐ δυσωπεῖ τὸν Θεόν; Κἀκεῖνον μὲν, διὰ τὸ πταισθὲν οὐκ (4) ἐκώλυσεν ἐλθεῖν εἰς ἀρχιερωσύνην· σὲ δὲ ἐξ ἐθνῶν ἐλθόντα, κωλύσει (5) εἰσελθεῖν εἰς τὴν σωτηρίαν; Μετανόησον, ἄνθρωπε, λοιπὸν καὶ αὐτὸς ὁμοίως, καὶ οὐ κεκώλυταί σοι ἡ χάρις. Ἀνεπίληπτόν σου παράστησον εἰς τὸ ἐξῆς τὸν τρόπον· φιλάνθρωπος γὰρ ἀληθῶς ὁ Θεὸς, καὶ οὐ δυνήσεται ὁ πᾶς ἄνθρωπος κατ' ἀξίαν ἐξειπεῖν αὐτοῦ τὴν φιλανθρωπίαν· οὐδ' ἂν πᾶσαι αἱ γλῶσσαι συνέλθωσιν ἀνθρώπων ὁμοῦ, οὐδ' οὕτω (6) μέρος τι τῆς τοῦ Θεοῦ φιλανθρωπίας διηγήσασθαι δυνήσονται. Ἡμεῖς γὰρ λέγομεν μέρος τι τῶν γεγραμμένων περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ φιλανθρωπίας, ἀλλ' οὐκ οἴδαμεν ὅσα καὶ ἀγγέλοις συνεχώρησε. Συγχωρεῖ γὰρ κἀκείνοις, ἐπειδὴ εἷς μόνος ἀναμάρτητος, ὁ τὰς ἁμαρτίας ἡμῶν καθαρίζων Ἰησοῦς. Καὶ περὶ μὲν ἐκείνων αὐτάρκως.

ζ'. Εἰ δὲ βούλει σοι (7) περὶ ἡμῶν καὶ ἄλλους τύπους παραστῆναι, ἐλθὲ καὶ ἐπὶ τὸν Δαβὶδ τὸν μακάριον, καὶ τύπον αὐτὸν λαβὲ τῆς μετανοίας. Ἐσφάλη ὁ μέγας, μετὰ κοίτην, τὸ δειλινὸν, περιπατῶν ἐπὶ

(1) Β'. πρὸς Τιμόθ. Β'. 13.
(2) Ἐξόδ. ΛΒ', 1—4.
(3) Δευτερονομ. Θ', 20 κ' ἑπόμ.
(4) Ἐκ τοῦ ΒΤ. — ἀντὶ τοῦ ἐν τῷ Μ, οὖν.
(5) Αὐτόθεν· — ἀντὶ τοῦ ἐν τῷ Μ, κεκώλυκεν.
(6) Αὐτόθεν· ἀντὶ τοῦ ἐν τῷ κειμένῳ, οὐχ οὕτω.
(7) Αὐτόθεν. — Μ, σύ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ δώματος (1)· εἶδεν ἀδιαφόρως, καὶ ἔπαθέ τι ἀνθρώπινον· ἐτελέσθη ἡ ἁμαρτία, ἀλλ' οὐ συναπέθανεν ἡ περὶ τὴν ὁμολογίαν τοῦ πταίσματος εὐγνωμοσύνη. Ἦλθε Νάθαν ὁ προφήτης, ἔλεγχος ταχύς, καὶ τοῦ τραύματος ἰατρός· « Ὠργίσθη, φησίν, ὁ Κύριος καὶ ἥμαρτες » (2)· τῷ βασιλεύοντι ὁ ἰδιώτης ἔλεγε. Βασιλεὺς ὁ πορφυροφόρος οὐκ ἠγανάκτησεν· οὐ γὰρ προσεῖχε τῷ λαλοῦντι, ἀλλὰ τῷ ἀποστείλαντι. Οὐκ ἐτύφλωσεν αὐτὸν τὸ περιεστὼς τῶν στρατιωτῶν τεῖχος· ἐνενόει γὰρ τὸν ἀγγελικὸν τοῦ Κυρίου στρατὸν, καὶ τὸν ἀόρατον ὡς ὁρῶν ἠγωνίασε· καὶ φησὶ τῷ ἐλθόντι, μᾶλλον δὲ δι' ἐκείνου τῷ ἀποστείλαντι ἀποκρινάμενος· « Ἡμάρτηκα τῷ Κυρίῳ » (3). Βλέπεις τοῦ βασιλέως ταπεινοφροσύνην, βλέπεις ἐξομολόγησιν; Μὴ γὰρ ἦν ἐλεγχθεὶς ὑπό τινος; μὴ πολλοὶ συνήδεισαν τῷ πράγματι; Ὀξέως ἐπράχθη τὸ πρᾶγμα, καὶ ὁ προφήτης εὐθὺς παρῆν κατήγορος, καὶ ὁ πταίσας ὁμολογεῖ τὸ κακόν· καὶ ἐπειδὴ εὐγνωμόνως ὡμολόγησεν, ὀξυτάτην ἔσχε τὴν ἰατρείαν. Ὁ γὰρ ἀπειλήσας προφήτης Νάθαν, φησὶν εὐθέως· « Καὶ Κύριος παρεβίβασε τὴν ἁμαρ- » τίαν σου » (4). Βλέπεις ὀξυτάτην Θεοῦ φιλανθρώπου μεταβολήν· « Πλὴν, φησὶ, παροξύνων παρώξυνας τοὺς ἐχθροὺς Κυρίου » (5). Πολλοὺς μὲν διὰ τὴν δικαιοσύνην εἶχες ἐχθροὺς, ἀλλ' ἐρρύσει σε ἡ σωφροσύνη· προδοὺς δὲ τὸ μέγιστον ὅπλον, ἑτοίμους ἑστῶτας ἔχεις κατὰ σοῦ τοὺς ἐχθροὺς ἐπαναστάντας. Ὁ μὲν οὖν προφήτης οὕτως αὐτὸν παρεμυθήσατο. Ὁ δὲ μακάριος Δαβὶδ, εἰ καὶ τὰ μάλιστα ἤκουσεν, ὅτι *Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου*, οὐκ ἀπέστη τῆς μετανοίας ὁ βασιλεύς· ἀλλὰ περιεβάλλετο μὲν σάκκον ἀντὶ πορφύρας, ἀντὶ δὲ χρυσοκολλήτων θρόνων ἐπὶ σποδοῦ καὶ γῆς ὁ βασιλεὺς ἐκαθέζετο· καὶ οὐκ ἐπὶ σποδοῦ μόνον ἐκάθητο, ἀλλὰ καὶ σποδὸν εἶχε τὴν βρῶσιν, καθὼς καὶ αὐτός φησιν· « Ὅτι σποδὸν « ὡσεὶ ἄρτον ἔφαγον » (6). Ἐξέτηξε δάκρυσι τὸν ἐπιθυμητὴν ὀφθαλ-

(1) Β'. Βασιλ. ΙΑ', 2.
(2) Αὐτόθ. ΙΒ'. 1 κ' ἑπόμ.
(3) Αὐτόθ. 13.
(4) Αὐτόθι. 13.
(5) Β', Βασιλ. ΙΒ', 14.
(6) Ψαλμ. ΡΑ', 10.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μόν· « Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, λέγων, ἐν δά-« κρυσί μου τὴν στρωμνήν μου βρέξω » (1). Ἀρχόντων παρακαλούν-των φαγεῖν ἄρτον, οὐκ ἐπείθετο· εἰς ἑβδόμην ὁλόκληρον ἡμέραν παρέ-τεινε τὴν νηστείαν (2). Εἰ βασιλεὺς οὕτως ἐξωμολογεῖτο, σὺ ὁ ἰδιώτης οὐκ ὀφείλεις ἐξομολογήσασθαι; Καὶ μετὰ τὴν τοῦ Ἀβεσ-σαλὼμ ἐπανάστασιν, πολλῶν οὐσῶν ὁδῶν αὐτῷ τῆς φυγῆς, διὰ τοῦ ὄρους τῶν Ἐλαιῶν φεύγειν εἵλετο (3), μονονουχὶ τῇ διανοίᾳ τὸν ἀναβησόμενον εἰς τοὺς οὐρανοὺς ἐκεῖθεν λυτρωτὴν (4) ἐπικαλού-μενος. Καὶ καταρωμένου πικρῶς αὐτὸν τοῦ Σεμεὶ λέγει· « Ἄφετε αὐτόν » (5). Ἤδει γὰρ, ὅτι τῷ ἀφιέντι ἀφεθήσεται.

ή. Βλέπεις ὅτι καλὸν τὸ ἐξομολογήσασθαι; Βλέπεις ὅτι τοῖς μετανοοῦσίν ἐστι σωτηρία; Καὶ Σολομὼν ἐκπέπτωκεν (6), ἀλλὰ τί φησιν; « Ὕστερον ἐγὼ μετενόησα » (7). Καὶ ὁ Ἀχαάβ, ὁ τῆς Σαμαρείας βασιλεὺς, γέγονε παρανομώτατος εἰδωλολάτρης, ἐξαίσιος, ὁ προφητοκτόνος, ὁ ἀλλότριος τῆς εὐσεβείας, ἀγρῶν ἐπιθυμητὴς καὶ ἀμπελώνων ἀλλοτρίων (8)· ἀλλ' ὅτε τὸν Ναβουθαὶ διὰ τῆς Ἰεζάβελ ἀπέκτεινεν, ἐλθόντος Ἠλιοὺ τοῦ προφήτου καὶ μόνον ἐ-παπειλήσαντος, διέῤῥηξε τὰ ἱμάτια (9), καὶ περιεβάλλετο σάκκον. Καὶ τί φησιν ὁ φιλάνθρωπος Θεὸς πρὸς τὸν Ἠλίαν; « Ἑώρακας πῶς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου; » (10). μονονουχὶ πείθων τὸ διάπυρον τοῦ προφήτου, συγκαταβῆναι τῷ μετανοοῦντι. « Οὐκ ἐπάξω » γὰρ, φησὶ, *τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ* ». Καὶ ὅμως, μέλλοντος αὐτοῦ μετὰ τὴν συγχώρησιν οὐκ ἀφίστασθαι τῆς πονη-ρίας, συγχωρεῖ ὁ συγχωρῶν· οὐκ ἀγνοῶν τὸ μέλλον, ἀλλὰ τῷ πα-ρόντι τῆς μετανοίας καιρῷ καταλλήλων τὴν συγχώρησιν δωρούμε-

(1) Ψαλμ. ϛ', 7.
(2) Β'. Βασιλ. ΙΒ', 16 — 18.
(3) Β'. Βασιλ. ΙΕ', 23.
(4) ΒΤ, ἀνάῤῥωρ. — Μ, τὸν λυτρωτήν.
(5) Β'. Βασιλ. Ιϛ', 10.
(6) Γ'. Βασιλ. ΙΑ', 1 κ' ἑπόμ.
(7) Παροιμ. ΚΔ', 32.
(8) Γ'. Βασιλ. ΚΑ', 2.
(9) ΒΤ. — ἀντὶ τοῦ ἐν τῷ Μ, περιεβάλλετο σάκκον, καὶ διέῤῥηξε τὰ ἱμάτια.
(10) Γ'. Βασιλ. ΚΑ'. 29.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νος. Δικαίου γὰρ δικαστοῦ ἐστι, πρὸς ἕκαστον τῶν γεγενημένων προσφόρως ἀποκρίνασθαι.

θ'. Πάλιν Ἱεροβοὰμ εἱστήκει θύων τοῖς εἰδώλοις ἐπὶ τῷ βωμῷ (1). Ξηρὰ γέγονεν αὐτοῦ ἡ χεὶρ, ἐπειδὴ ἐκέλευσε συλληφθῆναι τὸν ἐλέγχοντα προφήτην. Ἀλλὰ τῇ πείρᾳ γνοὺς τὴν ἐνέργειαν τοῦ παρόντος, λέγει· « Δεήθητι τοῦ προσώπου Κυρίου τοῦ Θεοῦ σου » (2)· καὶ διὰ τοῦτο τὸ ῥῆμα πάλιν ἀπεκατέστη ἡ χεὶρ αὐτοῦ. Εἰ τὸν Ἱεροβοὰμ ἰάσατο ὁ προφήτης, σὲ Χριστὸς ἆρα οὐ δύναται τῶν ἁμαρτιῶν ἰασάμενος ἐλευθερῶσαι; Γέγονε καὶ Μανασσῆς παρανομώτατος (3), ὁ τὸν Ἡσαΐαν πρίσας, καὶ ἐν παντοίαις εἰδωλολατρείαις μιανθείς, καὶ πλήσας αἱμάτων ἀθώων τὴν Ἱερουσαλήμ· ἀλλ' αἰχμάλωτος ἀχθεὶς εἰς Βαβυλῶνα, τῇ πείρᾳ τῶν κακῶν εἰς μετανοίας ἰατρείαν συνεχρήσατο. Λέγει γὰρ ἡ Γραφὴ, ὅτι « Ἐτα- » πεινώθη Μανασσῆς ἐνώπιον Κυρίου, καὶ προσηύξατο, καὶ εἰσή- » κουσε Κύριος, καὶ ἐπανήγαγεν αὐτὸν εἰς τὴν βασιλείαν αὐ- » τοῦ » (4). Εἰ ὁ τὸν προφήτην πρίσας, διὰ μετανοίας ἐσώθη· σὺ δὲ, μηδὲν τοσοῦτον ἐργασάμενος, οὐ σωθήσῃ;

ι'. Βλέπε μὴ τῇ δυνάμει τῆς μετανοίας μάτην ἀπιστήσῃς. Βούλει γνῶναι πόσον ἰσχύει μετάνοια; Θέλεις γνῶναι τὸ καρτερὸν τῆς σωτηρίας ὅπλον, καὶ μαθεῖν πόσον ἐξομολόγησις ἰσχύει; « Ἐ- » κατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἐχθρῶν Ἐζεκίας δι' ἐξομολο- » γήσεως ἐτρέψατο » (5). Μέγα μὲν ἀληθῶς καὶ τοῦτο, ἀλλ' ἔτι μικρὸν πρὸς τὸ ῥηθησόμενον. Ἀπόφασιν θείαν ἐξενεχθεῖσαν ἀνεκαλέσατο (6) διὰ μετανοίας ὁ αὐτός. Νοσήσαντι γὰρ αὐτῷ φησὶν ὁ Ἡσαΐας· « Τάξαι περὶ τοῦ οἴκου σου, ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ ζή- » σῃ » (7). Ποία λοιπὸν προσδοκία; ποία ἐλπὶς εἰς σωτηρίαν, τοῦ Προφήτου λέγοντος « ἀποθνήσκεις γὰρ σύ »; Ἀλλ' οὐκ ἀπέστη

(1) Γ'. Βασιλ. ΙΓ', 1.
(2) Αὐτόθ. 6.
(3) Δ'. Βασιλ. ΚΑ', 2 κ' ἑπόμ.
(4) Β'. Παραλειπ. ΑΓ', 12—13.
(5) Δ'. Βασιλ. ΙΘ', 35.
(6) ΒΤ. — Μ, ἐξεκαλέσατο.
(7) Δ'. Βασιλ. Κ', 1· καὶ Ἡσαΐου ΑΗ', 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς μετανοίας Ἐζεκίας· μεμνημένος δὲ τοῦ γεγραμμένου· « Ὅταν » ἐπιστραφεὶς στενάξῃ, τότε σωθήσῃ » (1), ἀπεστράφη εἰς τὸν τοῖχον, καὶ τείνας τὴν διάνοιαν ἀπὸ τῆς στρωμνῆς εἰς τὸν οὐρανὸν (οὐ γὰρ ἐμποδίζει παχύτης τῶν τοίχων προσευχαῖς μετ' εὐλαβείας ἀναπεμπομέναις), φησί· « Κύριε, μνήσθητί μου » (2)· αὐταρκες γὰρ εἰς ἰατρείαν τὸ σὲ μνησθῆναί μου. Οὐχ ὑποβέβληται χρόνοις, ἀλλ' αὐτὸς εἶ τῆς ζωῆς ὁ νομοθέτης. Οὐ γὰρ κατὰ γένεσιν, καὶ πλοκὴν ἄστρων, ὥς τινες ματαιολογοῦσι [ζῶμεν], ἀλλ' αὐτὸς καὶ τοῦ ζῆν, καὶ ὅτε δεῖ ζῆν, ὡς βούλει, νομοθέτης τυγχάνεις. Καὶ ᾧ τὸ ζῆν ἀνέλπιστον διὰ τὴν προφατικὴν ἀπόφασιν, τούτῳ πεντεκαιδεκαετὴς προσετίθετο χρόνος, ἡλίου παλίνδρομον, διὰ τὸ σημεῖον, ποιησαμένου τὴν πορείαν. Εἶτα, διὰ μὲν τὸν Ἐζεκίαν ἥλιος ὑπέστρεψε (3), διὰ δὲ τὸν Χριστὸν ἥλιος ἐξέλιπεν· οὐκ ἀναποδίσας, ἀλλ' ἐκλείπων, καὶ διὰ τοῦτο δείξας τὴν διαφορὰν ἑκατέρων, Ἐζεκίου, λέγω, καὶ Ἰησοῦ. Καὶ ὁ μὲν ἴσχυσεν ἀπόφασιν Θεοῦ λῦσαι· Ἰησοῦς δὲ οὐ χαρίζεται ἄφεσιν ἁμαρτιῶν; Ἀπόστρεψον καὶ στέναξον σεαυτὸν, ἀπόκλεισον τὴν θύραν, καὶ πρόσευξαι, ἵνα σοι ἀφεθῇ, ἵνα σου περιέλῃ τὰς φλόγας τὰς καυστικάς. Ἰσχύει γὰρ ἐξομολόγησις σβέσαι καὶ πῦρ, ἰσχύει καὶ λέοντας ἡμερῶσαι.

ιά. Εἰ δὲ ἀπιστῇς, ἐννόησον τί συγκατέβη τοῖς περὶ τὸν Ἀνανίαν· ποίας ἐξέχεαν πηγάς; πόσοι ξέσται ὕδατος τὴν ἐπὶ τεσσαράκοντα ἐννέα πήχεις [ἀνερχομένην] φλόγα σβέσαι ἠδύναντο; Ἀλλ' ὅπου ὀλίγον ὑπερανέβη ἡ φλόξ, ἐκεῖ ποταμηδὸν ἐξεχύθη ἡ πίστις, καὶ ἐκεῖ ἔλεγον τὸ ἀντιφάρμακον τῶν κακῶν· « Δίκαιος εἶ, Κύριε, ἐπὶ » πᾶσιν οἷς ἐποίησας ἡμῖν· ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν » (4). Καὶ ἡ μετάνοια ἔλυσε τὰς φλόγας. Εἰ ἀπιστεῖς ὅτι δύναται σβέσαι τὸ τῆς γεέννης πῦρ ἡ μετάνοια, ἐκ τῶν περὶ τὸν Ἀνανίαν γεγενημένων μάθε. Ἀλλ' ἐρεῖ τις τῶν ὀξέως ἀκροωμένων· Ἐκείνους;

---

(1) Ἰώδ. ΚΒ', 23—30.

(2) Δ'. Βασιλ. Κ', 3· καὶ Ἡσ. ΛΗ', 3.

(3) ΒΤ.—Μ, ἐπέστρεψε.

(4) Δανιὴλ Γ', 27· καὶ Θ', 5. — Βλ. καὶ ὕμνον τῶν τριῶν Παίδων, στίχ. 27 καὶ 29.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ Θεὸς δικαίως (1) ἐῤῥύσατο τότε· διὰ τὸ μὴ θελῆσαι εἰδωλολατρῆσαι, ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὴν δύναμιν. Ἐπειδὴ δὲ τοῦτο παρέστη, ἔρχομαι λοιπὸν ἐῤ ἕτερον τύπον μετανοίας. Τίνα ὑπόνοιαν ἔχεις περὶ Ναβουχοδονόσορ; Οὐκ ἤκουσας ἀπὸ τῶν Γραφῶν, ὅτι αἱμοβόρος, ἀγριώδης, λεοντώδη τὴν προαίρεσιν ἔχων; Οὐκ ἤκουσας ὅτι τὰ ὀστέα τῶν βασιλέων ἐκ τῶν τάφων (2) ἐξήνεγκεν εἰς τὸ φῶς; Οὐκ ἤκουσας ὅτι τὸν λαὸν ἐξημαλώτευσεν; Οὐκ ἤκουσας ὅτι τοὺς ὀφθαλμοὺς τοῦ βασιλέως ἐξετύφλωσε, προϊδόντος τὰ τέκνα ἐσφαγμένα; Οὐκ ἤκουσας ὅτι τὰ Χερουβὶμ συνέτριψεν; οὐ λέγω τὰ νοητὰ, ἄπαγε, μὴ τοῦτο ὑπολάβῃς, ἄνθρωπε, ἀλλὰ τὰ γλυπτὰ, ἀλλὰ τὸ ἱλαστήριον, οὗ ἀναμέσον ἐλάλει ὁ Θεὸς φωνῇ. Τὸ καταπέτασμα τῆς ἁγιωσύνης κατεπάτησε· τὸ θυμιατήριον λαβὼν, ἐπὶ εἰδωλεῖον ἀπήνεγκε· πάντα τὰ προσφερόμενα περιεῖλε· τὸν ναὸν ἐκ θεμελίων ἐνεπύρισε. Πόσων τιμωριῶν ἄξιος ἦν, ἐπὶ τῷ ἀνελεῖν βασιλέας, ἐπὶ τῷ ἐμπρῆσαι τὰ ἅγια, ἐπὶ τῷ αἰχμαλωτῆσαι τὸν λαὸν, ἐπὶ τῷ τὰ ἱερὰ σκεύη ἔνδον εἰδώλων θέσθαι; Ἆρ' οὖν οὐκ ἦν θανάτων μυρίων ἄξιος; Εἶδες τὸ μέγεθος τῶν κακῶν; Ἐλθὲ λοιπὸν ἐπὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ἀπεθηριώθη, ἐν τῇ ἐρήμῳ διέτριβεν, ἐμαστιγοῦτο, ἵνα σωθῇ. Εἶχεν ὄνυχας ὡς λέων· ἁρπακτικὸς γὰρ ἦν τῶν ἁγίων. Εἶχε τρίχας λεόντων· λέων γὰρ ἦν ἁρπάζων καὶ ὠρυόμενος· « Χόρτον ὡς βοῦς ἔφθιε » (3)· κτῆνος γὰρ ἦν, οὐκ εἰδὼς τὸν δεδωκότα τὴν βασιλείαν· « Ἐβάφη τὸ » σῶμα αὐτοῦ ἀπὸ τῆς δρόσου » (4)· ἐπειδὴ προϊδὼν κατασβεσθὲν ὑπὸ τῆς δρόσου τὸ πῦρ, οὐκ ἐπίστευσε. Καὶ τί γίνεται; « Μετὰ ταῦ- » τα, φησὶν, ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐ- » ρανὸν ἀνέλαβον, καὶ τὸν Ὕψιστον εὐλόγησα, καὶ τῷ ζῶντι εἰς » τοὺς αἰῶνας ἤνεσα, καὶ ἐδόξασα » (5). Ὅτε τοίνυν ἐπέγνω τὸν Ὕψιστον, καὶ τὰς εὐχαριστηρίους φωνὰς ἀνέπεμψε τῷ Θεῷ, καὶ ἦλθεν εἰς μεταμέλειαν ὧν διεπράξατο, καὶ ἐπέγνω τὴν οἰκείαν ἀσθένειαν, τότε ὁ Θεὸς ἀποδίδωσιν [αὐτῷ] τὴν τιμὴν τῆς βασιλείας.

(1) Ἐκ τοῦ BT.—M, δικαίους.
(2) Αὐτ. — M, τὰ ὀστέα τῶν τάφων τῶν βασιλέων.
(3) Δαν. Δ', 30.
(4) Αὐτόθ.
(5) Δαν. Δ', 31.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιθ΄. Τί οὖν; τῷ μὲν Ναβουχοδονόσορ τοιαῦτα διαπραξαμένῳ, καὶ ἐξομολογησαμένῳ, δέδωκε τὴν συγχώρησιν καὶ τὴν βασιλείαν· σοὶ δὲ μετανοοῦντι, οὐ δίδωσι τὴν ἄφεσιν τῶν ἁμαρτημάτων, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, ἐὰν ἐπαξίως πολιτεύσῃ; Φιλάνθρωπος ὁ Κύριος καὶ ταχὺς εἰς συγχώρησιν, βραδὺς δὲ εἰς τιμωρίαν. Μηδεὶς οὖν ἀπελπίσῃ (1) τῆς ἑαυτοῦ σωτηρίας. Πέτρος ὁ κορυφαιότατος καὶ πρωτοστάτης τῶν Ἀποστόλων, ἐπὶ παιδισκαρίου ἠρνήσατο τρὶς τὸν Κύριον· ἀλλὰ μεταμεληθείς, « Ἔκλαυσε πικρῶς » (2). Τὸ δὲ κλαῦσαι, τὴν μετάνοιαν τὴν ἐγκάρδιον παρίστησι. Καὶ διὰ τοῦτο, οὐ μόνον ἔλαβε τὴν ἄφεσιν ἐπὶ τῇ ἀρνήσει, ἀλλὰ γὰρ καὶ τὸ Ἀποστολικὸν ἀξίωμα ἔσχεν ἀναφαίρετον.

Ἔχοντες οὖν, ἀδελφοί, πολλοὺς τύπους τῶν ἁμαρτησάντων, καὶ μετανοησάντων, καὶ σωθέντων, προθύμως καὶ αὐτοὶ ἐξομολογήσασθε τῷ Κυρίῳ· ἵνα καὶ τὴν συγχώρησιν λάβητε τῶν προγεγενημένων ἁμαρτημάτων, καὶ τῆς ἐπουρανίου δωρεᾶς (3) καταξιωθῆτε, καὶ τὴν ἐπουράνιον κληρονομήσητε βασιλείαν (4) μετὰ πάντων τῶν ἁγίων· ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Γ΄. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, περὶ Βαπτίσματος. Καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ῥωμαίους· « Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος» (5).

« Εὐφραίνεσθε οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ» (6) διὰ τοὺς μέλλοντας ὑσσώπῳ ῥαντίζεσθαι, καὶ καθαρίζεσθαι ὑσσώπῳ τῷ νοη-

(1) Ἐκ τοῦ ΒΤ.—Μ, ἀπιστήσῃ.
(2) Ματθ. ΚΣ΄ 69—75.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, βασιλείας.
(4) Αὐτόθ. — Μ, δωρεάν.
(5) Πρὸς Ῥωμ. ς΄, 3, 4.
(6) Ψαλμ. ϟΕ΄, 11· καὶ Ἡσ. ΜΘ΄, 13.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ (1), τῇ δυνάμει τοῦ κατὰ τὸ πάθος ὑσσώπῳ καὶ καλάμῳ ποτισθέντος (2). Καὶ αἱ μὲν οὐράνιαι δυνάμεις χαιρέτωσαν· αἱ δὲ μέλλουσαι ψυχαὶ τῷ νοητῷ νυμφίῳ συνάπτεσθαι, παρασκευαζέσθωσαν· « Φωνὴ γὰρ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου » (3). Τὸ γὰρ πρᾶγμα οὐ μικρὸν, οὐδὲ [σωμάτων] συνήθης ἐστὶν ἄκριτος συμπλοκή· ἀλλὰ Πνεύματος τοῦ τὰ πάντα ἐρευνῶντος ἡ κατὰ πίστιν ἐκλογή. Αἱ μὲν γὰρ κατὰ (4) τὸν κόσμον ἐπιγαμίαι καὶ συνθῆκαι, οὐ πάντως γίνονται κατὰ κρίσιν· ἀλλ' ὅπου δ' ἂν ἡ (5) πλοῦτος, ἢ κάλλος, ἐκεῖ ταχὺ ἐπένευσεν ὁ νυμφίος. Ὧδε δὲ, οὐχ ὅπου σωμάτων ἐστὶ κάλλος, ἀλλ' ὅπου ψυχῆς ἀκατάγνωστος συνείδησις· ὧδε οὐχ ὁ μαμωνᾶς ὁ κατεγνωσμένος, ἀλλ' ὁ τῆς ψυχῆς ἐν εὐλαβείᾳ πλοῦτος. Πείσθητε τοίνυν, ὦ τέκνα δικαιοσύνης, Ἰωάννῃ παρακαλοῦντι, καὶ λέγοντι· « Εὐθύνατε τὴν ὁδὸν Κυρίου » (6), ἐξάρατε πάντα τὰ σκῶλα καὶ τὰ σκάνδαλα, ἵνα εὐθυπορήσητε πρὸς αἰώνιον ζωήν. Ἑτοιμάσατε τῆς ψυχῆς τὰ ἀγγεῖα καθαρὰ διὰ τῆς ἀνυποκρίτου πίστεως, πρὸς ὑποδοχὴν τοῦ ἁγίου Πνεύματος. Ἄρξασθε πλύνειν τὰς στολὰς ὑμῶν διὰ μετανοίας, ἵνα εἰς τὸν νυμφῶνα καθαροὶ κληθέντες εὑρεθῆτε. Ὁ μὲν γὰρ νυμφίος καλεῖ πάντας ἁπλῶς· ἐπειδὴ δαψιλὴς ἡ χάρις, καὶ μεγαλοφώνων κηρύκων φωνὴ συνάγει τοὺς πάντας· διακρίνει δὲ λοιπὸν ὁ αὐτὸς τοὺς ἔνδον εἰσελθόντας, εἰς τὸν τυπικὸν γάμον. Μὴ γένοιτό τινα τῶν ὀνοματογραφηθέντων νῦν ἀκοῦσαι· « Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων » ἔνδυμα γάμου ; » (7). Εἴη δὲ ἡμᾶς πάντας ἀκοῦσαι· « Εὖ, δοῦλε » ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε κα» ταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου » (8)· νῦν γὰρ τέως ἔξω τῆς θύρας ἕστηκας. Γένοιτο δὲ πάντας ἡμᾶς εἰπεῖν·

(1) Ψαλμ. Ν', 9.
(2) Ἰωάν. ΙΘ', 29.
(3) Ἰωάν. Α', 23· καὶ Ἡσαΐου Μ', 3.
(4) ἐκ τοῦ ΒΤ.—Μ, εἰς.
(5) Γρ. ἴσ. ἤ.
(6) Ἰωάν. Α', 23.
(7) Ματθ. ΚΒ', 12.
(8) Ματθ. ΚΕ', 21.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» Εἰσήνεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ » (1). « Ἀγαλ-
» λιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σω-
» τηρίου καὶ χιτῶνα εὐφροσύνης· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν,
» καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ » (2), ἵνα εὑρεθῇ πάντων
ὑμῶν ἡ ψυχὴ « Μὴ ἔχουσα σπῖλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιού-
» των » (3). Οὐ λέγω πρὸ τοῦ λαβεῖν τὴν χάριν· πῶς γὰρ, οἵγε
ἐπὶ ἀφέσει ἁμαρτιῶν ἐκλήθητε; ἀλλ' ἵνα διδομένης τῆς χάριτος,
ἀκατάγνωστος ἡ συνείδησις εὑρεθεῖσα, συνδράμῃ τῇ χάριτι.

Ϛ'. Μέγα τὸ πρᾶγμα ἀληθῶς, ἀδελφοὶ, καὶ μετὰ προσοχῆς αὐτῷ
προσέλθετε. Μέλλει ἕκαστος ὑμῶν παρίστασθαι τῷ Θεῷ, ἐνώπιον μυ-
ριάδων στρατιῶν ἀγγέλων. Μέλλει τὸ Πνεῦμα τὸ ἅγιον σφραγίζειν ὑ-
μῶν τὰς ψυχάς· μέλλετε στρατολογεῖσθαι τῷ μεγάλῳ βασιλεῖ. Οὐ-
κοῦν ἑτοιμάσασθε, παρασκευάσασθε. Οὐχ ἱματίων λαμπροτάτας ἐν-
δυσάμενοι στολὰς, ἀλλὰ ψυχῆς εὐσυνείδητον εὐλάβειαν. Μὴ ὡς ὕ-
δατι λιτῷ πρόσελθε τῷ λουτρῷ· ἀλλὰ τῇ μετὰ τοῦ ὕδατος διδο-
μένῃ πνευματικῇ χάριτι. Ὥσπερ γὰρ τὰ τοῖς βωμοῖς προσφερόμε-
να, τῇ φύσει ὄντα λιτὰ, μεμολυσμένα γίνεται τῇ ἐπικλήσει τῶν
εἰδώλων· οὕτως ἀπεναντίας τὸ λιτὸν ὕδωρ, Πνεύματος ἁγίου, καὶ
Χριστοῦ, [καὶ Πατρὸς] (4) τὴν ἐπίκλησιν λαβὸν, δύναμιν ἁγιότητος
ἐπικτᾶται. Ἐπειδὴ γὰρ διπλοῦς ὁ ἄνθρωπος, ἐκ ψυχῆς καὶ σώματος
συγκείμενος, διπλοῦν καὶ τὸ καθάρσιον· τὸ μὲν ἀσώματον τῷ ἀσω-
μάτῳ· τὸ δὲ σωματικὸν τῷ σώματι. Καὶ τὸ μὲν ὕδωρ καθαίρει τὸ
σῶμα, τὸ δὲ Πνεῦμα σφραγίζει τὴν ψυχήν· ἵνα ἐῤῥαντισμένοι τὴν
καρδίαν, καὶ λελουσμένοι τὸ σῶμα ὕδατι καθαρῷ, προσέλθωμεν τῷ
Θεῷ. Μέλλων τοίνυν εἰς τὸ ὕδωρ καταβαίνειν, μὴ τῷ ψιλῷ τοῦ ὕδα-
τος πρόσεχε· ἀλλὰ τῇ τοῦ ἁγίου Πνεύματος ἐνεργείᾳ, τὴν σωτηρίαν
ἐκδέχου· ἄνευ γὰρ ἀμφοτέρων ἀδύνατόν σε τελειωθῆναι. Οὐκ ἐγώ εἰμι
ὁ τοῦτο λέγων, ἀλλ' ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ τοῦ πράγματος τὴν ἐ-
ξουσίαν ἔχων· φησὶ [γάρ]· « Ἐὰν μή τις γεννηθῇ ἄνωθεν », καὶ ἐπιφέ-

(1) Ἆσμα Ἀσμάτ. Α', 4.
(2) Ἡσ. ΞΑ', 10.
(3) Πρὸς Ἐφεσ. Ε, 27.
(4) Ἐκ τοῦ ΒΤ. — Μ, πρός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρει λέγων, «ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βα-» σιλείαν τοῦ Θεοῦ» (1). Οὐδὲ [ὁ] τῷ ὕδατι βαπτιζόμενος, μὴ καταξιωθεὶς δὲ τοῦ Πνεύματος, τελείαν ἔχει τὴν χάριν· οὐδὲ κἂν ἐνάρετός τις γένηται τοῖς ἔργοις, μὴ λάβῃ δὲ τὴν δι' ὕδατος σφραγῖδα, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Τολμηρὸς ὁ λόγος, ἀλλ' οὐκ ἐμός· Ἰησοῦς γὰρ ὁ ἀποφηνάμενος. Καί μοι λάβε τῶν λόγων τὴν ἀπόδειξιν ἀπὸ τῆς θείας Γραφῆς. Κορνήλιος ἦν ἀνὴρ δίκαιος, ἀγγέλων ὀπτασίας (2) καταξιωθείς, στήλην ἀγαθὴν ἐν οὐρανοῖς παρὰ τῷ Θεῷ τὰς ἑαυτοῦ προσευχὰς καὶ ἐλεημοσύνας ἀναστήσας (3). Ἦλθεν ὁ Πέτρος, καὶ τὸ Πνεῦμα ἐπεχύθη τοῖς πιστεύουσι, καὶ ἐλάλησαν γλώσσαις ἑτέραις, καὶ προερήτευσαν· καὶ μετὰ τὴν τοῦ Πνεύματος χάριν ἡ Γραφή φησιν, ὅτι «Προσέταξεν αὐτοὺς ὁ Πέτρος » ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθῆναι» (4), ἵνα, τῆς ψυχῆς διὰ τῆς πίστεως ἀναγεννηθείσης, μεταλάβῃ καὶ τὸ σῶμα, διὰ τοῦ ὕδατος, τῆς χάριτος. Εἰ δέ τις πόθεν γνῶναι, διὰ τί δι' ὕδατος, καὶ μὴ δι' ἑτέρου τῶν στοιχείων ἡ χάρις δίδοται, τὰς θείας Γραφὰς ἀναλαβὼν εὑρήσει. Μέγα γάρ τι τὸ ὕδωρ, καὶ τῶν τεσσάρων τοῦ κόσμου στοιχείων τῶν φαινομένων τὸ κάλλιστον. Ἀγγέλων ἐνδιαίτημα ὁ οὐρανός, ἀλλ' ἐξ ὑδάτων οὐρανοί. Γῆ τὸ τῶν ἀνθρώπων χωρίον, ἀλλ' ἐξ ὑδάτων ἡ γῆ. Καὶ πρὸ πάσης τῶν γενητῶν τῆς ἑξαημέρου κατασκευῆς, « Πνεῦμα τοῦ Θεοῦ ἐπεφέρετο ἐπάνω » τοῦ ὕδατος» (5). Ἀρχὴ τοῦ κόσμου τὸ ὕδωρ· καὶ ἀρχὴ τῶν Εὐαγγελίων ὁ Ἰορδάνης. Ἐλευθερία τῷ (6) Ἰσραὴλ ἀπὸ τοῦ Φαραὼ διὰ τῆς θαλάσσης· καὶ ἐλευθερία ἁμαρτιῶν τῷ κόσμῳ (7) διὰ τοῦ λουτροῦ τοῦ ὕδατος ἐν ῥήματι Θεοῦ. Ὅπου διαθήκη πρός τινας, ἐκεῖ καὶ ὕδωρ. Μετὰ τὸν κατακλυσμὸν ἐτέθη διαθήκη πρὸς Νῶε (8)·

(1) Ἰωάν. Γ', 5.
(2) Ἐκ τοῦ ΒΤ. — Μ, ὀπτασίαις.
(3) Αὐτόθεν. — Μ, παραστήσας.
(4) Πράξ. Ἀποσ. Ι', 48.
(5) Γενέσ. Α', 2.
(6) Ἐκ τοῦ ΒΤ. — Μ, τοῦ.
(7) Αὐτόθ. — Μ, τοῦ κόσμου.
(8) Γένεσ. Θ', 9.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διαθήκη τῷ Ἰσραὴλ, ἐξ ὄρους Σινᾶ· ἀλλὰ καὶ « μετὰ ὕδατος, καὶ »ἐρίου κοκκίνου, καὶ ὑσσώπου» (1). Ἠλίας ἀναλαμβάνεται, ἀλλ' οὐ χωρὶς ὕδατος· πρῶτον γὰρ διαβαίνει τὸν Ἰορδάνην, εἶτα ἁρπάζεται τὸν οὐρανόν (2). Πρῶτον ὁ Ἀρχιερεὺς λούεται, εἶτα θυμιᾷ (3)· πρῶτον γὰρ Ἀαρὼν ἐλούσατο, εἶτα γέγονεν Ἀρχιερεύς. Πῶς γὰρ ἐνεχώρει (4) τῶν ἄλλων ὑπερεύχεσθαι, τὸν δι' ὕδατος οὔπω κεκαθαρισμένον; Καὶ σύμβολον ἔκειτο τοῦ βαπτίσματος λουτὴρ, ἔνδον ἀποκείμενος τῆς Σκηνῆς (5).

γ΄. Παλαιᾶς τὸ τέλος, καὶ τῆς καινῆς Διαθήκης ἀρχὴ τὸ βάπτισμα. Ἰωάννης γὰρ ἦν ἀρχηγὸς, « Οὗ μείζων ἐν γεννητοῖς » γυναικῶν οὐδὲ εἷς » (6)· τέλος μὲν προφητῶν· « Πάντες [γὰρ] » οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου » (7)· τῶν δὲ εὐαγγελικῶν πραγμάτων ἀπαρχή· « Ἀρχὴ γὰρ τοῦ Εὐαγγελίου Ἰη» σοῦ Χριστοῦ, » καὶ τὰ ἑξῆς· « Ἐγένετο Ἰωάννης [ἐν τῇ ἐρήμῳ] » βαπτίζων » (8). Κἂν Ἠλίαν τὸν Θεσβίτην εἴποις [τὸν] ἀναληφθέντα, ἀλλ' οὐκ ἔστι μείζων Ἰωάννου. Μετετέθη ὁ Ἐνὼχ, ἀλλ' οὐκ ἔστι μείζων Ἰωάννου. Μωσῆς μέγιστος νομοθέτης, καὶ πάντες [θαυμαστοὶ] οἱ προφῆται· ἀλλ' οὐ μείζονες Ἰωάννου. Οὐκ ἐγὼ προφήτας προφήταις τολμῶ συγκρίνειν· ἀλλ' ὁ Δεσπότης αὐτῶν τε καὶ ἡμῶν, ὁ Κύριος Ἰησοῦς ἀπεφήνατο· « Μείζων ἐν γεννη» τοῖς γυναικῶν Ἰωάννου οὐκ ἐγήγερται » (9). Οὐκ ἐν γεννητοῖς παρθένων, ἀλλὰ *γυναικῶν*. Τῷ μεγάλῳ δούλῳ πρὸς τοὺς συνδούλους ἡ σύγκρισις· τῷ Υἱῷ δὲ πρὸς οἰκέτας, ἀσύγκριτος ἡ ὑπεροχὴ καὶ ἡ χάρις. Βλέπεις πηλίκον ἄνθρωπον ἀρχηγὸν ταύτης τῆς χάριτος [ὁ Θεὸς] εἵλετο; ἀκτήμονα καὶ φιλέρημον, οὐ μισάνθρωπον· ἀκρίδας ἐσθίοντα, καὶ πτεροφυήσαντα τὴν ψυχήν (10)· μέλιτος ἐμ-

(1) Πρὸς Ἑβρ. Θ΄, 19, 20.
(2) Δ΄. Βασιλ. Β΄, 8 καὶ 11.
(3) Ἐξόδ. ΚΘ΄, 4· καὶ Λευῖτ. Η΄, 6.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ἂν ἐχώρει.
(5) Ἐξόδ. Μ΄, 7, 30.
(6) Ματθ. ΙΑ΄, 11.
(7) Αὐτόθ. 13.
(8) Μάρκ. Α΄, 1, 4.
(9) Ματθ. ΙΑ΄, 11.
(10) Ἡσ. Μ΄, 31.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φορούμενον, καὶ μέλιτος ἡδύτερά τε καὶ ὠφελιμώτερα λαλοῦνται· ἔνδυμα περικείμενον ἀπὸ τριχῶν καμήλου, καὶ τῆς ἀσκήσεως τὸν τύπον ἐν ἑαυτῷ δεικνύντα· ὃς καὶ ὑπὸ Πνεύματος ἁγίου, ἔτι ἐν γαστρὶ μητρὸς κυοφορούμενος, ἡγιάσθη (1). Ἡγιάσθη καὶ Ἱερεμίας (2), ἀλλ' οὐκ ἐπροφήτευσεν ἐν γαστρί. Μόνος δὲ Ἰωάννης κυοφορούμενος, « ἐσκίρτησεν ἐν ἀγαλλιάσει » (3)· καὶ σαρκὸς ὀφθαλμοῖς μὴ βλέπων, τὸν δεσπότην ἐγνώριζε τῷ Πνεύματι. Ἐπειδὴ γὰρ μεγάλη τοῦ βαπτίσματος ἦν ἡ χάρις, ἐδεῖτο καὶ μεγάλου [τοῦ] προστάτου.

δ'. Οὗτος ἐβάπτιζεν ἐν τῷ Ἰορδάνῃ, « Καὶ ἐξεπορεύετο πρὸς » αὐτὸν πᾶσα ἡ Ἱεροσόλυμα » (4), βαπτισμάτων (5) ἀπαρχὰς ἀπολαύουσα· τὸ γὰρ ἁπάντων ἀγαθῶν ἄξιωμα ἐν Ἱεροσολύμοις. Ἀλλὰ γνῶτε, Ἱεροσολυμῖται, πῶς οἱ ἐξερχόμενοι « Ἐβαπτίζοντο ὑπ' αὐ » τοῦ, ἐξομολογούμενοι [φησὶ] τὰς ἁμαρτίας αὐτῶν » (6). Πρῶτον ἐδείκνυον τὰ τραύματα, εἶτα ἐπῆγεν ἐκεῖνος τὰ ἰατρεύματα, καὶ τοῖς πιστεύουσιν ἐδίδου λύτρωσιν αἰωνίου πυρός. Καὶ εἰ θέλεις αὐτὸ (7) τοῦτο πεισθῆναι, ὅτι λύτρωσίς ἐστι τὸ βάπτισμα Ἰωάννου πυρὸς ἀπειλῆς, ἄκουε λέγοντος αὐτοῦ· « Γεννήματα ἐχιδνῶν, τίς ὑπέ » δειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; » (8). Μὴ οὖν ἔσο λοιπὸν ἔχιδνα, ἀλλὰ [ἐχίδνης] γέννημα ποτὲ γενόμενος, ἀπόδυσαι, φησί, τῆς πρώτης ἁμαρτητικῆς ζωῆς τὴν ὑπόστασιν. Πᾶς γὰρ ὄφις εἰς στενὸν ἐνδύνας ἀποτίθεται τὸ γῆρας, καὶ τὴν παλαιότητα διὰ τῆς ἀποθλίψεως ἐκδυσάμενος, νεάζει λοιπὸν τῷ σώματι. Οὕτως εἴσελθέ, φησι, καὶ σὺ διὰ τῆς στενῆς καὶ τεθλιμμένης θύρας (9)· ἀποθλίψας

---

(1) Λουκ. Α', 15.
(2) Ἱερεμ. Α', 5.
(3) Λουκ. Α', 44.
(4) Ματθ. Γ', 5. καὶ Μάρκ. Α', 5.
(5) Ἀφεῖλον τὸν πρὸ τῆς λέξεως β α π τ ι σ μ ά τ ω ν σύνδεσμον κ α ί, τῷ ΒΤ. ἑπόμενος.
(6) Ματθ. Γ', 6. Μάρκ. Α', 5.
(7) Ἐκ τοῦ ΒΤ. ἀντὶ τοῦ ἐν τῷ Μ. α ὐ τ ό.
(8) Ματθ. Γ', 7.
(9) Αὐτόθ. Ζ', 13—14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἑαυτὸν διὰ τῆς νηστείας, ἐκβίασαί σου τὴν ἀπώλειαν (1). Ἀπόδυσαι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ (2), καὶ εἰπὲ τὸ ἐν Ἄσμασιν ἐκεῖνο· « Ἐξεδυσάμην τὸν χιτῶνά μου, » πῶς ἐνδύσομαι αὐτόν; » (3). Ἀλλ' ἐστί τις ἐν ὑμῖν ὑποκριτὴς, ἀνθρωπάρεσκος (4), καὶ τὸ μὲν εὐλαβὲς ὑποκρινόμενος, μὴ ἀπὸ καρδίας δὲ πιστεύων, Σίμωνος ἔχων τοῦ Μάγου τὴν ὑπόκρισιν, οὐχ ἵνα μεταλάβῃ τῆς χάριτος, ἀλλ' ἵνα πολυπραγμονήσῃ τὸ διδόμενον; ἀκουέτω καὶ οὗτος (5) παρὰ Ἰωάννου· « Ἤδη δὲ καὶ ἡ ἀξίνη » πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν » καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται » (6). Ἀδυσώπητος ὁ δικαστὴς, ἄρελε τὴν ὑπόκρισιν.

ε'. Τί [οὖν] δεῖ ποιεῖν; καὶ τίνες εἰσὶν οἱ καρποὶ τῆς μετανοίας; « Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι· » (ἀξιόπιστος ἦν ὁ διδάσκων, ἐπειδὴ καὶ πρῶτος ἐπετέλει τὸ διδασκόμενον. Οὐκ ἐδυσωπεῖτο (7) λέγειν, οὐ γὰρ ἐπεῖχεν ἡ συνείδησις κωλύουσα τὴν γλῶσσαν·) « Καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω » (8). Πνεύματος ἁγίου χάριτος ἀπολαῦσαι θέλεις, καὶ βρωμάτων αἰσθητῶν πένητας οὐκ ἀξιοῖς; τὰ μεγάλα ζητεῖς, καὶ μικρῶν οὐ μεταδίδως; Κἂν τελώνης, κἂν πόρνος ᾖς, ἔλπιζε τὴν σωτηρίαν. « Οἱ τελῶναι καὶ » αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ » (9). Καὶ μάρτυς ὁ Παῦλος λέγων· « Οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, » οὔτε οἱ καθεξῆς, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· καὶ ταῦτά » τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε» (10). Οὐκ εἶπε, τινές ἐστε, ἀλλὰ, ταῦτά τινες ἦτε. Ἡ ἐν τῇ ἀγνοίᾳ ἁμαρτία συγχωρεῖται· ἡ δὲ ἐπίμονος κακία καταδικάζεται.

ς'. Ἔχεις καύχημα τοῦ βαπτίσματος αὐτὸν τὸν Υἱὸν τοῦ Θεοῦ

(1) Παροιμ. Ις', 26.
(2) Πρὸς Κολοσ. Γ', 9.
(3) Ἆσμα Ἀσμάτ. Ε', 3.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ἀνθρωποπάρεσκος.
(5) Αὐτόθεν. — Μ, αὐτός.
(6) Ματθ. Γ', 10 καὶ Ζ', 19· καὶ Λουκ. Γ', 9.
(7) ΒΤ. ἀντὶ τοῦ ἐν τῷ Μ. ἐδυσώπει τό.
(8) Λουκ. Γ', 11.
(9) Ματθ. ΚΑ', 31.
(10) Α'. Πρὸς Κορινθ. ς', 9—11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν μονογενῆ· τί γάρ μοι λοιπόν ἐστι λέγειν περὶ ἀνθρώπου; Μέγας Ἰωάννης, ἀλλὰ τί πρὸς τὸν Κύριον; μεγαλόφωνος ἡ φωνή, ἀλλὰ τί πρὸς τὸν Λόγον (1); κάλλιστος ὁ κήρυξ, ἀλλὰ τί πρὸς τὸν βασιλέα; καλὸς ὁ βαπτίζων ἐν ὕδατι, ἀλλὰ τί πρὸς τὸν βαπτίζοντα ἐν Πνεύματι ἁγίῳ καὶ πυρί (2); Πνεύματι ἁγίῳ καὶ πυρὶ τοὺς Ἀποστόλους ἐβάπτισεν ὁ Σωτήρ, «Ὅτε ἐγένετο ἄφνω ἐκ » τοῦ οὐρανοῦ ἦχος ὡς περ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρω- » σεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι· καὶ ὤφθησαν αὐτοῖς δια- » μεριζόμεναι γλῶσσαι, ὡσεὶ πυρός· καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον » αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου» (3).

ζ'. Εἴ τις μὴ λάβῃ τὸ βάπτισμα, σωτηρίαν οὐκ ἔχει· πλὴν μόνον μαρτύρων, οἳ καὶ χωρὶς τοῦ ὕδατος λαμβάνουσι τὴν βασιλείαν. Λυτρούμενος γὰρ τὴν οἰκουμένην ὁ Σωτὴρ διὰ τοῦ σταυροῦ, καὶ τὴν πλευρὰν νυγεὶς ἐξήγαγεν « αἷμα καὶ ὕδωρ » (4), ἵνα οἱ μὲν ἐν καιροῖς εἰρήνης, ἐν ὕδατι βαπτισθῶσιν· οἱ δὲ ἐν καιροῖς διωγμῶν, ἐν οἰκείοις αἵμασι βαπτισθῶσι. Καὶ τὸ μαρτύριον γὰρ οἶδε βάπτισμα καλεῖν ὁ Σωτὴρ, λέγων· « Δύνασθε » πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βα- » πτίζομαι βαπτισθῆναι; » (5). Καὶ οἱ μὲν μάρτυρες ὁμολογοῦσι, « Θέατρον τῷ κόσμῳ γενόμενοι, καὶ ἀγγέλοις καὶ ἀνθρώποις» (6)· σὺ δὲ μετ' ὀλίγον ὁμολογήσεις. Ἀλλ' οὔπω σοι περὶ τούτων ἀκούειν καιρός.

ἡ. Ἤγιασε τὸ βάπτισμα ὁ Ἰησοῦς βαπτισθεὶς αὐτός. Εἰ ὁ υἱὸς τοῦ Θεοῦ ἐβαπτίσθη, τίς ἐστι βαπτίσματος καταφρονῶν εὐσεβής; Ἐβαπτίσθη δὲ, οὐχ ἵνα ἁμαρτιῶν λάβῃ συγχώρησιν (ἀναμάρτητος γὰρ ἦν), ἀλλὰ ἀναμάρτητος ὢν ἐβαπτίσθη, ἵνα χάριν θείαν καὶ ἀξίαν παράσχῃ τοῖς βαπτιζομένοις. Ὡς περ γὰρ τὰ παιδία, ἐπειδὴ κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς μετέσχε τῶν αὐ-

(1) Λόγον, ἐκ τοῦ ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, Κύριον.
(2) Ματθ. Γ', 11.
(3) Πράξ. Ἀποστόλ. Β', 2—4.
(4) Ἰωάν. ΙΘ', 34.
(5) Μάρκ. Ι', 38.
(6) Α'. πρὸς Κορινθ. Δ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν, ἵνα τῆς ἐνσάρκου παρουσίας αὐτοῦ κοινωνοὶ γενόμενοι, καὶ τῆς θείας αὐτοῦ χάριτος κοινωνοὶ γενώμεθα (1)· οὕτως ἐβαπτίσθη Ἰησοῦς, ἵνα καὶ διὰ τούτου πάλιν ἡμεῖς τῇ κοινωνίᾳ λάβωμεν μετὰ τῆς σωτηρίας τὴν ἀξίαν. Ὁ δράκων ἦν ἐν τοῖς ὕδασι, κατὰ τὸν Ἰὼβ, ὁ δεχόμενος τὸν Ἰορδάνην ἐν τῷ στόματι [αὐτοῦ] (2)· ἐπεὶ οὖν ἔδει συντρίψαι τὰς κεφαλὰς τοῦ δράκοντος, καταβὰς ἐν τοῖς ὕδασιν (3), ἔδησε τὸν ἰσχυρὸν (4), ἵνα ἐξουσίαν λάβωμεν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων (5). Οὐ μικρὸν ἦν τὸ θηρίον, ἀλλὰ φοβερόν (6)· « Πᾶσα ναῦς ἁλιευτικὴ βύρσαν μίαν οὐρᾶς αὐτοῦ ἐνεγκεῖν οὐκ ἠδύνατο » (7)· « Ἔμπροσθεν αὐτοῦ ἔτρεχεν ἡ ἀπώλεια » (8), λυμαινομένη τοὺς ἀπαντῶντας· προσέδραμεν ἡ ζωὴ, ἵνα λοιπὸν ὁ θάνατος φιμωθῇ (9), ἵνα οἱ σωθέντες ἅπαντες εἴπωμεν· « Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; » (10). Διὰ τοῦ βαπτίσματος λύεται τοῦ θανάτου τὸ κέντρον.

θ'. Κατέρχῃ μὲν γὰρ εἰς τὸ ὕδωρ, φορῶν τὰς ἁμαρτίας· ἀλλ' ἡ τῆς χάριτος ἐπίκλησις σφραγίσασα τὴν ψυχὴν, οὐ συγχωρεῖ λοιπὸν ὑπὸ τοῦ φοβεροῦ καταποθῆναι (11) δράκοντος. Νεκρὸς ἐν ἁμαρτίαις καταβὰς, ἀναβαίνεις ζωοποιηθεὶς ἐν δικαιοσύνῃ. Εἰ γὰρ σύμφυτος ἐγένου τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Σωτῆρος, καὶ τῆς ἀναστάσεως καταξιωθήσῃ (12). Ὥσπερ γὰρ Ἰησοῦς τὰς οἰκουμενικὰς ἁμαρτίας ἀναλαβὼν ἀπέθανεν, ἵνα θανατώσας τὴν ἁμαρτίαν ἀναστήσῃ σε ἐν δικαιοσύνῃ, οὕτω καὶ σὺ καταβὰς εἰς τὸ ὕδωρ, καὶ τρόπον τινὰ [ἐν τοῖς ὕδασι] ταφεὶς (13) ὥσπερ ἐκεῖνος ἐν τῇ πέτρᾳ, ἐγείρῃ πάλιν ἐν καὶ-

(1) Πρὸς Ἑβρ. Β', 14.
(2) Ἰὼβ Μ', 18.
(3) Ψαλμ. ΟΓ', 13.
(4) Ματθ. ΙΒ', 29.
(5) Λουκ. Ι', 19.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, ἀλλὰ τὸ φοβερόν.
(7) Ἰὼβ Μ', 26.
(8) Αὐτόθ. ΜΑ', 13.
(9) ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, φοβηθῇ.
(10) Α'. πρὸς Κορινθ. ΙΕ', 55.
(11) ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, καταποντωθῆναι.
(12) Πρὸς Ῥωμ. ς', 5.
(13) Ἐκ τοῦ ΒΤ.—Μ, τρόπον τινὰ συνταφείς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νότητι ζωῆς περιπατῶν (1). Εἶθ' ὅταν τῆς χάριτος καταξιωθῇς, τότε σοι πρὸς τὰς ἀντικειμένας δυνάμεις παλαίειν δίδωσι τὴν ἐξουσίαν. Ὡς περ γὰρ μετὰ τὸ βάπτισμα τεσσαράκοντα ἡμέρας ἐπειράζετο (2), οὐχ ὅτι καὶ πρὸ τούτου νικᾶν οὐκ ἐδύνατο, ἀλλ' ὅτι πάντα τάξει καὶ ἀκολουθίᾳ πράττειν ἐβούλετο (3)· οὕτω καὶ σὺ πρὸ τοῦ βαπτίσματος τοῖς ἀντικειμένοις παλαίειν μὴ τολμήσας, λαβὼν δὲ τὴν χάριν, καὶ λοιπὸν θαρσῶν τοῖς τῆς δικαιοσύνης ὅπλοις, ἀγωνίζου τότε, καὶ εἰ θέλεις εὐαγγελίζου.

ι. Ἰησοῦς Χριστὸς Θεοῦ υἱὸς ἦν· ἀλλ' οὐ πρὸ τοῦ βαπτίσματος εὐηγγελίσατο. Εἰ ὁ Δεσπότης αὐτὸς μετήρχετο κατὰ τάξιν τὸν καιρὸν, ἆρά γε οἱ δοῦλοι τολμᾶν ἀτάκτως ὀφείλομεν; « Ἀπὸ τότε » ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν» (4), ὅτε κατῆλθεν [ἐπ' αὐτὸν] τὸ Πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει (5) ὡσεὶ περιστερά. Οὐχ ἵνα Ἰησοῦς τοῦτο ἴδῃ πρῶτος (ᾔδει γὰρ καὶ πρὸ τοῦ σωματικῶς ἐλθεῖν)· ἀλλ' ἵνα θεωρήσῃ ὁ βαπτίζων Ἰωάννης· « Ἐγὼ γὰρ, φησὶν, οὐκ ᾔδειν » αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· » Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, ἐκεῖ» νός ἐστιν» (6). Ἐὰν καὶ αὐτὸς ἔχῃς ἀνυπόκριτον εὐλάβειαν, κατέρχεται καὶ ἐπὶ σὲ τὸ Πνεῦμα τὸ ἅγιον· [καὶ] φωνή σοι πατρικὴ ἄνωθεν ἐπηχεῖ· οὐχ, *οὗτός ἐστιν ὁ υἱός μου*, ἀλλ', *οὗτος* (7) *νῦν γέγονεν υἱός μου*. Ἐπ' ἐκείνου γὰρ μόνου (8) τὸ, *ἐστίν*· ἐπειδὴ « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν » ὁ Λόγος» (9). Ἐπ' ἐκείνου τὸ, *ἐστὶν*, ἐπειδὴ πάντοτέ ἐστιν υἱὸς Θεοῦ· ἐπὶ δὲ σοῦ τὸ, *νῦν γέγονεν*, ἐπειδὴ οὐ κατὰ φύσιν ἔχεις, ἀλλὰ κατὰ θέσιν τὴν υἱοθεσίαν λαμβάνεις. Ἐκεῖνος ἀΐδιός ἐστι· σὺ δὲ ἐκ προκοπῆς λαμβάνεις τὴν χάριν.

(1) Πρὸς Ῥωμ. Ϛ΄, 4.
(2) ΒΤ. — ἀντὶ τοῦ ἐν τῷ Μ, ἐπειράτο.
(3) Ματθ. Δ΄, 2 κ' ἑπάμ.
(4) Αὐτόθ. 17.
(5) Ἐκ τοῦ ΒΤ. — ἀντὶ τοῦ ἐν τῷ Μ, τὸ ἅγιον σωματικῶς, εἴδει ὡσεὶ περιστερά.
(6) Ἰωάν. Α΄, 33.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, ὅτι.
(8) Αὐτόθεν· ἀντὶ τοῦ ἐν τῷ Μ, ἐν ἐκείνῳ μὲν γὰρ τὸ κτλ.
(9) Ἰωάν. Α΄, 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ια'. Οὐκοῦν ἑτοίμασον τῆς ψυχῆς τὸ ἄγγος, ἵνα υἱὸς γένῃ Θεοῦ, [καὶ] κληρονόμος μὲν Θεοῦ, συγκληρονόμος δὲ Χριστοῦ (1)· εἴ περ ἑτοιμάζεις ἑαυτὸν, ἵνα καὶ λάβῃς· εἰ ἐκ πίστεως προσέρχῃ ἵνα πιστοποιηθῇς· εἰ ἀποτίθεσαι (2) τὸν παλαιὸν ἄνθρωπον ἐκ προαιρέσεως. Πάντα γὰρ ὅσα σοι πέπρακται συγχωρηθήσεται, κἂν πορνεία, κἂν μοιχεία, κἂν ἄλλο τι τῶν τοιούτων (3) ἀκολασίας εἶδός ἐστι. Τί μεῖζον τοῦ σταυρῶσαι Χριστόν; καὶ τούτου καθάρσιόν ἐστι τὸ βάπτισμα. Τοῖς γὰρ προσελθοῦσι [τρισχιλίοις ἔλεγεν ὁ Πέτρος, τοῖς σταυρώσασι τὸν Κύριον] (4) πυνθανομένοις, καὶ λέγουσι· « Τί » ποιήσωμεν, ἄνδρες ἀδελφοί; » (5). Μέγα γὰρ τὸ τραῦμα· ἐπέστησας ἡμᾶς, ὦ Πέτρε, τῷ ἡμετέρῳ (6) πτώματι, εἰπών· « Τὸν » ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε » (7)· ποία ἐστὶν ἔμπλαστρος τηλικούτου τραύματος; ποῖον καθάρσιον τηλικούτου ῥύπου; τίς ἡ σωτηρία τῆς τοιαύτης ἀπωλείας; « Μετανοήσατε, φησί, καὶ βα- » πτισθήτω ἕκαστος ἡμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ Κυρίου » ἡμῶν εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου » Πνεύματος » (8).

ιβ'. Ὢ ἀνεκδιήγητος τοῦ Θεοῦ φιλανθρωπία· τὸ σωθῆναι οὐκ ἐλπίζουσι, καὶ Πνεύματος ἁγίου καταξιοῦνται. Βλέπεις τοῦ βαπτίσματος τὴν δύναμιν. Εἴ τις ὑμῶν κατὰ ἄγνοιαν ἐνώπιον ἀνθρώπων ἠρνήσατο· εἴ τις ὑμῶν λόγοις βλασφήμοις ἐσταύρωσε τὸν Χριστόν· εἴ τις διὰ πονηρῶν ἔργων βλασφημηθῆναι τὸ δόγμα παρεσκεύασεν, εὐέλπις ἔστω μετανοῶν· πάρεστι γὰρ καὶ νῦν ἡ αὐτὴ χάρις. « Θάρσει Ἱερουσαλήμ, περιελεῖ (9) Κύριος πάντα τὰ ἀδικήμα-

(1) Πρὸς Ῥωμ. Η', 17.

(2) Ἐκ τοῦ ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, ἀποτίθεσθαι.

(3) Αὐτόθεν. —Ἐν τῷ Μ, τούτων.

(4) ΒΤ. — ἀντὶ τοῦ ἐν τῷ Μ, τοῖς γὰρ προσελθοῦσι τῷ Κυρίῳ πυνθανομένοις κ. τ. λ.

(5) Πράξ. Ἀποστόλ. Β', 37.

(6) ΒΤ.—Μ, ὑμετέρῳ.

(7) Πράξ. Ἀποστόλ. Γ', 15.

(8) Αὐτόθ. Β', 38.

(9) Περιελεῖ, καὶ πλυνεῖ ἐκ τοῦ ΒΤ.—(ἀντὶ τοῦ ἐν τῷ Μ, περιεῖλε, καὶ ἔπλυνεν), ἵνα ἡ σύμφωνον πρὸς τὸ ῥαντιεῖ, καὶ καθαρισθήσεσθε.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» τάσου(1). Πλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων » αὐτοῦ, ἐν πνεύματι κρίσεως, καὶ πνεύματι καύσεως (2). Ῥαντιεῖ » ἐφ' ὑμᾶς ὕδωρ καθαρὸν, καὶ καθαρισθήσεσθε ἀπὸ πάσης ἁμαρτίας » ὑμῶν»(3). Χορεύσουσι(4) περὶ ὑμῶν ἄγγελοι, καὶ ἐροῦσι· «Τίς αὕτη » ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδοῦν αὐτῆς;» (5). Ἡ γὰρ πρότερον δούλη ψυχὴ, νῦν ἀδελφιδοῦν αὐτὸν τὸν δεσπότην ἐπεγράψατο, ὃς τὴν ἀνυπόκριτον δεχόμενος προαίρεσιν ἐπιφωνήσει· « Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ εἶ καλὴ· ὀδόντες σου ὡς » ἀγέλαι τῶν κεκαρμένων» (6), διὰ τὴν εὐσυνείδητον ὁμολογίαν· καὶ ἐξῆς· « Αἱ πᾶσαι διδυμεύουσαι » διὰ τὴν διπλῆν χάριν· λέγω δὲ τὴν ἐξ ὕδατος καὶ Πνεύματος τελουμένην, ἢ τὴν διὰ τῆς(7) παλαιᾶς καὶ καινῆς Διαθήκης καταγγελλομένην. Καὶ γένοιτο πάντας ὑμᾶς τὸν δρόμον τῆς νηστείας τελέσαντας, μνημονεύοντας τῶν λεγομένων, καρποφοροῦντας ἐν ἔργοις ἀγαθοῖς, ἀμώμως τῷ νοητῷ νυμφίῳ παραστάντας, τυχεῖν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ὑπὸ τοῦ Θεοῦ· ᾧ ἡ δόξα σὺν Υἱῷ καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Δ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, περὶ τῶν δέκα δογμάτων· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κολοσσαεῖς· «Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου» κτλ.(8).

α. **Μ**ΙΜΕΙΤΑΙ τὴν ἀρετὴν ἡ κακία, καὶ τὸ ζιζάνιον βιάζεται σῖτος νομισθῆναι, σχήματι μὲν πρὸς τὸν σῖτον ἐξομοιούμενον, ἐκ

(1) Σοφον. Γ', 14 — 15.

(2) Ἡσαΐου Δ', 4.

(3) Ἰεζεκ. ΛϚ', 25.

(4) Οὕτω, κατὰ μέλλοντα δηλονότι χρόνον, προσσημειοῦται ἔν τε τῷ περισελιδίῳ τοῦ ΒΤ καὶ ἐν ὑποσημειώσει τοῦ Μ, ἀντὶ ταῦ ἐν τῷ κειμένῳ ἀμφοτέρων, χορεύουσι.

(5) Ἆσμα Ἀσμάτ. Η', 5.

(6) Αὐτόθ. Δ', 1 καὶ 2.

(7) Ἐκ τοῦ ΒΤ.—Μ, ἢ διὰ τὴν ἐκ παλαιᾶς κτλ.

(8) Πρὸς Κολοσ. Β', 8.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ τῆς γεύσεως ὑπὸ τῶν διακριτικῶν ἐξελεγχόμενον. Καὶ ὁ διάβολος μετασχηματίζεται εἰς ἄγγελον φωτὸς (1), οὐχ ἵνα ἐπανέλθῃ ὅπου καὶ ἦν (2), (ὥς περ γὰρ ἄκμων, ἀνήλατον τὴν καρδίαν κτησάμενος, ἀμετανόητον λοιπὸν ἔχει τὴν προαίρεσιν), ἀλλ' ἵνα (3) τοὺς ἰσάγγελον βίον πολιτευομένους, ἀβλεψίας σκότει, καὶ ἀπιστίας λοιμώδει περιβάλλῃ καταστάσει. Πολλοὶ λύκοι περιάγουσιν ἐν ἐνδύμασι προβάτων (4), προβάτων μὲν ἐνδύματα κεκτημένοι, οὐ μὴν καὶ ὄνυχας καὶ ὀδόντας· ἀλλὰ τὴν ἥμερον περικείμενοι δορὰν, καὶ τῷ σχήματι τοὺς ἀκάκους ἀπατῶντες, τὸν φθοροποιὸν τῆς ἀσεβείας ἐκ τῶν ὀδόντων προχέουσιν ἰόν. Χρεία τοίνυν θείας ἡμῖν χάριτος, καὶ νηφαλίου διανοίας, καὶ βλεπόντων ὀφθαλμῶν· ἵνα μὴ ζιζάνιον [ὡς] σῖτον φαγόντες, ἐξ ἀγνοίας βλαβῶμεν· μήτε τὸν λύκον πρόβατον ὑπολαβόντες, θηρευθῶμεν· μήτε ἄγγελον ἀγαθὸν, τὸν ὀλεθροποιὸν (5) διάβολον ὑποπτεύσαντες, καταποθῶμεν· « Περιέρχεται γὰρ ὡς λέων ὠρυόμενος, ζητῶν τίνα καταπίῃ » (6), κατὰ τὴν Γραφήν. Διὰ τοῦτο [ἡ] Ἐκκλησία νουθετεῖ· διὰ τοῦτο τὰ παρόντα διδασκαλεῖα· διὰ τοῦτο τὰ ἀναγνώσματα γίνονται.

ε'. Ὁ γὰρ τῆς θεοσεβείας τρόπος ἐκ δύο τούτων συνέστηκε, δογμάτων εὐσεβῶν ἀκριβείας, καὶ πράξεων ἀγαθῶν· καὶ οὔτε τὰ δόγματα χωρὶς ἔργων ἀγαθῶν, εὐπρόσδεκτα [τῷ] Θεῷ, οὔτε τὰ μὴ μετ' εὐσεβῶν δογμάτων ἔργα τελούμενα προσδέχεται ὁ Θεός. Τί γὰρ ὄφελος, εἰδέναι μὲν τὰ περὶ Θεοῦ δόγματα καλῶς, καὶ πορνεύειν αἰσχρῶς; τί δ' αὖ πάλιν ὄφελος, σωφρονεῖν μὲν καλῶς, καὶ βλασφημεῖν ἀσεβῶς; Μέγιστον τοίνυν κτῆμά ἐστι, τὸ τῶν δογμάτων μάθημα, καὶ χρεία νηφαλίου ψυχῆς· ἐπειδὴ πολλοί εἰσιν οἱ συλαγωγοῦντες « διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης » (7). Καὶ οἱ μὲν Ἕλληνες, διὰ τῆς εὐγλωττίας κατασύρουσι·

(1) Α'. πρὸς Κορινθ. ΙΑ', 14.

(2) Παρέλιπον τὰ ἐν τῷ Μ, ἀλλ' ἵνα ἀπατήσῃ τοὺς ἀνθρώπους, ἑπόμενος τῷ ΒΤ.

(3) Ἐκ τοῦ ΒΤ. ἡ προσθήκη ἀλλὰ.

(4) Ματθ. Ζ', 15.

(5) ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, αἰσχροποιόν.

(6) Α' Πέτρ. Ε', 8.

(7) Πρὸς Κολοσ. Β', 8.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης » (1). Οἱ δὲ ἐκ περιτομῆς, διὰ τῶν θείων Γραφῶν, ἅσπερ ἐξηγοῦνται κακῶς, τοὺς προσερχομένους ἀπατῶσιν· ἐκ παιδίου μελετῶντες ἕως γήρως, καὶ ἐν ἀμαθίᾳ καταγηρῶντες. Αἱρετικῶν δὲ παῖδες, διὰ τῆς χρηστολογίας καὶ εὐγλωττίας ἀπατῶσι τὰς καρδίας τῶν ἀκάκων, ὡς περ μέλιτι, τῇ τοῦ Χριστοῦ προσηγορίᾳ τὰ τῶν δυσσεβῶν δογμάτων ἰοβόλα συγκαλύπτοντες· περὶ ὧν ἁπάντων ἅμα λέγει Κύριος· « Βλέπετε μή τις ὑμᾶς πλανήσῃ » (2). Διὰ τοῦτο καὶ ἡ τῆς πίστεως διδασκαλία, καὶ εἰς αὐτὴν ἐξηγήσεις γίνονται. Πρὸ δὲ τῆς εἰς τὴν πίστιν παραδόσεως, καλῶς ἔχειν μοι δοκεῖ, νῦν ἀνακεφαλαιώσει συντόμῳ χρήσασθαι τῶν ἀναγκαίων δογμάτων· ἵνα μὴ τὸ πλῆθος τῶν λεχθησομένων, καὶ τὸ μεταξὺ διάστημα τῶν ἡμερῶν τῆς ἁγίας τεσσαρακοστῆς ἁπάσης, λήθην ἐμποιήσῃ τῶν ἐν ὑμῖν ἀφελεστέρων (3) τῇ διανοίᾳ· ἀλλ' ἵνα νῦν κεφαλαιωδῶς ὑποσπείραντες, μὴ ἐπιλαθώμεθα τῶν αὐτῶν πλατυτέρως (4) [γεωργουμένων ὕστερον]. Ἀνασχέσθωσαν δὲ τῶν συμπαρόντων οἱ τελειότεροι τὴν ἕξιν, καὶ τὰ αἰσθητήρια ἤδη γεγυμνασμένα ἔχοντες πρὸς διάκρισιν ἀγαθοῦ τε καὶ κακοῦ (5), νηπιωδεστέρων ἀκούοντες καὶ τῆς γαλακτώδους εἰσαγωγῆς, ἵνα ἅμα καὶ οἱ τῆς κατηχήσεως χρείαν ἔχοντες, ὠφεληθῶσι· καὶ οἱ τὴν γνῶσιν ἔχοντες, περὶ ὧν προγινώσκουσιν ἤδη τὴν μνήμην ἀναζωπυρηθῶσι.

Περὶ Θεοῦ.

γ'. Πρῶτον τοίνυν ὑμῶν [τῇ ψυχῇ] τεθεμελιώσθω δόγμα τὸ περὶ Θεοῦ· ὅτι ὁ Θεὸς εἷς ἐστι μόνος, ἀγέννητος, ἄναρχος, ἄτρεπτος, ἀναλλοίωτος, οὐχ ὑφ' ἑτέρου γεγεννημένος, οὐχ ἕτερον ἔχων τῆς ζωῆς διάδοχον, καὶ οὔτε ἐν χρόνῳ τοῦ ζῆν ἀρξάμενος, οὔτε ποτὲ τελευτῶν· καὶ ὅτι αὐτός ἐστιν ἀγαθὸς καὶ δίκαιος· ἵνα, ἐάν ποτε ἀκούσῃς

(1) Παροιμ. Ε', 3.
(2) Ματθ. ΚΔ'. 4.
(3) ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, ἀσφαλεστέρων.
(4) ΒΤ.—ἀντὶ τοῦ ἐν τῷ Μ, μὴ ἐπιλαθώμεθα τῶν αὐτοῦ πλατύτερον.
(5) Πρὸς Ἑβρ. Β', 12 — 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λέγοντος αἱρετικοῦ, ἄλλον εἶναι τὸν δίκαιον καὶ ἄλλον εἶναι τὸν ἀγαθὸν, εὐθὺς ὑπομνησθεὶς, γνῶς τὸ τῆς αἱρέσεως ἰοβόλον. Ἐτόλμησαν γάρ τινες (1) ἀσεβῶς τὸν ἕνα Θεὸν διαχωρίσαι τῷ λόγῳ. Καί τινες εἶπον, ἄλλον μὲν τὸν δημιουργὸν τῆς ψυχῆς καὶ δεσπότην, ἄλλον δὲ [τὸν] τῶν σωμάτων, ἀνοήτως ἅμα καὶ δυσεβῶς διδάσκοντες. Πῶς γὰρ δύο κυρίων εἰς δοῦλος γίνεται ἄνθρωπος, τοῦ Κυρίου λέγοντος ἐν Εὐαγγελίοις, « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν »(2); Εἷς οὖν ἐστι Θεὸς μόνος, ὁ [καὶ] ψυχῶν καὶ σωμάτων ποιητής· [εἷς ἐστιν ὁ δημιουργὸς οὐρανοῦ καὶ γῆς, ἀγγέλων τε καὶ ἀρχαγγέλων ποιητής·] ὁ πολλῶν μὲν δημιουργὸς, ἑνὸς δὲ μόνου πατὴρ πρὸ αἰώνων· ἑνὸς μόνου τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐποίησε πάντα τὰ ὁρατὰ καὶ τὰ ἀόρατα (3). Οὗτος ὁ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐ περιγέγραπται ἔν τινι τόπῳ, οὐδέ ἐστι μικρότερος οὐρανοῦ· ἀλλ' « Ἔργα τῶν δακτύ- » λων αὐτοῦ εἰσὶν οἱ οὐρανοὶ, καὶ ἡ γῆ πᾶσα ἐν τῇ δρακὶ αὐτοῦ » κατέχεται » (4). Οὗτος ἐν πᾶσίν ἐστι, καὶ πάντων ἐκτός. Μὴ νομίσῃς αὐτοῦ τὸν ἥλιον φωτεινότερον (5), ἢ ἴσον εἶναι· ὁ γὰρ τὸν ἥλιον κατασκευάσας πρότερον, ὀφείλει πολλῷ μᾶλλον ἀσυγκρίτως εἶναι μείζων καὶ φωτεινότερος. Προγνώστης ἐστὶ τῶν μελλόντων, καὶ πάντων δυνατώτερος· εἰδὼς [ἅπαντα] καὶ ποιῶν ὡς βούλεται· οὐχ ὑποκείμενος πραγμάτων ἀκολουθίαις, οὐδὲ γενέσει, οὐδὲ τύχῃ, οὐδ' εἱμαρμένῃ· ἐν πᾶσι τέλειος, καὶ πᾶσαν ἀρετῆς ἰδέαν ἐν ἴσῳ κεκτημένος· οὔτε [μειούμενος οὔτε] αὔξων, ἀλλὰ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων· ἑτοιμακῶς κόλασιν τοῖς ἁμαρτωλοῖς καὶ στέφανον τοῖς δικαίοις.

δ'. Ἐπεὶ οὖν ἐπλανήθησαν ἀπὸ τοῦ ἑνὸς Θεοῦ διαφόρως πολλοί· καὶ οἱ μὲν ἥλιον ἐθεοποίησαν, ἵνα δύνοντος ἡλίου, κατὰ τὸν νυκτὸς καιρὸν ἄθεοι μένωσιν· οἱ δὲ σελήνην, ἵνα ἐν ἡμέρᾳ θεὸν μὴ ἔχωσιν· οἱ δὲ τὰ λοιπὰ μέρη τοῦ κόσμου· οἱ δὲ τὰς τέχνας· οἱ δὲ τὰς τροφὰς· οἱ δὲ τὰς ἡδονάς· καὶ οἱ μὲν γυναικομανεῖς, γυμνῆς

(1) ΒΤ. ἀντὶ τοῦ ἐν τῷ Μ, ἰοβόλον, τολμήσαντος ἀσεβῶς κτλ.
(2) Ματθ. ϛ'. 24.
(3) Πρὸς Ἑβρ. Α', 2· καὶ πρὸς Κολοσ. Α', 16.
(4) Ψαλμ. Η', 4· καὶ ΡΑ', 26— καὶ Ἡσ. Μ', 12.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, αὐτὸν ἡλίου μικρότερον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γυναικὸς εἴδωλον ἐν ὑψηλῷ στήσαντες, Ἀφροδίτην τε προσαγορεύσαντες (1), προσεκύνησαν διὰ τοῦ φαινομένου τὸ πάθος· οἱ δὲ τοῦ χρυσοῦ τὸ λαμπρὸν ἐκπλαγέντες, αὐτόν τε καὶ τὰς λοιπὰς ὕλας ἐθεοποίησαν. Ἐὰν δέ τις τὸν περὶ μοναρχίας τοῦ Θεοῦ λόγον προθεμελιώσῃ τῇ καρδίᾳ, καὶ πεισθῇ τούτῳ, πᾶσαν ὁμοῦ τῶν κακῶν τῆς εἰδωλολατρείας καὶ τῆς τῶν αἱρετικῶν πλάνης ἐκκόπτει τὴν φοράν· τοῦτο μὲν οὖν σοι πρῶτον δόγμα τῆς εὐσεβείας ἐν τῇ ψυχῇ προθεμελίωσον διὰ τῆς πίστεως.

Περὶ Χριστοῦ.

ε. Πίστευε δὲ [καὶ] εἰς τὸν υἱὸν τοῦ Θεοῦ, τὸν ἕνα καὶ μόνον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐκ τοῦ Θεοῦ Θεὸν γεννηθέντα, τὸν ἐκ ζωῆς ζωὴν γεννηθέντα, τὸν ἐκ φωτὸς φῶς γεννηθέντα, τὸν ὅμοιον κατὰ πάντα τῷ γεννήσαντι· τὸν οὐκ ἐν χρόνοις τὸ εἶναι κτησάμενον, ἀλλὰ πρὸ πάντων τῶν αἰώνων ἀϊδίως καὶ ἀκαταλήπτως ἐκ τοῦ Πατρὸς γεγεννημένον· τὴν σοφίαν Θεοῦ καὶ τὴν δύναμιν (2), καὶ τὴν δικαιοσύνην τὴν ἐνυπόστατον· τὸν ἐν δεξιᾷ τοῦ Πατρὸς πρὸ πάντων τῶν αἰώνων καθεζόμενον. Οὐ γὰρ, ὥς τινες ἐνόμισαν, μετὰ τὸ πάθος στεφανωθεὶς ὥςπερ ὑπὸ τοῦ Θεοῦ, [διὰ τὴν ὑπομονὴν] ἔλαβε τὸν ἐν δεξιᾷ θρόνον (3), ἀλλ' ἀφ' οὗπέρ ἐστιν (ἔστι δὲ γεννητὸς ἀεὶ) (4), ἔχει τὸ βασιλικὸν ἀξίωμα, συγκαθεζόμενος τῷ Πατρὶ, Θεὸς ὢν καὶ σοφία καὶ δύναμις, καθὼς εἴρηται· τῷ Πατρὶ συμβασιλεύων, καὶ πάντων διὰ τὸν Πατέρα δημιουργός· ἀλλὰ ἀνελλιπὴς εἰς θεότητος ἀξίαν, καὶ γινώσκων τὸν γεγεννηκότα, καθὼς γινώσκεται ὑπὸ τοῦ γεγεννηκότος· καὶ ἵνα συντόμως εἴπωμεν, τοῦ ἐν Εὐαγγελίοις γεγραμμένου μέμνησο· ὅτι «Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, » εἰμὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ » Υἱός » (5). Καὶ μήτε ἀπαλλοτριώσῃς τοῦ Πατρὸς τὸν υἱὸν,

(1) Ἐκ τοῦ ΒΤ. — Μ, προσαγορεύοντες.

(2) Α' πρὸς Κορινθ. Α', 24 καὶ 30.

(3) Πρὸς Ἑβρ. Α', 9.

(4) Ἐκ τοῦ ΒΤ.—Μ, ἀλλ' ἀφ' οὗπέρ ἐστιν. Ἔστι δὲ γεννητὸς, καὶ ἀεὶ ἔχει κτλ.

(5) Ματθ. ΙΑ', 27· καὶ Ἰωάν. Ι', 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μήτε συναλοιφὴν ἐργασάμενος, υἱοπατορίαν (1) πιστεύσῃς, ἀλλὰ πίστευε ὅτι ἑνὸς Θεοῦ μονογενὴς εἷς ἐστιν Υἱός, πρὸ πάντων τῶν αἰώνων Θεὸς Λόγος· λόγος, οὐ προφορικὸς (2) εἰς ἀέρα διαχεόμενος, οὔτε λόγοις ἀνυποστάτοις ἐξομοιούμενος· ἀλλὰ Λόγος υἱὸς, λογικῶν ποιητής· Λόγος ἀκούων τοῦ Πατρὸς καὶ λαλῶν αὐτός (3). Καὶ περὶ μὲν τούτων κατὰ καιρὸν, εἰ ὁ Θεὸς παράσχοι, πλατύτερον ἡμῖν ῥηθήσεται· οὐ γὰρ ἐπιλανθανόμεθα τῆς προτάσεως, ὅτι κεφαλαιώδεις εἰσαγωγὰς πίστεως νῦν ποιούμεθα (4).

Περὶ τῆς ἐκ Παρθένου γεννήσεως.

ς'. Πίστευε δὲ, ὅτι οὗτος ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, διὰ τὰς ἁμαρτίας ἡμῶν ἐξ οὐρανοῦ κατῆλθεν ἐπὶ τῆς γῆς, τὴν ὁμοιοπαθῆ ταύτην ἡμῖν ἀναλαβὼν ἀνθρωπότητα, καὶ γεννηθεὶς ἐξ ἁγίας Παρθένου καὶ ἁγίου Πνεύματος· οὐ δοκήσει καὶ φαντασίᾳ τῆς ἐνανθρωπήσεως γενομένης (5), ἀλλὰ τῇ ἀληθείᾳ· οὐδὲ ὥς περ διὰ σωλῆνος διελθὼν τῆς Παρθένου, ἀλλὰ σαρκωθεὶς ἐξ αὐτῆς ἀληθῶς, [καὶ γαλακτοτροφηθεὶς ἀληθῶς ἐξ αὐτῆς·] φαγὼν ὡς ἡμεῖς ἀληθῶς, καὶ πιὼν ὡς ἡμεῖς ἀληθῶς. Εἰ γὰρ φάντασμα ἦν ἡ ἐνανθρώπησις, φάντασμα καὶ ἡ σωτηρία. Διπλοῦς ἦν ὁ Χριστός· ἄνθρωπος μὲν τὸ φαινόμενον, Θεὸς δὲ τὸ μὴ φαινόμενον· ἐσθίων μὲν ὡς ἄνθρωπος ἀληθῶς ὡς ἡμεῖς, εἶχε γὰρ τῆς σαρκὸς τὸ ὁμοιοπαθὲς ὡς ἡμεῖς· τρέφων δὲ ἐκ πέντε ἄρτων τοὺς πεντακισχιλίους ὡς Θεός (6)· ἀποθνήσκων μὲν ὡς ἄνθρωπος ἀληθῶς, νεκρὸν δὲ τὸν τετραήμερον ἐγείρων ὡς Θεὸς (7)· καθεύδων εἰς τὸ πλοῖον ἀληθῶς ὡς ἄνθρωπος, καὶ περιπατῶν ἐπὶ τῶν ὑδάτων ὡς Θεός (8).

---

(1) Ἐκ τοῦ ΒΤ. — Μ, υἱοπατορίας.
(2) Αὐτόθεν. — Μ, προφορητικός.
(3) Ἰωάν. ΙΕ', 15.
(4) ΒΤ.—Μ, ποιησόμεθα.
(5) Αὐτόθεν. — Μ, γειναμένης.
(6) Ματθ. ΙΔ', 17 καὶ 21.
(7) Ἰωάν. ΙΑ', 17, 39, 43—44.
(8) Ματθ. Η', 25. καὶ ΙΔ', 25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Περὶ τοῦ Σταυροῦ.

ζ'. Οὗτος ἐσταυρώθη ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἀληθῶς. Κἂν γὰρ ἀρνήσασθαι βουληθῇς, ὁ τόπος ἐλέγχει σε φαινόμενος, ὁ μακάριος οὗτος Γολγοθᾶς, ἐν ᾧ νῦν, διὰ τὸν ἐν αὐτῷ σταυρωθέντα, συγκεκροτήμεθα. Καὶ τοῦ ξύλου τοῦ Σταυροῦ πᾶσα λοιπὸν ἡ οἰκουμένη κατὰ μέρος ἐπληρώθη. Ἐσταυρώθη δὲ οὐχ ὑπὲρ ἰδίων (1) ἁμαρτιῶν, ἀλλ' ἵνα ἡμεῖς τῶν οἰκείων ἁμαρτιῶν ἐλευθερωθῶμεν. Καὶ κατερρονήθη μὲν ὑπὸ τῶν ἀνθρώπων τότε, καὶ ἐῤῥαπίσθη ὡς ἄνθρωπος (2)· ἐγνωρίσθη δὲ ὑπὸ τῆς κτίσεως ὡς Θεός. Ὁ γὰρ ἥλιος δεσπότην ἀτιμαζόμενον ἰδὼν, ἐξελίμπανε τρέμων, οὐ φέρων τὴν θέαν (3).

Περὶ τῆς Ταφῆς.

η'. Ἐν μνήματι πέτρας ἐτέθη ἀληθῶς ὡς ἄνθρωπος, ἀλλὰ πέτραι διεῤῥάγησαν τῷ φόβῳ δι' αὐτόν (4). Κατῆλθεν εἰς τὰ καταχθόνια, ἵνα κἀκεῖθεν λυτρώσηται τοὺς δικαίους. Ἐβούλου γάρ, εἰπέ μοι, τοὺς μὲν ζῶντας ἀπολαῦσαι τῆς χάριτος, καὶ ταῦτα, τῶν πλείστων οὐχ ὁσίων ὄντων· τοὺς δὲ ἀπὸ Ἀδὰμ πολυχρονίως ἀποκεκλεισμένους, μὴ τυχεῖν τῆς ἐλευθερίας λοιπόν (5); Ἡσαΐας ὁ προφήτης τοσαῦτα περὶ αὐτοῦ μεγαλοφώνως ἐκήρυξεν. Οὐκ ἤθελες ἵνα βασιλεὺς κατελθὼν λυτρώσηται τὸν κήρυκα; Δαβὶδ ἦν ἐκεῖ καὶ Σαμουὴλ, καὶ πάντες οἱ προφῆται, καὶ αὐτὸς Ἰωάννης, ὁ λέγων διὰ τῶν ἀποσταλέντων· « Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν » (6); Οὐκ ἤθελες ἵνα καταβὰς λυτρώσηται τοὺς τοιούτους;

---

(1) Ἐκ τοῦ ΒΤ. — Μ, οἰκείων.
(2) Ματθ. ΚϚ', 67.
(3) Λουκ. ΚΓ', 45.
(4) Ματθ. ΚΖ', 51—52.
(5) ΒΤ. — Μ, τῆς ἐλευθερίας; Λοιπὸν δὲ Ἡσαΐας κτλ.
(6) Ματθ. ΙΑ', 3· καὶ Λουκ. Ζ', 19.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Περὶ τῆς Ἀναστάσεως.

θ΄. Ἀλλ' ὁ καταβὰς εἰς τὰ καταχθόνια, πάλιν ἀνῆλθε· καὶ ὁ ταφεὶς Ἰησοῦς πάλιν ἀνέστη τὸ τριήμερον ἀληθῶς. Κἂν ποτέ σε διασύρωσιν Ἰουδαῖοι, ταχέως ἀπάντησον, οὕτως ἐρωτήσας· Ἰωνᾶς τριήμερος ἀπὸ κήτους ἐξῆλθε, καὶ Χριστὸς τριήμερος ἀπὸ γῆς ἆρα οὐκ ἐγήγερται (1); Τῶν ὀστέων Ἐλισσαίου νεκρὸς ἁψάμενος ἐγήγερται (2), καὶ ὁ τῶν ἀνθρώπων ποιητὴς δυνάμει Πατρὸς ἆρ' οὐχὶ [μᾶλλον εὐκοπώτερον] ἐγήγερται (3); Ἀνέστη τοίνυν ἀληθῶς (4)· καὶ ἀναστὰς, πάλιν ὤρθη τοῖς μαθηταῖς· καὶ μάρτυρες αὐτοῦ τῆς ἀναστάσεως μαθηταὶ δώδεκα· οὐ λόγοις κεχαρισμένοις μαρτυρήσαντες, ἀλλὰ μέχρι βασάνων καὶ θανάτων (5) περὶ τῆς ἀληθοῦς ἀναστάσεως ἀγωνισάμενοι. Εἶτα, « Ἐπὶ στόματος [μὲν] δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα » (6), κατὰ τὴν Γραφήν· δώδεκα δὲ τῇ ἀναστάσει τοῦ Χριστοῦ μαρτυροῦσι, καὶ ἆρα ἔτι πρὸς τὴν ἀνάστασιν ἀπιστεῖς;

Περὶ Ἀναλήψεως.

ι. Τὸν δρόμον δὲ τῆς ὑπομονῆς τελέσας Ἰησοῦς, καὶ τοὺς ἀνθρώπους λυτρωσάμενος τῶν ἁμαρτιῶν, ἀνέβη πάλιν εἰς τοὺς οὐρανοὺς, νεφέλης αὐτὸν ὑπολαβούσης (7). Καὶ ἄγγελοι μὲν ἀνιόντι παρειστήκεισαν, Ἀπόστολοι δὲ ἐθεώρουν. Εἰ δέ τις τοῖς λεγομένοις ἀπιστεῖ, αὐτῇ πιστευέτω τῇ δυνάμει τῶν νῦν βλεπομένων. Πάντες οἱ βασιλεῖς τελευτῶντες, συναποσβεννύουσι τῇ ζωῇ καὶ τὴν δύναμιν· Χριστὸς δὲ σταυρωθεὶς, ὑπὸ πάσης προσκυνεῖται τῆς οἰκουμένης. Τὸν ἐσταυρωμένον καταγγέλλομεν, καὶ τρέμουσιν [οἱ] (8)

(1) Ἰων. Β΄, 11.

(2) Δ΄. Βασιλ. Β΄, 21.

(3) Ἐκ τοῦ ΒΤ. — Μ, καὶ ὁ τῶν ὅλων ποιητὴς δυνάμει Πατρὸς ἆρα οὐκ ἐγήγερται;

(4) Πράξ. Ἀποστ. Β΄, 30 κ' ἑπόμ.

(5) Ἐκ τοῦ ΒΤ. — Μ, μέχρι θανάτων καὶ βασάνων.

(6) Ματθ. ΙΗ΄, 16.

(7) Πράξ. Ἀποστ. Α΄, 9 — 10.

(8) Ἐκ τοῦ ΒΤ. — Μ, τρέμουσι νῦν δαίμονες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δαίμονες. Πολλοὶ κατὰ χρόνους ἐσταυρώθησαν· ἀλλὰ ποίου σταυρωθέντος ἐπίκλησις ἑτέρου, ποτὲ τοὺς δαίμονας ἀπήλασε ; Μὴ τοίνυν ἐπαισχυνθῶμεν τῷ σταυρῷ τοῦ Χριστοῦ· ἀλλὰ κἂν ἄλλος ἀποκρύπτῃ, σὺ φανερῶς ἐπὶ μετώπῳ σφραγίζου, ἵνα οἱ δαίμονες τὸ σημεῖον ἰδόντες τὸ βασιλικόν, μακρὰν φύγωσι τρέμοντες. Ποίει δὲ τοῦτο τὸ σημεῖον, ἐσθίων καὶ πίνων· καθήμενος, κοιταζόμενος, ἐξανιστάμενος, λαλῶν, περιπατῶν· ἁπαξαπλῶς ἐν παντὶ πράγματι. Ὁ γὰρ ἐνταῦθα σταυρωθεὶς, ἐν οὐρανοῖς ἐστιν ἄνω. Εἰ μὲν γὰρ σταυρωθεὶς καὶ ταφεὶς ἐναπέμενε τῷ τάφῳ, εἴχομεν ἂν ἐπαισχύνεσθαι· νυνὶ δὲ ὁ ἐν τῷ Γολγοθᾷ τούτῳ σταυρωθεὶς, ἀπὸ τοῦ πρὸς ἀνατολὰς ὄρους τῶν Ἐλαιῶν, ἀναβέβηκεν εἰς τὸν οὐρανόν (1). Ἐντεῦθεν γὰρ εἰς ᾅδην καταβὰς, καὶ πάλιν ἀνελθὼν πρὸς ἡμᾶς, ἀφ' ἡμῶν ἀνῆλθε πάλιν εἰς τὸν οὐρανὸν, τοῦ Πατρὸς αὐτῷ προσφωνοῦντος καὶ λέγοντος, « Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς » σου ὑποπόδιον τῶν ποδῶν σου » (2).

Περὶ μελλούσης Κρίσεως.

ιά. Οὗτος Ἰησοῦς [ὁ] Χριστὸς ὁ ἀναβὰς, ἔρχεται πάλιν ἐξ οὐρανῶν, οὐκ (3) ἀπὸ γῆς· καὶ εἶπον, *οὐκ ἀπὸ γῆς*, ἐπειδὴ πολλοὶ μέλλουσιν Ἀντίχριστοι νῦν ἀπὸ γῆς ἔρχεσθαι (4). Ἤδη γὰρ, καθὼς ἐθεώρησας, ἤρξαντο πολλοὶ λέγειν, « ὅτι ἐγώ εἰμι ὁ Χριστός » (5), καὶ μέλλει λοιπὸν ἔρχεσθαι « τὸ βδέλυγμα τῆς ἐρημώσεως » (6) ψευδῆ προσηγορίαν ἑαυτῷ προστιθείς· Σὺ δέ μοι τὸν ἀληθῆ Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, μηκέτι λοιπὸν ἀπὸ γῆς ἐρχόμενον, ἀλλ' ἐξ οὐρανῶν προσδόκα· ὑπὲρ ἅπασαν ἀστραπὴν καὶ λαμπηδόνα φωτὸς τοῖς πᾶσι φαινόμενον, ὑπ' Ἀγγέλων δορυφορούμενον· ἵνα κρίνῃ ζῶντας καὶ νεκροὺς, καὶ βασιλεύῃ (7) βασιλείαν οὐ-

(1) Λουκ. ΚΔ', 51· καὶ Ζαχαρ. ΙΔ', 4.
(2) Πράξ. Ἀποστόλ. Β', 34—35. καὶ Ψαλμ. ΡΘ', 1.
(3) Ἐκ τοῦ ΒΤ. — Μ, οὐδὲ
(4) Α'. Ἰωάν. Β', 18.
(5) Ματθ. ΚΔ', 5.
(6) Αὐτόθ. 15.
(7) Ἐκ τοῦ ΒΤ. — Μ, βασιλεύοντα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ράνιον, αἰώνιον καὶ ἀτελεύτητον. Ἀσφαλίζου γάρ μοι καὶ ἐν τούτῳ, ἐπειδὴ πολλοί εἰσιν οἱ λέγοντες, τέλος εἶναι τῆς Χριστοῦ βασιλείας.

Περὶ Ἁγίου Πνεύματος.

ιϚ'. Πίστευε καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὴν αὐτὴν ἔχε περὶ αὐτοῦ δόξαν, ἣν παρέλαβες ἔχειν περὶ Πατρὸς καὶ Υἱοῦ· καὶ μὴ κατὰ τοὺς τὰ δύσρημα περὶ αὐτοῦ διδάσκοντας. Σὺ δὲ μάνθανε, ὅτι ἓν ἐστι τοῦτο τὸ ἅγιον Πνεῦμα, ἀδιαίρετον, πολυδύναμον, πολλὰ μὲν ἐνεργοῦν, αὐτὸ δὲ μὴ μεριζόμενον· τὸ γινῶσκον τὰ μυστήρια· τὸ ἐρευνῶν *πάντα, καὶ τὰ βάθη τοῦ Θεοῦ* (1)· τὸ ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐν εἴδει περιστερᾶς κατελθόν· τὸ ἐν νόμῳ καὶ Προφήταις ἐνεργῆσαν· τὸ καὶ νῦν κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος σφραγίζον τὴν ψυχήν· οὗ καὶ πᾶσα νοητὴ φύσις χρείαν ἔχει τῆς ἁγιότητος· εἰς ὃ βλασφημῆσαί τις ἐὰν τολμήσῃ, οὐκ *ἔχει ἄφεσιν, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι* (2)· ὅπερ σὺν Πατρὶ καὶ Υἱῷ τῇ τῆς θεότητος δόξῃ τετίμηται· οὗ καὶ χρείαν ἔχουσι Θρόνοι καὶ Κυριότητες, Ἀρχαὶ καὶ Ἐξουσίαι (3). Εἷς γάρ ἐστι Θεὸς, ὁ τοῦ Χριστοῦ Πατήρ· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς ὁ τοῦ μόνου Θεοῦ μονογενὴς (4) Υἱός (5)· [καὶ] ἓν τὸ Πνεῦμα τὸ ἅγιον, τὸ πάντων ἁγιαστικὸν, καὶ θεοποιὸν, τὸ ἐν νόμῳ καὶ Προφήταις, παλαιᾷ τε καὶ καινῇ Διαθήκῃ λαλῆσαν. Ταύτην ἔχε τὴν σφραγῖδα ἐν τῇ διανοίᾳ σου πάντοτε· ἥτις νῦν μὲν κατὰ ἀνακεφαλαίωσιν ἀκροθιγῶς [σοι] εἴρηται· εἰ δὲ παράσχοι ὁ Κύριος, μετὰ τῆς [ἐκ] τῶν Γραφῶν ἀποδείξεως κατὰ δύναμιν ῥηθήσεται. Δεῖ γὰρ περὶ τῶν θείων καὶ ἁγίων τῆς πίστεως μυστηρίων, μηδὲ τὸ τυχὸν ἄνευ τῶν θείων παραδίδοσθαι Γραφῶν· καὶ μὴ (6) ἁπλῶς πιθανότητι καὶ λόγων κατασκευαῖς παραφέρεσθαι. Μηδὲ ἐμοὶ τῷ ταῦτά σοι λέγοντι ἁπλῶς πιστεύσῃς, ἐὰν τὴν ἀπόδειξιν τῶν καταγγελλομένων ἀπὸ τῶν θείων

(1) Α' πρὸς Κορινθ. Β', 10.
(2) Ματθ. ΙΒ', 32.
(3) Πρὸς Κολοσ. Α', 16.
(4) Ἐκ τοῦ ΒΓ.— Μ, μόνου Θεοῦ μονογενοῦς Θεοῦ υἱός.
(5) Α' πρὸς Κορινθ. Η', 6. (6) Μ, μηδὲ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ λάβῃς Γραφῶν. Ἡ σωτηρία γὰρ αὕτη τῆς πίστεως ἡμῶν, οὐκ ἐξ εὑρεσιλογίας, ἀλλὰ ἐξ ἀποδείξεως τῶν θείων ἐστὶ Γραφῶν.

Περὶ Ψυχῆς.

ιγ'. Μετὰ δὲ τὴν γνῶσιν τῆς σεμνῆς καὶ ἐνδόξου ταύτης καὶ παναγίας πίστεως, καὶ σεαυτὸν γνῶθι λοιπὸν ὅς τις εἶ· ὅτι διπλοῦς ἄνθρωπος καθέστηκας, ἐκ ψυχῆς τε καὶ σώματος συγκείμενος· καὶ ὅτι, καθὼς πρὸ βραχέος εἴρηται, ὁ αὐτὸς Θεὸς καὶ τῆς ψυχῆς καὶ τοῦ σώματός ἐστι δημιουργός. Καὶ γίνωσκε, [ὅτι] ψυχὴν ἔχεις αὐτεξούσιον, ἔργον Θεοῦ κάλλιστον, κατ' εἰκόνα τοῦ πεποιηκότος· ἀθάνατον, διὰ τὸν ἀπαθανατίζοντα Θεόν· ζῶον λογικόν, ἄφθαρτον, διὰ τὸν ταῦτα χαρισάμενον· ἐξουσίαν ἔχον ποιεῖν ἃ βούλεται. Οὐ γὰρ κατὰ γένεσιν ἁμαρτάνεις, οὔτε κατὰ τύχην πορνεύεις, οὔτε, καθὼς ληροῦσί τινες, αἱ τῶν ἄστρων πλοκαὶ ταῖς ἀσελγείαις σε προσέχειν ἀναγκάζουσι. Τί φεύγων ὁμολογῆσαι τὰ σεαυτοῦ κακὰ, τοῖς ἀναιτίοις ἄστροις προσγράφεις τὴν αἰτίαν ; Μή μοι πρόσεχε λοιπὸν ἀστρολόγοις· περὶ γὰρ τούτων λέγει ἡ θεία Γραφή· « Στήτωσαν, καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρα- » νοῦ » (1)· καὶ ἑξῆς· « Ἰδοὺ πάντες ὡς ῥυγανον ἐπὶ πυρὶ κα- » τακαυθήσονται, καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλο- » γός » (2). Μάνθανε δὲ καὶ τοῦτο, ὅτι πρὶν παραγένηται εἰς τὸν δε τὸν κόσμον ἡ ψυχὴ, οὐδὲν ἥμαρτεν· ἀλλ' ἐλθόντες ἀναμάρτητοι, νῦν ἐκ προαιρέσεως ἁμαρτάνομεν. Μή μοι κακῶς τινος ἀκούσῃς ἐξηγουμένου τὸ, « Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ » (3)· ἀλλὰ μέμνησο τοῦ λέγοντος· « Ἐὰν θέλητε καὶ εἰσακούσησθέ μου, » τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσησθέ » μου, μάχαιρα ὑμᾶς κατέδεται » (4), καὶ τὰ ἑξῆς. Καὶ πάλιν. « Ὡς περ παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ » τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ἡμῶν

(1) Ἡσαΐου ΜΖ', 13.
(2) Αὐτόθ. 14.
(3) Πρὸς Ῥωμ. Ζ', 16.
(4) Ἡσαΐου Α', 19, 20.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν » (1). Καὶ μέμνησο τῆς Γραφῆς λεγούσης· « Καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώ- » σει » (2)· καὶ ὅτι, « τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐ- » τοῖς » (3)· καὶ ὅτι « τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν » (4)· καὶ τοῦ Θεοῦ πάλιν ἐγκαλοῦντος, καὶ λέγοντος· « Ἐγὼ δὲ ἐφύτευ- » σά [σε] ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς » πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία ; » (5).

ιδ΄. Ἀθάνατός ἐστιν ἡ ψυχὴ· καὶ ὁμοῖαι [πᾶσαι] αἱ ψυχαί εἰσιν ἀνδρῶν τε καὶ γυναικῶν· τὰ γὰρ μέλη τοῦ σώματος διακέκριται μόνον. Οὐκ ἔστι τάγμα ψυχῶν κατὰ φύσιν ἁμαρτανουσῶν, καὶ τάγμα ψυχῶν κατὰ φύσιν δικαιοπραγουσῶν· ἀλλ' ἐκ προαιρέσεως ἀμφότερα, μονοειδοῦς καὶ ὁμοίας οὔσης ἐν ἅπασι τῆς τῶν ψυχῶν ὑποστάσεως. Οἶδα μὲν οὖν πολλὰ λέγων (6), καὶ ὡς ὁ καιρὸς ἤδη πολύς ἐστιν· ἀλλὰ τί σωτηρίας προτιμότερον ; Οὐ βούλει καμὼν (7) λαβεῖν ἐφόδια πρὸς τοὺς αἱρετικούς ; Οὐδὲ θέλεις γνῶναι τῆς ὁδοῦ τὰς παρεκτροπὰς, ἵνα μὴ κατὰ κρημνὸν ἐξ ἀγνοίας ἐνεχθῇς ; Εἰ οἱ διδάσκοντες ἡγοῦνται κέρδος οὐ μικρὸν τὸ σὲ ταῦτα μαθεῖν· σὺ ὁ μανθάνων, ἆρα οὐκ ὀφείλεις ἡδέως δέχεσθαι τῶν λεγομένων τὸ πλῆθος ; Αὐτεξούσιός ἐστιν ἡ ψυχή· καὶ ὁ διάβολος, τὸ μὲν ὑποβάλλειν δύναται· τὸ δὲ καὶ ἀναγκάσαι παρὰ προαίρεσιν, οὐκ ἔχει τὴν ἐξουσίαν. Ὑπογράφει σοι πορνείας λογισμόν· ἐὰν θέλῃς, ἐδέξω· ἐὰν μὴ θέλῃς, οὐκ ἐδέξω. Εἰ γὰρ κατ' ἀνάγκην ἐπόρνευες, καὶ τίνος ἕνεκα τὴν γέενναν ἡτοίμασεν (8) ὁ Θεός ; Εἰ κατὰ φύσιν, ἀλλ' οὐ κατὰ προαίρεσιν ἐδικαιοπράγεις, τίνος ἕνεκεν στεφάνους ἀνεκδιηγήτους ἡτοίμασεν ὁ Θεός ; Πρᾷόν ἐστι τὸ πρόβατον, ἀλλ' οὐδέποτε τοῦτο διὰ τὴν πραότητα ἐστεφανώθη· ἐπειδὴ τὸ πρᾷον οὐκ ἐκ προαιρέσεως, ἀλλ' ἐκ φύσεως αὐτῷ πρόσεστιν.

(1) Πρὸς Ῥωμ. ς΄, 18.
(2) Πρὸς Ῥωμ. Α΄, 28.
(3) Αὐτόθ. 19.
(4) Ματθ. ΙΓ΄, 15· καὶ Ἡσ. ς΄, 10· καὶ Πράξ. Ἀποστ. ΚΗ΄, 27.
(5) Ἱερεμ. Β΄, 21.
(6) ΒΤ. — Μ, λέγειν.
(7) ΒΤ. — Μ, κακῶν.
(8) ΒΤ.— Μ, ἑτοίμαζεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Περὶ σώματος.

ιέ. Ἔγνως, ἀγαπητὲ, καθ' ὅσον ἐγχωρεῖ τέως, τὰ περὶ ψυχῆς· δέξαι κατὰ δύναμιν καὶ τὸν περὶ τοῦ σώματός σου λόγον. Μή τινος τῶν λεγόντων ἀνάσχῃ, ἀλλότριον Θεοῦ τοῦτο εἶναι τὸ σῶμα. Οἱ γὰρ ἀλλότριον [Θεοῦ] εἶναι τὸ σῶμα πιστεύοντες, [καὶ] ὡς ἐν ἀλλοτρίῳ σκεύει [τὴν ψυχὴν κατοικεῖν], τούτῳ (1) καὶ εἰς πορνείας ἑτοίμως ἀποκέχρηνται. Τί δὲ [καὶ] κατέγνωσαν τοῦ θαυμασίου τούτου σώματος; Τί μὲν γὰρ ἐν εὐπρεπείᾳ λείπεται; τί δὲ οὐκ ἔστιν ἔντεχνον τῆς κατασκευῆς; ἆρα οὐκ ἐχρῆν αὐτοὺς κατανοῆσαι, ὀφθαλμῶν μὲν λαμπροτάτην κατάστασιν; ὅπως δὲ τὰ ὦτα πλαγίως ἐγκείμενα, ἀνεμπόδιστον δέχεται τὴν ἀκοήν; καὶ ὅπως ἡ ὄσφρησις μέν ἐστι [τῶν ἀτμῶν] διακριτικὴ, καὶ τῶν ἀναθυμιάσεων ἀντιληπτική; ἡ γλῶττα δὲ ὅπως διισσῶν πραγμάτων ἐστὶ διάκονος, γευστικῆς ἕξεως, καὶ διαλεκτικῆς ἐνεργείας; ὅπως ὁ πνεύμων ἐν ἀποκρύφοις κείμενος, ἄπαυστον ἔχει τοῦ ἀέρος τὴν ἀναπνοήν; τίς ὁ ἐνθεὶς παλμὸν καρδίᾳ ἀδιάλειπτον; τίς ὁ διελὼν εἰς φλέβας καὶ ἀρτηρίας τοσαύτας; τίς ὁ τοῖς νεύροις τὰ ὀστέα σορῶς ἐνείρας; τίς ὁ τῆς τροφῆς μέρος μὲν εἰς ὑπόστασιν δοὺς, μέρος δὲ εἰς εὐσχήμονα (2) διάκρισιν διακρίνας; καὶ τὰ τῆς ἀσχημοσύνης μέλη, ἐν εὐσχημοτέροις (3) ἀποκρύψας τόποις; τίς μέλλουσαν ἐκλείπειν τὴν τῶν ἀνθρώπων φύσιν, δι' εὐτελοῦς κοινωνίας ἀκατάπαυστον συνεστήσατο;

ιζ'. Μὴ λέγε μοι τὸ σῶμα παραίτιον ἁμαρτίας εἶναι. Εἰ γὰρ τὸ σῶμα τῆς ἁμαρτίας αἴτιον, διὰ τί νεκρὸς οὐχ ἁμαρτάνει; παράθες ξίφος τῇ δεξιᾷ τοῦ τελευτηκότος ἀρτίως, καὶ φόνος οὐ γίνεται. Διὰ τετελευτηκότος ἀρτίως νέου κάλλη παντοῖα παρερχέσθω, καὶ ἐπιθυμία πορνείας οὐ γίνεται. Διὰ τί; ἐπειδὴ τὸ σῶμα οὐχ ἁμαρτάνει καθ' ἑαυτὸ, ἀλλὰ διὰ [τοῦ] σώματος ἡ ψυχή. Ἐργαλεῖόν ἐστι τὸ σῶμα, καὶ ὥς περ ἱμάτιον καὶ στολὴ ψυχῆς. Κἂν μὲν ὑπὸ ταύτης πορνείᾳ παραδοθῇ, γίνεται ἀκάθαρτον· ἐὰν δὲ ἁγίᾳ ψυχῇ συνοι-

(1) ΒΤ.—Μ, πιστεύοντες, ὡς ἐν ἀλλοτρίῳ σκεύει τούτῳ, καὶ εἰς κτλ.
(2) Αὐτόθεν.—Μ, ἀσχήμονα.
(3) Αὐτόθεν.—Μ, ἀσχημοτέροις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κήσῃ, γίνεται ναὸς ἁγίου Πνεύματος. Οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλὰ Παῦλος ὁ Ἀπόστολος εἴρηκεν· « Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑ-» μῶν ναὸς τοῦ ἐνὸς ὑμῖν ἁγίου Πνεύματός ἐστι;» (1). Φεῖσαι τοί-νυν τοῦ σώματος, ὡς ναοῦ Πνεύματος ἁγίου τυγχάνοντος· μὴ φύ-ρῃς ἐν πορνείαις τὴν σάρκα σου· μὴ μολύνῃς σου τὴν καλλίστην ταύ-την στολήν. Εἰ δὲ καὶ ἐμόλυνας, ἀπόπλυνε νῦν διὰ μετανοίας· ἀ-πόλουσαι ἕως καιρὸς παρέχει. Καὶ τὸν περὶ σωφροσύνης λόγον, προηγουμένως μὲν ἀκουέτω τῶν μοναζόντων καὶ τῶν παρθένων τὸ τάγμα, τῶν τὸν ἰσάγγελον βίον ἐν κόσμῳ κατορθούντων [· ἑπο-μένως δὲ καὶ ὁ λοιπὸς τῆς Ἐκκλησίας λαός]. Μέγας ὑμῖν ἀπό-κειται στέφανος, ἀδελφοί· μὴ μικρᾶς ἡδονῆς ἀντικαταλλάξητε μεγάλην ἀξίαν. Ἀκούσατε τοῦ Ἀποστόλου λέγοντος· « Μή τις » πόρνος ἢ βέβηλος ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο » τὰ πρωτοτόκια αὐτοῦ » (2). Ἐν ταῖς ἀγγελικαῖς (3) βίβλοις λοιπὸν ἐγγραφεὶς (4), διὰ τὴν πρόθεσιν τῆς σωφροσύνης, βλέπε μὴ πάλιν ἐξαλειφθῇς, διὰ τὴν πορνικὴν ἐργασίαν. Μηδ' αὖ πάλιν κατορθῶν τὴν σωφροσύνην, τυρωθῇς κατὰ τῶν ὑποβεβηκότων ἐν γάμῳ· » Τίμιος γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος » (5), ὡς φησὶν ὁ Ἀπόστολος. Καὶ σὺ ὁ τὴν ἁγνείαν ἔχων, ἆρα οὐκ ἐκ τῶν γεγαμηκότων ἐγεννήθης; Μὴ γὰρ ὅτι χρυσίου κτῆσιν ἔχεις, τὸ ἀρ-γύριον ἀποδοκίμαζε· ἀλλ' εὐέλπιδες ἔστωσαν καὶ οἱ ἐν γάμῳ νο-μίμως τῷ γάμῳ χρώμενοι· οἱ γάμον ἔνθεσμον, ἀλλὰ μὴ τοῦτον ἀσελγῆ κατασκευάζοντες, διὰ τὴν ἄμετρον ἐξουσίαν· οἱ γινώσκον-τες καιροὺς ἀνέσεως· « Ἵνα σχολάζωσι τῇ προσευχῇ » (6)· οἱ μετὰ τῶν ἐνδυμάτων καθαρὰ προσφέροντες ἐν ταῖς Συνάξεσιν εἰς ἐκ-κλησίαν τὰ σώματα· οἱ διὰ τὸ τεκνογονεῖν, ἀλλ' οὐ διὰ τὸ φιλη-δονεῖν, τῷ γάμῳ προσελθηλυθότες. Καὶ οἱ μονόγαμοι δὲ, τοὺς δευ-τέρῳ γάμῳ συμπεριενεχθέντας μὴ ἀποδοκιμαζέτωσαν· καλὸν μὲν

(1) Α' πρὸς Κορινθ. ϛ', 19.
(2) Πρὸς Ἑβρ. ΙΒ', 16.
(3) Ἐκ τοῦ ΒΤ.— Μ, εὐαγγελικαῖς.
(4) Αὐτόθεν.— Μ, ἐγγραφήσῃ.
(5) Πρὸς Ἑβρ. ΙΓ', 4.
(6) Α' πρὸς Κορινθ. Ζ', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ ἡ ἐγκράτεια καὶ θαυμάσιον, συγγνωστὸν δὲ καὶ τῷ δευτέρῳ γάμῳ προσελθεῖν, ἵνα μὴ πορνεύσωσιν οἱ ἀσθενεῖς· « Καλὸν μὲν » γὰρ αὐτοῖς, ἐὰν μείνωσιν ὡς κἀγώ, » φησὶν ὁ Ἀπόστολος· « εἰ δὲ » οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι, » ἢ πυροῦσθαι » (1). Τὰ δὲ λοιπὰ πάντα ἐξοριζέσθω μακρὰν, πορνεία, μοιχεία, καὶ πᾶν τὸ τῆς ἀκολασίας εἶδος. Τετηρήσθω δὲ τὸ σῶμα τῷ Κυρίῳ καθαρὸν, ἵνα καὶ ὁ Κύριος ἐπιβλέψῃ τῷ σώματι. Τρεφέσθω δὲ τὸ σῶμα σιτίοις, ἵνα ζῇ, καὶ ἀνεμποδίστως ὑπηρετῇ· οὐ μὴν ἵνα πρὸς τρυφὰς ἐκδοθῇ.

Περὶ βρωμάτων.

ιζ'. Καὶ περὶ τροφῶν ἔστω ὑμῖν ταῦτα τὰ δόγματα· ἐπειδὴ πολλοὶ καὶ περὶ τὰ βρώματα πταίουσιν. Οἱ μὲν γὰρ τοῖς εἰδωλοθύτοις ἀδιαφόρως προσέρχονται· οἱ δὲ ἀσκοῦσι μὲν, κατακρίνουσι δὲ τοὺς ἐσθίοντας. Καὶ διαφόρως ἐν τῷ περὶ βρωμάτων λόγῳ τινῶν ἡ ψυχὴ μολύνεται, ἀγνοούντων, τοῦ τε ἐσθίειν καὶ μὴ, τὰς ἐπωφελεῖς αἰτίας. Νηστεύομεν γὰρ, οἴνου τε καὶ κρεῶν ἀπεχόμενοι, οὐχ ὡς βδελύγματα μισοῦντες, ἀλλὰ τὸν μισθὸν προσδοκῶντες· ἵνα αἰσθητῶν ὑπεριδόντες, ἀπολαύσωμεν πνευματικῆς καὶ νοητῆς τραπέζης· καὶ ἵνα νῦν « Σπείραντες ἐν δάκρυσιν, ἐν » ἀγαλλιάσει θερίσωμεν » (2) ἐν τῷ μέλλοντι αἰῶνι. Μὴ τοίνυν καταρρόνει τῶν ἐσθιόντων, καὶ διὰ τὴν τῶν σωμάτων ἀσθένειαν μεταλαμβανόντων (3)· μηδὲ ψέγε τοὺς ὀλίγῳ οἴνῳ χρωμένους, διὰ τὸν στόμαχον καὶ τὰς πυκνὰς ἀσθενείας (4)· μήτε ὡς ἀλλότρια μίσει τὰ κρέα· οἶδε γάρ τινας τοιούτους ὁ Ἀπόστολος λέγων, « Κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν » εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς » (5). Ἀπεχόμενος τοίνυν τούτων, μὴ ὡς βδελυκτῶν ἀπέχου, ἐπεὶ μισθὸν οὐκ ἔχεις· ἀλλ' ὡς καλῶν ὄντων ὑπερφρόνει, διὰ τὰ προκείμενα νοητὰ

(1) Α' πρὸς Κορινθ. Ζ', 8—9.
(2) Ψαλμ. ΡΚΕ', 5.
(3) Πρὸς Ῥωμ. ΙΔ', 3.
(4) Α' πρὸς Τιμόθ. Ε', 23.
(5) Α' πρὸς Τιμόθ. Δ', 3.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καλλίονα. Ἀσφάλισαί σου τὴν ψυχὴν, μὴ ποτέ τι φάγῃς τῶν τοῖς εἰδώλοις προσενεχθέντων· περὶ γὰρ τούτων οὐκ ἐμοὶ [νῦν] μόνον, ἀλλ' ἤδη καὶ τοῖς Ἀποστόλοις, καὶ Ἰακώβῳ τῷ ταύτης τῆς Ἐκκλησίας ἐπισκόπῳ σπουδὴ γέγονε (1). Καὶ γράφουσιν οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι, πᾶσι τοῖς ἔθνεσι καθολικὴν ἐπιστολὴν, προηγουμένως τῶν εἰδωλοθύτων ἀπέχεσθαι, ἔπειτα δὲ καὶ αἵματος καὶ πνικτοῦ (2). Πολλοὶ γὰρ τῶν ἀνθρώπων θηριώδεις ὄντες, καὶ κυνῶν δίκην ζῶντες, τὸ μὲν αἷμα λάπτουσιν, ἀγριωτάτων θηρίων τρόπον [μιμούμενοι]· τὰ πεπνιγμένα δὲ κατεσθίουσιν ἀρειδῶς. Σὺ δὲ ὁ τοῦ Χριστοῦ δοῦλος, ἐσθίων, ἔχε τὸ μετ' εὐλαβείας ἐσθίειν. Καὶ περὶ μὲν βρωμάτων αὐτάρκως.

ιή. Ἔνδυσις δέ σοι λιτὴ περικείσθω, μὴ πρὸς καλλωπισμὸν, ἀλλὰ πρὸς ἀναγκαίαν σκέπην· μηδὲ ἵνα χαυνωθῇς, ἀλλ' ἵνα ἐν χειμῶνι θερμανθῇς, καὶ τοῦ σώματος τὴν ἀσχημοσύνην καλύπτῃς. Μὴ προράσει τοῦ τὴν ἀσχημοσύνην καλύπτειν, ταῖς περιέργοις στολαῖς εἰς ἑτέραν ἀσχημοσύνην ἐμπέσῃς.

Περὶ τῆς Ἀναστάσεως.

ιθ'. Φείδου μοι, παρακαλῶ, τοῦ σώματος τούτου, καὶ γίνωσκε, ὅτι ἐκ νεκρῶν ἐγερθήσῃ, μετὰ τοῦ σώματος τούτου κριθησόμενος. Εἰ δέ σοι τις ἀπιστίας λόγος ὑπεισέρχεται, ὡς ἀδυνάτου τοῦ πράγματος τυγχάνοντος, ἐκ τῶν καθ' ἑαυτὸν σκόπει τὰ μὴ φαινόμενα. Σὺ [γὰρ] αὐτὸς εἰπέ μοι, πρὸ ἑκατὸν ἢ πλειόνων ἐτῶν, λόγισαι ποῦ ἦσθα· ἐκ ποίας δὲ σμικροτάτης καὶ εὐτελεστάτης ὑποστάσεως, εἰς τοσοῦτον ἡλικίας μέγεθος, καὶ τοσαύτην ὡραιότητος ἀξίαν κατέστης. Εἶτα, ὁ τὸ μὴ ὂν εἰς τὸ εἶναι παραγαγὼν, τὸ ὂν ἤδη, καὶ διαπεσὸν, αὖθις ἤδη ἀναστῆσαι οὐ δύναται; Ὁ τὸν δι' ἡμᾶς σπειρόμενον σῖτον, κατ' ἐνιαυτὸν νεκρούμενον ἐγείρων, ἆρα ἡμᾶς αὐτοὺς δι' οὓς κἀκεῖνος ἐγήγερται, δυσκόλως ἀναστήσει; Ὁρᾷς ὅπως τὰ δένδρα νῦν ἐπὶ τοσούτοις μησὶν ἄκαρπα καὶ ἄφυλλα καθέστηκεν, ἀλλὰ ὅλα, τοῦ χειμῶνος παρελθόντος, αὖθις (3)

(1) Πράξ. Ἀποστ. ΙΕ', 13, 20, 29.
(2) Αὐτόθ. ΚΑ', 25.
(3) ΒΤ.— Μ, αὐτόθι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὥς περ ἐκ νεκρῶν ἀναβιοῖ; Οὐ πολλῷ μᾶλλον ἡμεῖς καὶ εὐκοπώτερον ἀναζήσομεν; Ῥάβδος Μωσέως εἰς φύσιν ὄφεως ἀνοίκειον βουλῇ Θεοῦ μετεβλήθη (1)· καὶ ἄνθρωπος, ὁ πεσὼν εἰς θάνατον, πάλιν εἰς ἑαυτὸν οὐκ ἀποκαθίσταται; Μὴ πρόσεχε τοῖς λέγουσιν, ὅτι οὐκ ἐγείρεται τὸ σῶμα τοῦτο· ἐγείρεται γάρ· καὶ μάρτυς Ἡσαΐας λέγων· « Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν » τοῖς μνημείοις » (2). Καὶ ὁ τῷ Δανιὴλ προσδιαλεγόμενος ἄγγελος· «Καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐγερθήσονται, » οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι, εἰς αἰσχύνην αἰώνιον» (3). Ἀλλὰ τὸ μὲν ἀναστῆναι, πάντων ἐστὶν ἀνθρώπων· οὐχ ὁμοία δὲ πᾶσιν ἡ ἀνάστασις. Πάντες μὲν γὰρ αἰώνια λαμβάνομεν τὰ σώματα, ἀλλ' οὐχ ὅμοια ἅπαντες. Οἱ δίκαιοι μὲν γὰρ, ἵνα διαιωνίζοντες ἀγγέλοις συγχορεύσωσιν· οἱ δὲ ἁμαρτωλοὶ, ἵνα εἰς αἰῶνας τῶν ἁμαρτημάτων ὑπομείνωσι τὴν βάσανον. Διὰ τοῦτο, προλαβὼν κατὰ φιλανθρωπίαν ὁ Κύριος, λουτρὸν μετανοίας ἔδωκεν, ἵνα τὸ πολὺ τῶν ἁμαρτιῶν, μᾶλλον δὲ τὸ πᾶν φορτίον ἀποῤῥίψαντες, καὶ ἁγίῳ Πνεύματι τὴν σφραγῖδα λαβόντες, κληρονόμοι γενώμεθα ζωῆς αἰωνίου. Ἀλλὰ περὶ τοῦ λουτροῦ πρώην αὐτάρκως εἰρηκότες, ἐπὶ τὰ λείποντα τῶν εἰσαγωγικῶν μαθημάτων λοιπὸν ἐπανέλθωμεν.

Περὶ τῶν Θείων Γραφῶν.

κ'. Ταῦτα δὲ διδάσκουσιν ἡμᾶς αἱ θεόπνευστοι Γραφαὶ τῆς παλαιᾶς τε καὶ καινῆς Διαθήκης. Εἷς γάρ ἐστιν ὁ τῶν δύο Διαθηκῶν Θεὸς, ὁ τὸν ἐν τῇ καινῇ φανέντα Χριστὸν, ἐν τῇ παλαιᾷ προκαταγγείλας· ὁ διὰ νόμου καὶ προφητῶν εἰς Χριστὸν παιδαγωγήσας· « Πρὸ γὰρ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα· » καὶ «ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν» (4). Κἂν ποτε τῶν αἱρετικῶν ἀκούσῃς τινὸς βλασφημοῦντος νόμον ἢ προφήτας, ἀντίφθεγξαι τὴν σωτήριον φωνὴν λέγων· «Οὐκ ἦλθεν Ἰη-

(1) Ἐξόδ. Δ', 3.
(2) Ἡσαΐου ΚΣ', 19.
(3) Δαν. ΙΒ', 2.
(4) Πρὸς Γαλάτ. Γ', 23 καὶ 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» σοῦς καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι » (1). Καὶ φιλομαθῶς ἐπίγνωθι [καὶ] παρὰ τῆς Ἐκκλησίας, ποῖαι μέν εἰσιν αἱ τῆς παλαιᾶς Διαθήκης βίβλοι, ποῖαι δὲ τῆς καινῆς, καί μοι μηδὲν τῶν ἀποκρύφων ἀναγίνωσκε. Ὁ γὰρ τὰ παρὰ πᾶσιν ὁμολογούμενα μὴ εἰδὼς, τί περὶ τὰ ἀμφιβαλλόμενα ταλαιπωρεῖς μάτην ; Ἀναγίνωσκε τὰς θείας Γραφὰς, τὰς εἴκοσι δύο βίβλους τῆς παλαιᾶς Διαθήκης, τὰς ὑπὸ τῶν ἑβδομήκοντα δύο ἑρμηνευτῶν ἑρμηνευθείσας.

κά. Ἀλεξάνδρου γὰρ τοῦ Μακεδόνων βασιλέως τελευτήσαντος, καὶ τῆς βασιλείας εἰς τέσσαρας διαιρεθείσης ἀρχὰς, εἴς τε τὴν Βαβυλωνίαν, καὶ τὴν Μακεδονίαν, Ἀσίαν τε καὶ τὴν Αἴγυπτον, εἷς τῶν τῆς Αἰγύπτου βασιλευόντων, Πτολεμαῖος ὁ Φιλάδελφος, φιλολογώτατος γενόμενος βασιλεὺς, [καὶ] τὰς (2) πανταχοῦ βίβλους συναθροίζων, παρὰ Δημητρίου τοῦ Φαληρέως, τοῦ τῆς βιβλιοθήκης προνοητοῦ, περὶ τῶν νομικῶν καὶ προφητικῶν θείων Γραφῶν ἐπακούσας· καὶ πολὺ κάλλιον κρίνας, οὐ παρὰ ἀκόντων ἀναγκαστῶς τὰ βιβλία κτήσασθαι, ἀλλ' ἐξιλεώσασθαι δώροις μᾶλλον καὶ φιλίᾳ τοὺς ἔχοντας· καὶ γινώσκων ὅτι τὸ μὲν ἀναγκαστὸν δολοῦται πολλάκις, ἀπροαιρέτως διδόμενον, τὸ δ' ἐκ προαιρέσεως παρεχόμενον (3) σὺν ἀληθείᾳ τῇ πάσῃ (4) δωρεῖται, Ἐλεαζάρῳ τῷ τότε ἀρχιερεῖ, πλεῖστα δῶρα πέμψας εἰς τὸν ἐνταῦθα τῶν Ἱεροσολύμων ναὸν, ἓξ κατὰ φυλὴν τῶν δώδεκα τοῦ Ἰσραὴλ φυλῶν πρὸς ἑαυτὸν εἰς ἑρμηνείαν ἐποίησεν ἀποστεῖλαι. Εἶτα, καὶ τοῦ θείας ἢ μὴ τὰς βίβλους εἶναι λαμβάνων ἀπόπειραν, καὶ [πρὸς] τὸ μὴ συνδυάσαι πρὸς ἀλλήλους τοὺς ἀποσταλέντας ὑποπτεύσας, ἐν τῇ λεγομένῃ Φάρῳ, τῇ πρὸς Ἀλεξάνδρειαν κειμένῃ, τῶν παραγενομένων ἑρμηνευτῶν ἑκάστῳ ἴδιον οἶκον ἀπονείμας, ἑκάστῳ πάσας τὰς Γραφὰς ἐπέτρεψεν ἑρμηνεῦσαι. Τούτων δὲ ἐν ἑβδομήκοντα καὶ δύω ἡμέραις [τὸ πρᾶγμα] πληρωσάντων, τὰς ὁμοῦ πάντων ἑρμηνείας, [ἃς] κατὰ διαφόρους οἴκους, ἀλλήλοις μὴ προσιέντες, ἐποιήσαντο, συναγαγὼν (5)

(1) Ματθ. Ε', 17.
(2) Ἐν ἀμφοτέροις (M καὶ BT) τὰς κατὰ πανταχοῦ.
(3) BT. — M, διδόμενον.
(4) BT. — M, τοῖς πᾶσι.
(5) BT.— ἀντὶ τοῦ ἐν τῷ M, ἐποίησαν τὸ συναγωγὸν κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπὶ τὸ αὐτὸ, οὐ μόνον ἐν νοήμασιν, ἀλλὰ καὶ ἐν λέξεσιν εὗρε συμφώνους (1). Οὐ γὰρ εὐρεσιλογίᾳ καὶ κατασκευῇ σοφισμάτων ἀνθρωπίνων ἦν τὸ γινόμενον, ἀλλ' ἐκ Πνεύματος ἁγίου ἡ τῶν (2) ἁγίῳ Πνεύματι λαληθεισῶν θείων Γραφῶν ἑρμηνεία συνετελεῖτο.

κϐ'. Τούτων τὰς εἴκοσι δύο βίβλους ἀναγίνωσκε· πρὸς δὲ τὰ ἀπόκρυφα μηδὲν ἔχε κοινόν. Ταύτας μόνας μελέτα σπουδαίως, ἃς καὶ ἐν Ἐκκλησίᾳ μετὰ παῤῥησίας ἀναγινώσκομεν. Πολύ σου φρονιμώτεροι [καὶ εὐλαϐέστεροι] ἦσαν οἱ Ἀπόστολοι, καὶ οἱ ἀρχαῖοι ἐπίσκοποι, οἱ τῆς Ἐκκλησίας προστάται, οἱ ταύτας παραδόντες. Σὺ οὖν, τέκνον τῆς Ἐκκλησίας ὤν, μὴ παραχάραττε τοὺς θεσμούς. Καὶ τῆς μὲν παλαιᾶς Διαθήκης, ὡς εἴρηται, τὰς εἴκοσι δύο μελέτα βίβλους, ἃς, εἰ φιλομαθὴς τυγχάνεις, ἐμοῦ λέγοντος, ὀνομαστὶ μεμνῆσθαι σπούδασον. Τοῦ νόμου μὲν γάρ εἰσιν αἱ Μωσέως πρῶται πέντε βίβλοι, Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον. Ἐξῆς δὲ, Ἰησοῦς υἱὸς Ναυῆ· [καὶ] τῶν Κριτῶν μετὰ τῆς Ῥοὺθ, βιβλίον ἕβδομον ἀριθμούμενον. Τῶν δὲ λοιπῶν ἱστορικῶν βιβλίων, [ἡ] πρώτη καὶ [ἡ] δευτέρα τῶν Βασιλειῶν, μία παρ' Ἑβραίοις ἐστὶ βίβλος· μία δὲ, καὶ ἡ τρίτη καὶ ἡ τετάρτη· ὁμοίως δὲ παρ' αὐτοῖς καὶ τῶν Παραλειπομένων ἡ πρώτη καὶ ἡ δευτέρα, μία τυγχάνει βίβλος· καὶ τοῦ Ἔσδρα ἡ πρώτη καὶ ἡ δευτέρα, μία λελόγισται· δωδεκάτη βίβλος, ἡ Ἐσθήρ. Καὶ τὰ μὲν ἱστορικὰ ταῦτα. Τὰ δὲ στιχηρὰ τυγχάνει πέντε· Ἰὼϐ, καὶ βίβλος Ψαλμῶν, καὶ Παροιμίαι, καὶ Ἐκκλησιαστὴς, καὶ Ἆσμα ἀσμάτων ἑπτακαιδέκατον βιβλίον. Ἐπὶ δὲ τούτοις τὰ προφητικὰ πέντε· τῶν δώδεκα προφητῶν μία βίβλος, καὶ Ἡσαΐου μία, καὶ Ἱερεμίου [μία] μετὰ Βαρούχ, καὶ Θρήνων, καὶ Ἐπιστολῆς· εἶτα Ἰεζεκιήλ· καὶ ἡ τοῦ Δανιὴλ εἰκοστὴ δευτέρα βίβλος τῆς παλαιᾶς Διαθήκης. Τῆς δὲ καινῆς Διαθήκης, τὰ τέσσαρα Εὐαγγέλια· τὰ δὲ λοιπὰ ψευδεπίγραφα καὶ βλαϐερὰ τυγχάνει. Ἔγραψαν καὶ Μανιχαῖοι κατὰ Θωμᾶν εὐαγγέλιον, ὅπερ, εὐωδίᾳ (3) τῆς εὐαγγελικῆς προσωνυμίας, διαφθείρει τὰς ψυχὰς τῶν ἁπλουστέρων. Δέχου δὲ καὶ τὰς Πράξεις τῶν

(1) Ἐκ τοῦ ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, συμφωνοῦντας.
(2) Τῶν, ΒΤ. — ἀντὶ τοῦ ἐν τῷ Μ, τῷ.
(3) ΒΤ. — Μ, ὅπερ, ὡς περ εὐωδίᾳ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δώδεκα Ἀποστόλων. Πρὸς τούτοις δὲ καὶ τὰς ἑπτά, Ἰακώβου καὶ Πέτρου, Ἰωάννου, καὶ Ἰούδα, καθολικὰς ἐπιστολάς· ἐπισφράγισμα δὲ τῶν πάντων, καὶ μαθητῶν τὸ τελευταῖον, τὰς Παύλου δεκατέσσαρας ἐπιστολάς· τὰ δὲ λοιπὰ πάντα, ἔξω κείσθω ἐν δευτέρῳ· καὶ ὅσα μὲν ἐν Ἐκκλησίαις μὴ ἀναγινώσκεται, ταῦτα μηδὲ κατὰ σαυτὸν ἀναγίνωσκε, καθὼς ἤκουσας. Καὶ περὶ μὲν τούτων, ταῦτα.

κγ΄. Φεῦγε δὲ πᾶσαν διαβολικὴν ἐνέργειαν, καὶ μὴ πείθου τῷ δράκοντι τῷ ἀποστάτῃ, ὃς ἐξ ἀγαθῆς ὑποστάσεως, αὐτοπροαίρετον ἔσχε τὴν μεταβολήν· ὃς ἀναπεῖσαι μὲν δύναται τοὺς θέλοντας, ἀναγκάσαι δὲ οὐδένα. Καὶ μήτε ἀστρολογίαις, μήτε ὀρνεοσκοπίαις, μήτε κληδόσι πρόσεχε, μηδὲ ταῖς μυθώδεσι τῶν Ἑλλήνων μαντείαις. Φαρμακείαν καὶ ἐπαοιδίαν, καὶ τὰ νεκυομαντειῶν παρανομώτατα πράγματα, μηδὲ μέχρις ἀκοῆς παραδέχου. Ἀπόστηθι παντὸς ἀκολασίας εἴδους, μήτε γαστριμάργων, μήτε φιληδονῶν, ὑπεράνω τε φιλαργυρίας ἁπάσης καὶ τοῦ τοκίζειν γενόμενος (1). Μήτε δὴ θεωριῶν ἐθνικοῖς ἀθροίσμασι παράβαλλε· μηδὲ ἐπιδέσμασιν ἐν νόσοις χρήσῃ ποτέ. Ἀποστρέφου δὲ πᾶσαν καὶ τοῦ καπηλοδύτου τὴν χυδαιότητα. [Καὶ μήτε εἰς Σαμαρειτισμόν, ἢ Ἰουδαϊσμὸν ἐκπέσῃς· ἐλυτρώσατο γάρ σε λοιπὸν Ἰησοῦς ὁ Χριστός.] Πάσης σαββάτων παρατηρήσεως ἀπόστηθι, καὶ τοῦ (2) κοινὸν ἢ ἀκάθαρτον λέγειν τι εἶναι τῶν ἀδιαφόρων βρωμάτων. Ἐξαιρέτως δὲ μίσει πάντα τὰ συνέδρια τῶν παρανόμων αἱρετικῶν· καὶ παντοίως τὴν σεαυτοῦ ψυχὴν ἀσφαλίζου νηστείαις, προσευχαῖς (3), ἐλεημοσύναις, καὶ θείων λογίων ἀναγνώσμασιν· ἵνα μετὰ σωφροσύνης καὶ δογμάτων εὐσεβῶν, τὸν ἐπίλοιπον ἐν σαρκὶ βιώσας χρόνον, τῆς μιᾶς τοῦ λουτροῦ σωτηρίας ἀπολαύσῃς· στρατολογηθείς τε οὕτως ἐν οὐρανίαις στρατιαῖς τῷ Πατρὶ καὶ Θεῷ, καὶ τῶν οὐρανίων καταξιωθῇς (4) στεφάνων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) ΒΤ. — Μ, βουλόμενος.
(2) Αὐτόθ. — Μ, καὶ τὸ
(3) ΒΤ.— Μ, νηστείαις προσέχων.
(4) ΒΤ. — Μ, καταξιωθείς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ Ε'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, περὶ Πίστεως· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἑβραίους· « Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις » κτλ. (1).

ά. ΗΛΙΚΟΝ ὑμῖν ἀξίωμα δίδωσιν ὁ Κύριος ἀπὸ [τοῦ] Κατηχουμένων τάγματος εἰς τὸ τῶν Πιστῶν μετατιθεμένοις, Παῦλος ὁ Ἀπόστολος παριστὰς, φησί « Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς » κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ » (2). Θεοῦ γὰρ *πιστοῦ* καλουμένου, καὶ σὺ ταύτην τὴν προσηγορίαν λαμβάνεις, μέγα λαμβάνων ἀξίωμα. Ὡς περ γὰρ καλεῖται Θεὸς ἀγαθὸς, καὶ δίκαιος, καὶ παντοκράτωρ, καὶ δημιουργὸς τῶν ὅλων, οὕτω καὶ πιστός. Λόγισαι τοίνυν εἰς ὁποῖον ἀξίωμα ἀναβαίνεις, Θεοῦ μέλλων προσηγορίας γίνεσθαι κοινωνός. Ὥδε οὖν ζητεῖται (3) λοιπὸν, ἵνα τις [ἐξ] ὑμῶν πιστὸς ἐκ συνειδήσεως εὑρεθῇ· « Ἄνδρα γὰρ » πιστὸν ἔργον ἐστὶν εὑρεῖν » (4)[φησίν]. Οὐχ ἵνα ἐμοὶ δείξῃς σου τὴν συνείδησιν(οὐ γὰρ *ὑπὸ ἀνθρωπίνης ἡμέρας* ἀνακρίνεσθαι μέλλεις (5))· ἀλλ' ἵνα τῷ Θεῷ δείξῃς τῆς πίστεως τὸ ἄδολον, *τῷ ἑτάζοντι νεφροὺς καὶ καρδίας*(6),*καὶ γινώσκοντι τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων* (7). Μέγα τι πρᾶγμά ἐστι πιστὸς ἀνὴρ, παντὸς πλουσίου τυγχάνων πλουσιώτερος· « Τοῦ πιστοῦ γὰρ ὅλος ὁ κόσμος τῶν χρημάτων » (8), τὸ ὑπερφρονεῖν αὐτὰ καὶ καταπατεῖν. Οἱ μὲν γὰρ κατὰ τὸ φαινόμενον πλουτοῦντες, καὶ πολλὰ κεκτημένοι, πένητές εἰσι τὴν ψυχήν· ὅσῳ γὰρ πολλὰ συνάγουσι, τοσούτῳ τῇ τῶν λειπόντων ἐπιθυμίᾳ τήκονται· ὁ δὲ πιστὸς ἀνὴρ, τὸ παραδοξότατον, ἐν πενίᾳ πλουτεῖ. Εἰδὼς γὰρ, ὅτι δεῖ μόνον ἔ-

(1) Πρὸς Ἑβρ. ΙΑ', 1.
(2) Α' πρὸς Κορινθ. Α', 9.
(3) ΒΤ. — Μ, ζητεῖτε.
(4) Παροιμ. Κ', 6.
(5) Α' πρὸς Κορινθ. Δ', 3.
(6) Ψαλμ. Ζ', 10.
(7) Ψαλμ. ϟΓ', 11.
(8) Παροιμ. ΙΖ', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χειν σκεπάσματα καὶ τροφὰς, καὶ τούτοις ἀρκούμενος (1), πεπάτηκε τὸν πλοῦτον.

6'. Καὶ οὐ παρ' ἡμῖν γε μόνοις, τοῖς τὴν τοῦ Χριστοῦ προσηγορίαν ἔχουσι, μέγα τὸ τῆς πίστεώς ἐστιν ἀξίωμα· ἀλλὰ γὰρ καὶ πάντα τὰ ἐν τῷ κόσμῳ τελούμενα, καὶ τὰ ὑπὸ τῶν ἀλλοτρίων τῆς Ἐκκλησίας, τῇ πίστει τελεῖται. Πίστει τοὺς ἀπεξενωμένους γαμικοὶ νόμοι συνάπτουσιν εἰς ταὐτόν· καὶ ἄνθρωπος ἀλλότριος, σωμάτων καὶ χρημάτων [ἀλλοτρίων], διὰ τὴν ἐν γαμικοῖς συμβολαίοις πίστιν, γίνεται κοινωνός. Πίστει καὶ γεωργία συνίσταται· ὁ γὰρ μὴ πιστεύων λήψεσθαι καρποφορίαν, οὐχ ὑπομένει τοὺς καμάτους. Πίστει θαλαττεύοντες ἄνθρωποι, μικροτάτῳ ξύλῳ πιστεύσαντες, τὴν ἄστατον τῶν κυμάτων φορὰν τοῦ στερροτάτου στοιχείου, τῆς γῆς, ἀντικαταλλάττονται· ἀθήλοις ἑαυτοὺς ἐπιδιδόντες ἐλπίσι, καὶ πάσης ἀγκύρας ἀσφαλεστέραν ἐπαγόμενοι τὴν πίστιν. Κατὰ πίστιν τοίνυν συνέστηκε τὰ πλεῖστα τῶν ἀνθρώπων πράγματα· καὶ οὐ παρ' ἡμῖν μόνοις τοῦτο πεπίστευται, ἀλλὰ καὶ παρὰ τοῖς ἔξωθεν, καθὼς εἴρηται. Κἂν γὰρ μὴ δέχωνται τὰς Γραφὰς, οἰκεῖα δέ τινα προσφέρουσι διδάγματα, πίστει κἀκεῖνα παραδέχονται. Ἐπὶ τὴν πίστιν ἡμᾶς τὴν ἀληθῆ καλεῖ καὶ ἡ σήμερον ἀνάγνωσις γενομένη, τὴν ὁδὸν ἡμᾶς παραστήσασα, πῶς δὴ τῷ Θεῷ καὶ ἡμᾶς εὐαρεστῆσαι· [φησὶ γὰρ, ὅτι « Χωρὶς πίστεως ἀδύνα- » τόν ἐστιν εὐαρεστῆσαι » (2)]. Πότε γὰρ προθήσεται (3) ἄνθρωπος δουλεῦσαι τῷ Θεῷ, μὴ πιστεύων ὅτι γίνεται μισθαποδότης; Πότε παρθενεύσει κόρη, ἢ καὶ σωφρονήσει νέος, μὴ πιστεύων ὅτι τῆς ἁγνείας ἀμάραντός ἐστι στέφανος; Ὀφθαλμὸς πάσης συνειδήσεώς ἐστι φωτιστικὸς ἡ πίστις, καὶ συνέσεως ἐμποιητικός. Λέγει γὰρ ὁ προφήτης· « Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε » (4). Ἐμφράττει στόματα λεόντων ἡ πίστις, κατὰ τὸν Δανιήλ (5)· φησὶ [γὰρ] ἡ Γραφὴ περὶ αὐτοῦ, « Ὅτι ἀνηνέχθη Δανιὴλ ἐκ τοῦ λάκκου » καὶ πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσεν ἐν τῷ

(1) Α' πρὸς Τιμόθ. ϛ', 8.
(2) Πρὸς Ἑβρ. ΙΑ', 6. (3) ΒΤ. — Μ, προσθήσεται.
(4) Ἡσαΐου Ζ', 9.
(5) Πρὸς Ἑβρ. ΙΑ', 33.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» Θεῷ αὐτοῦ » (1). Ἔστι τι τοῦ διαβόλου δεινότερον; ἀλλὰ καὶ πρὸς τοῦτον οὐδὲν ἕτερον ὅπλον ἔχομεν, ἢ τὴν πίστιν (2), ἀσώματον θυρεὸν κατ' ἐχθροῦ μὴ φαινομένου. Ἀποστέλλει μὲν γὰρ βέλη ποικίλα, καὶ κατατοξεύει ἐν σκοτομήνῃ (3) τοὺς μὴ νήφοντας· ἀλλ' ἐπειδὴ μὴ φαίνεται ὁ ἐχθρός, περίβλημα κραταιὸν ἔχομεν τὴν πίστιν, κατὰ τὸν Ἀπόστολον λέγοντα· « Ἐν πᾶσιν ἀναλαβόντες » τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πο» νηροῦ τὰ πεπυρωμένα σβέσαι » (4). Πεπυρωμένον πολλάκις βέλος ἐπιθυμίας αἰσχρᾶς ἡδονῆς, ἐκ διαβόλου πέμπεται· ἀλλ' ἡ πίστις ὑπογράφουσα τὴν κρίσιν, καταψύξασα τὸν νοῦν, σβέννυσι τὸ βέλος.

γ'. Καὶ πολὺς ὁ περὶ τῆς πίστεως λόγος, καὶ οὐκ ἀρκετὸς ἡμῖν ὁ πᾶς τῆς ἡμέρας διηγουμένοις χρόνος. Αὐτάρκης δὲ τέως ἡμῖν ἔστω τῶν ἐκ τῆς παλαιᾶς τύπων μόνος Ἀβραάμ, ἐπειδὴ κἀκείνου γεγόναμεν υἱοὶ διὰ τῆς πίστεως. Ἐκεῖνος οὐκ ἐξ ἔργων μόνον ἐδικαιώθη, ἀλλ' ἐκ πίστεως (5). Πολλὰ μὲν γὰρ κατώρθωσεν· ἀλλ' οὐδέποτε φίλος Θεοῦ ἐκλήθη, ἀλλ' ὅτε ἐπίστευσε (6)· καὶ πᾶν δὲ ἔργον αὐτοῦ κατὰ πίστιν τετέλεσται. Κατέλιπε γονέας διὰ πίστιν· κατέλιπε πατρίδα, καὶ χώραν, καὶ οἰκίαν διὰ τὴν πίστιν (7). Ὡς περ οὖν ἐκεῖνος ἐδικαιώθη, καὶ σὺ δικαιώθητι. Νεκρὸς ἦν λοιπὸν τῷ σώματι πρὸς τεκνογονίαν· πρεσβύτης γὰρ ἦν, καὶ πρεσβύτιδα λοιπὸν ἔσχε τὴν γαμετὴν Σάῤῥαν, καὶ τεκνογονίας ἐλπὶς οὐδεμία κατελείπετο (8). Ὁ Θεὸς τῷ πρεσβύτῃ τεκνογονίαν ἐπαγγέλλεται (9)· « Καὶ μὴ ἀσθενήσας τῇ πίστει » ὁ Ἀβραὰμ, « καὶ κατανοήσας τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμέ» νον »· οὐ τῇ τοῦ σώματος ἀσθενείᾳ, ἀλλὰ τῇ δυνάμει τοῦ ἐπαγγέλλοντος προσέχων (10), πιστὸν ἡγησάμενος τὸν ἐπαγγειλάμενον

(1) Δαν. ς', 23.
(2) Α' Πέτρ. Ε', 9.
(3) Ψαλμ. Γ', 2.
(4) Πρὸς Ἐφες. ς', 16.
(5) Γενές. ΙΕ', 6· καὶ πρὸς Ῥωμ. Δ', 1—3, 11—12· καὶ πρὸς Γαλάτ. Γ', 6—7.
(6) Ἰακώβ. Β', 21, 23.
(7) Πρὸς Ἑβρ. ΙΑ', 8—10.
(8) Γενές. ΙΗ', 11—12.
(9) Γενές. ΙΖ', 19, 21.
(10) Πρὸς Ῥωμ. Δ', 19.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

(1), ὥς περ ἐκ νενεκρωμένων σωμάτων παραδόξως τὸ τέκνον ἐκτήσατο. Καὶ μετὰ τὸ κτήσασθαι κελευσθεὶς προσενέγκαι τὸν υἱὸν (2), καίτοι γε ἀκούσας τό, «Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα» (3), προσέφερε τὸν υἱὸν τὸν μονογενῆ τῷ Θεῷ, πιστεύσας, « Ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δύναται ὁ Θεὸς» (4). Καὶ συμποδίσας τὸν υἱὸν, καὶ τοῖς ξύλοις ἐπιθεὶς, τῇ προαιρέσει μὲν προσήνεγκεν, ἀγαθωσύνῃ δὲ Θεοῦ τὸν υἱὸν ἔλαβε ζῶντα, ἀμνὸν αὐτῷ παραδόντος ὑπὲρ τοῦ τέκνου (5). Ἐπὶ τούτοις, πιστὸς ὢν, ἐσφραγίσθη εἰς δικαιοσύνην, καὶ περιτομὴν ἔλαβε σφραγῖδα τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ· λαβὼν ἐπαγγελίαν, ὅτι πατὴρ ἔσαι πολλῶν ἐθνῶν (6). Πῶς τοίνυν πατήρ ἐστι πολλῶν ἐθνῶν ὁ Ἀβραὰμ, ἴδωμεν. Ἰουδαίων μὲν γάρ ἐστιν ὁμολογουμένως, διὰ τὴν κατὰ σάρκα διαδοχήν. Εἰ δὲ τῇ κατὰ σάρκα προσέχωμεν, ψευδὲς εἰπεῖν ἀναγκασθησόμεθα τὸ λόγιον· οὐκέτι γὰρ κατὰ σάρκα ἡμῶν πάντων ἐστὶ πατήρ· ἀλλ' ὁ τύπος τῆς ἐκείνου πίστεως, πάντας ἡμᾶς υἱοὺς ποιεῖ τοῦ Ἀβραάμ (7). Πῶς καὶ τίνα τρόπον; Ἄπιστον παρὰ ἀνθρώποις τὸ ἐκ νεκρῶν ἀναστῆναί τινα, ὥς περ ὁμοίως ἄπιστον καὶ τὸ ἐκ νενεκρωμένων πρεσβυτῶν τεκνογονίαν γενέσθαι· ἀλλὰ Χριστοῦ καταγγελλομένου, ἐν ξύλῳ μὲν ἐσταυρωμένου, ἀποθανόντος δὲ καὶ ἀναστάντος, ἡμεῖς πιστεύομεν. Τῇ τοίνυν ὁμοιότητι τῆς πίστεως, εἰς υἱοθεσίαν ἐρχόμεθα τοῦ Ἀβραάμ· καὶ τότε μετὰ τὴν πίστιν, ὁμοίως ἐκείνῳ τὴν πνευματικὴν λαμβάνομεν σφραγῖδα, ἁγίῳ Πνεύματι διὰ τοῦ λουτροῦ περιτεμνόμενοι, οὐ σώματος τὴν ἀκροβυστίαν, ἀλλὰ τὴν καρδίαν, κατὰ τὸν Ἱερεμίαν τὸν λέγοντα· « Καὶ περι-» τεμεῖσθε τῷ Θεῷ τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν» (8)· καὶ κατὰ τὸν Ἀπόστολον· «Ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι », καὶ τὰ ἑξῆς (9).

(1) Πρὸς Ἑβρ. ΙΑ', 11, 12.
(2) Γενέσ. ΚΒ', 2 κ' ἑπ.
(3) Γενέσ. ΚΑ', 12· καὶ πρὸς Ἑβρ. ΙΑ', 18.
(4) Πρὸς Ἑβρ. ΙΑ', 19
(5) Γενέσ. ΚΒ', 9, 13.
(6) Πρὸς Ῥωμ. Δ', 9—11 καὶ 17· καὶ Γενέσ. ΙΖ', 5.
(7) Πρὸς Ῥωμ. Δ', 18, 24, 25.
(8) Ἱερεμ. Δ', 4.
(9) Κολοσ. Β', 11, 12.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ'. Ταύτην ἐὰν τηρήσωμεν τὴν πίστιν, ἀκατάγνωστοι (1) ἐσόμεθα, καὶ παντοίοις ἀρετῶν εἴδεσι κοσμηθησόμεθα. Τοσοῦτον γὰρ ἰσχύει ἡ πίστις, ὡς καὶ ἀνθρώπους ἐπὶ θαλάσσης κουφίζειν περιπατοῦντας. Ἄνθρωπος ὅμοιος ἡμῖν ἦν ὁ Πέτρος, ἐξ αἵματος καὶ σαρκὸς συγκείμενος, καὶ ἐκ τῶν ὁμοίων τροφῶν διαγινόμενος· ἀλλ' εἰπόντι τῷ Ἰησοῦ (2), *ἐλθὲ*, πιστεύσας, *περιεπάτησεν ἐπὶ τὰ ὕδατα* (3), πάσης κρηπῖδος ἀσφαλεστέραν ἐπὶ τοῖς ὕδασιν ἔχων τὴν πίστιν· καὶ τὸ βαρὺ σῶμα, τῇ κουφότητι τῆς πίστεως [ἣν] μετεωριζόμενον. Ἀλλὰ μέχρι μὲν ὅτου ἐπίστευσεν, ὑπὲρ τὸ ὕδωρ εἶχεν ἀσφαλῆ τὴν βάσιν· ὅτε δὲ ἐδίστασε, τότε ἤρξατο καταποντίζεσθαι. Χαυνουμένης γὰρ κατὰ μέρος τῆς πίστεως, συγκατεσπᾶτο καὶ τὸ σῶμα. Καὶ συνιδὼν αὐτοῦ τὸ πάθος, ἔλεγεν ὁ τῶν ψυχῶν τὰ πάθη διορθούμενος [Ἰησοῦς]· « Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; » (4). Καὶ πάλιν, νευρωθεὶς ὑπὸ τοῦ κρατήσαντος αὐτοῦ τὴν δεξιάν, ἀφ' οὗ πάλιν ἐπίστευσε, χειραγωγούμενος ὑπὸ τοῦ δεσπότου, τὸν αὐτὸν ἐπὶ τῶν ὑδάτων ἐπανέλαβε περίπατον· τοῦτο γὰρ πλαγίως (5) ἐμνημόνευσε τὸ Εὐαγγέλιον, εἰπὸν ὅτι· « Ἀναβάντων δὲ αὐτῶν ἐπὶ τὸ πλοῖον » (6). Οὐ γὰρ εἶπεν, ὅτι διακολυμβήσας ὁ Πέτρος *ἀναβέβηκεν*· ἀλλὰ *δίδωσι* νοεῖν, ὅτι ὅσον ἦλθε πρὸς τὸν Ἰησοῦν διάστημα, τοσοῦτον ἐπιστρέψας, πάλιν *ἀνέβη* ἐπὶ τὸ πλοῖον.

ε. Τοσοῦτον δὲ ἔχει δυνάμεως ἡ πίστις, ὥστε οὐ μόνος ὁ πιστεύων σώζεται, ἀλλὰ γὰρ καὶ οἱ ἄλλοι, ἄλλων πιστευσάντων ἐσώθησαν. Οὐκ ἦν πιστὸς ὁ παραλυτικὸς ὁ ἐν Καπερναούμ· ἀλλ' οἱ βαστάζοντες καὶ χαλάσαντες διὰ τῶν κεράμων ἐπίστευον· Συνενόσει γὰρ τῷ σώματι τοῦ νοσοῦντος καὶ ἡ ψυχή. Καὶ μή με νομίσῃς ἐκείνου κατηγορεῖν [μάτην]· αὐτὸ τὸ Εὐαγγέλιον εἴρηκεν· *Ἰδὼν ὁ Ἰησοῦς οὐ τὴν πίστιν αὐτοῦ, ἀλλὰ τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ, Ἔγειραι* (7)· οἱ βαστάζοντες ἐπίστευσαν,

(1) ΒΤ.— ἐν τῷ Μ προστίθεται, αὐτῷ. (2) ΒΤ.— Μ, εἰπόντος τοῦ Ἰησοῦ. (3) Ματθ. ΙΔ', 29.
(4) Ματθ. ΙΔ', 31.
(5) Ἐκ τοῦ ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, ἀρτίως.
(6) Ματθ. ΙΔ', 32.
(7) Μάρκ. Β', 3—12· καὶ Ματθ. Θ', 2 — 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ὁ παραλυτικὸς ἀπήλαυσε τῆς ἰάσεως. Καὶ θέλεις ἰδεῖν ἀσφαλέστερον, ὅτι πίστεσιν ἄλλων ἄλλοι διασώζονται; Ἐτελεύτησεν ὁ Λάζαρος· παρελήλυθει μία, καὶ δευτέρα, καὶ τρίτη ἡμέρα· διελύθη τὰ νεῦρα αὐτοῦ, καὶ σηπεδὼν λοιπὸν ἐπενέμετο τὸ σῶμα. Πῶς ἐδύνατο πιστεῦσαι νεκρὸς τετραήμερος, καὶ ὑπὲρ ἑαυτοῦ παρακαλέσαι τὸν λυτρωτήν; Ἀλλ' ὅπερ ἔλειπε τῷ τετελευτηκότι, τοῦτο διὰ τῶν γνησίων ἀδελφῶν ἐπληροῦτο. Ἐλθόντι [γὰρ] τῷ Κυρίῳ προσέπεσεν ἡ ἀδελφὴ, καὶ λέγοντι· *Ποῦ τεθείκατε αὐτόν*; ἀποκρινομένης ἐκείνης, *Κύριε, ἤδη ὄζει, τεταρταῖος γάρ ἐστι*· φησὶν ὁ Κύριος· *Ἐὰν πιστεύσῃς, ὄψῃ τὴν δόξαν τοῦ Θεοῦ*· μονονουχὶ λέγων, ὅτι σὺ τοῦ νεκροῦ τὸ λεῖπον τῆς πίστεως ἀναπλήρωσον. Καὶ τοσοῦτον ἴσχυσε τῶν ἀδελφῶν ἡ πίστις, ὥστε τὸν νεκρὸν ἐξ ᾅδου πυλῶν ἀνεκαλέσατο (1). Εἶτα ἕτεροι ὑπὲρ ἑτέρων πιστεύσαντες, ἐκ νεκρῶν ἀναστῆναι ἴσχυσαν· σὺ δὲ, ἐὰν περὶ (2) σεαυτοῦ πιστεύσῃς εἰλικρινῶς, ἆρ' οὐχὶ μᾶλλον ὠφεληθήσῃ; Ἀλλὰ κἂν ἄπιστος ᾖς ἢ ὀλιγόπιστος (3), φιλάνθρωπός ἐστιν ὁ Κύριος, συμπεριφέρεταί σοι μετανοοῦντι· μόνον εἰπὲ καὶ αὐτὸς εὐγνωμόνως· « Πιστεύω, Κύριε· » βοήθει μου τῇ ἀπιστίᾳ» (4). Εἰ δὲ [καὶ] πιστὸς εἶναι νομίζεις, ἀλλ' οὔπω [τὸ] τέλειον τῆς πίστεως ἔχεις, χρεία καί σοι κατὰ τοὺς Ἀποστόλους εἰπεῖν· «Κύριε, πρόσθες ἡμῖν πίστιν» (5)· τὸ μὲν γάρ τι παρὰ σεαυτοῦ ἔχεις, τὸ δέ τι παρ' ἐκείνου πολὺ λαμβάνεις.

ς'. Τὸ γὰρ τῆς πίστεως ὄνομα ἓν μέν ἐστι κατὰ τὴν προσηγορίαν, διχῇ δὲ διαιρεῖται. Ἔστι μὲν γὰρ ἓν εἶδος τῆς πίστεως, τὸ δογματικὸν, συγκατάθεσιν τῆς ψυχῆς ἔχον περὶ τοῦ δέ τινος· καὶ ὠφελεῖ τὴν ψυχὴν, καθὼς φησιν ὁ Κύριος· « Ὁ ἀκούων μου τὰ » ῥήματα, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον καὶ » εἰς κρίσιν οὐκ ἔρχεται » (6)· καὶ πάλιν· « Ὁ πιστεύων εἰς τὸν » Υἱὸν, οὐ κρίνεται· ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν

(1) Ἰωάν. ΙΑ', 17—44.
(2) Περὶ, ἐκ τοῦ ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, ὑπό
(3) Ἐκ τοῦ ΒΤ. — Μ, εὔπιστος.
(4) Μάρκ. Θ', 24.
(5) Λουκ. ΙΖ', 5.
(6) Ἰωάν. Ε', 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ζωήν »(1). Ὦ μεγάλης Θεοῦ φιλανθρωπίας. Οἱ δίκαιοι μὲν γὰρ ἐν πολλοῖς ἔτεσιν εὑηρέστησαν· ὅπερ δὲ ἐκεῖνοι δι' εὐαρεστήσεως πολλῶν ἐτῶν κατορθώσαντες ἐκτήσαντο, τοῦτό [σοι] νῦν (2) Ἰησοῦς διὰ μιᾶς ὥρας χαρίζεται. Ἐὰν γὰρ πιστεύσῃς, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, « Καὶ ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σωθήσῃ » (3), καὶ μετατεθήσῃ εἰς τὸν παράδεισον ὑπὸ τοῦ τὸν λῃστὴν εἰς παράδεισον εἰσαγαγόντος. Καὶ μὴ ἀπιστήσῃς εἰ δυνατόν ἐστιν· ὁ γὰρ τὸν λῃστὴν διὰ μιᾶς ὥρας πιστεύσαντα, σώσας ἐν τῷ ἁγίῳ τούτῳ Γολγοθᾷ (4), ὁ αὐτὸς καὶ σὲ πιστεύσαντα διασώσει. Δεύτερον δέ ἐστιν εἶδος πίστεως, τὸ ἐν χάριτος μέρει παρὰ τοῦ Χριστοῦ δωρούμενον· « Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος » σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ » πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων» (5). Αὕτη τοίνυν, ἡ κατὰ χάριν δωρουμένη πίστις ἐκ τοῦ Πνεύματος, οὐ δογματικὴ μόνον ἐστὶν, ἀλλὰ καὶ τῶν ὑπὲρ ἄνθρωπον ἐνεργητική. Ὃς γὰρ ἂν ἔχῃ τὴν πίστιν ταύτην, « Ἐρεῖ τῷ ὄρει τούτῳ, » Μετάβα ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται » (6). Ὅταν γὰρ κατὰ πίστιν εἴπῃ τόδε τις, πιστεύων ὅτι γίνεται, « Καὶ μὴ διακριθῇ » ἐν τῇ καρδίᾳ αὐτοῦ » (7), τότε λαμβάνει τὴν χάριν. Καὶ περὶ τῆς πίστεως ταύτης εἴρηται τὸ « Ἐὰν ἔχητε πίστιν ὡς κόκκον » σινάπεως » (8). Ὃν περ γὰρ τρόπον ὁ κόκκος τοῦ σινάπεως μικρὸς μέν ἐστι τὸ μέγεθος, διάπυρος δὲ τὴν ἐνέργειαν· καὶ ἐν ὀλίγῃ ἐσπαρμένος περιγραφῇ, μεγάλους κλάδους περιέχει, ὃς αὐξηθεὶς δύναται καὶ τὰ πετεινὰ σκεπάζειν· οὕτω καὶ ἡ πίστις ἐν τῇ ψυχῇ, ἐν ὀξυτάτῃ ῥοπῇ τὰ μέγιστα κατορθοῖ. Περὶ Θεοῦ μὲν γὰρ φαντάζεται, καὶ Θεὸν κατοπτεύει καθ' ὃ ἐὰν ἐγχωρῇ, τῇ πίστει

(1) Ἰωάν. Γ', 18. καὶ Ε', 24.

(2) Ἐκ τοῦ ΒΤ.— ἀντὶ τοῦ ἐν τῷ Μ, δι' ἐρευνήσεως . . ἐκτήσαντο, τοσοῦτο νῦν κτλ.

(3) Πρὸς Ῥωμ. Ι', 9.

(4) Λουκ. ΚΓ', 43.

(5) Α' πρὸς Κορινθ. ΙΒ', 8—9.

(6) Ματθ. ΙΖ', 20.

(7) Μάρκ. ΙΑ', 23.

(8) Ματθ. ΙΖ', 20.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φωτισθεῖσα· κόσμου τε τὰ πέρατα περιπολεῖ, καὶ πρὸ τῆς συντελείας τοῦ αἰῶνος τούτου τὴν κρίσιν ἤδη βλέπει, καὶ τὴν μισθαποδοσίαν τῶν ἐπαγγελιῶν.

ζ'. Ἔχε τοίνυν τὴν παρὰ σεαυτοῦ πίστιν, τὴν εἰς αὐτὸν, ἵνα λάβῃς καὶ παρ' ἐκείνου τὴν [τῶν] ὑπὲρ ἄνθρωπον ἐνεργητικήν. Πίστιν δὲ ἐν μαθήσει καὶ ἐπαγγελίᾳ κτῆσαι, καὶ τήρησον μόνην, τὴν ὑπὸ τῆς ἐκκλησίας νυνί σοι παραδιδομένην τὴν ἐκ πάσης γραφῆς ὠχυρωμένην. Ἐπειδὴ γὰρ οὐ πάντες δύνανται τὰς Γραφὰς ἀναγινώσκειν, ἀλλὰ τοὺς μὲν ἰδιωτεία, τοὺς δὲ ἀσχολία τις ἐμποδίζει πρὸς τὴν γνῶσιν· ὑπὲρ τοῦ μὴ τὴν ψυχὴν ἐξ ἀμαθείας ἀπολέσθαι, ἐν ὀλίγοις τοῖς στίχοις τὸ πᾶν δόγμα τῆς πίστεως περιλαμβάνομεν, ὅπερ καὶ ἐπ' αὐτῆς τῆς λέξεως μνημονεῦσαι ὑμᾶς βούλομαι, καὶ παρ' ἑαυτοῖς μετὰ πάσης σπουδῆς ἀπαγγεῖλαι, οὐκ εἰς χάρτας ἀπογραφομένους, ἀλλ' ἐν καρδίᾳ τῇ μνήμῃ (1) στηλογραφοῦντας· φυλαττομένους ἐν τῷ μελετᾷν, μή που τις κατηχούμενος ἐπακούσῃ τῶν παραδεδομένων· ἔχειν τε ταύτην ἐφόδιον ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς, καὶ παρὰ ταύτην ἄλλην μηκέτι δέξασθαι· μήτε ἂν ἡμεῖς αὐτοὶ μεταθέμενοι, τοῖς νῦν διδασκομένοις ἐναντιολογῶμεν (2)· μήτε [ἂν] ἄγγελος ἐναντίος, εἰς ἄγγελον φωτὸς μετασχηματισθείς, πλανῆσαί σε βούληται· « Κἂν γὰρ ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμᾶς παρ' ὃ νῦν παρελάβετε, ἀνάθεμα ὑμῖν ἔστω » (3). Καὶ τέως μὲν ταύτης τῆς λέξεως ἀκούων, μνημόνευσον τῆς Πίστεως· ἐκδέχου δὲ κατὰ τὸν δέοντα καιρὸν τῆν ἀπὸ τῶν θείων Γραφῶν περὶ ἑκάστου τῶν ἐγκειμένων σύστασιν. Οὐ γὰρ ὡς ἔδοξεν ἀνθρώποις συνετέθη τὰ τῆς Πίστεως· ἀλλ' ἐκ πάσης Γραφῆς τὰ καιριώτατα συλλεχθέντα, μίαν ἀναπληροῖ τὴν τῆς Πίστεως διδασκαλίαν. Καὶ ὅν περ τρόπον ὁ τοῦ σινάπεως σπόρος ἐν μικρῷ κόκκῳ πολλοὺς περιέχει τοὺς κλάδους, οὕτω καὶ ἡ Πίστις αὕτη, ἐν ὀλίγοις ῥήμασι, πᾶσαν τὴν ἐν τῇ παλαιᾷ καὶ καινῇ τῆς εὐσεβείας γνῶσιν ἐγκεκόλπισται.

---

(1) Μνήμῃ κατὰ δοτικὴν, ἐκ τοῦ BT. — ἐν τῷ M, τὴν μνήμην.
(2) Ἐκ τοῦ BT. — ἀντὶ τοῦ ἐν τῷ M, ἐναντιολογῶμεν.
(3) Πρὸς Γαλάτ. Α', 8—9· καὶ Α' πρὸς Κορινθ. ΙΓ', 22.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ή. Βλέπετε οὖν, ἀδελφοί, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς νῦν παραλαμβάνετε (1), καὶ ἀπογράψασθε αὐτὰς εἰς τὸ πλάτος τῆς καρδίας ὑμῶν (2). Τηρήσατε μετ' εὐλαβείας, μή που συλήσῃ τινὰς χαυνωθέντας ὁ ἐχθρός· μή τις αἱρετικὸς παρατρέψῃ τι τῶν παραδιδομένων ὑμῖν. (3) Πίστις μὲν γάρ ἐστι τὸ βαλεῖν τὸ ἀργύριον ἐπὶ τὴν τράπεζαν(4), ὅπερ ἡμεῖς νῦν πεποιήκαμεν. Θεὸς δὲ παρ' ὑμῶν ἀπαιτεῖ τῆς παρακαταθήκης τοὺς λόγους· « Διαμαρτύρομαι », καθώς φησιν ὁ Ἀπόστολος, « ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος » τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου » Πιλάτου τὴν καλὴν ὁμολογίαν, τηρῆσαι » ταύτην ὑμᾶς τὴν παραδεδομένην πίστιν, « ἄσπιλον, μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου » ἡμῶν Ἰησοῦ Χριστοῦ » (5). Θησαυρὸς ζωῆς νῦν σοι παρεδόθη, καὶ κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ ζητεῖ τὴν παρακαταθήκην ὁ δεσπότης, « Ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνά- » στης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων, » ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὃν εἶδεν οὐδεὶς » ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται » (6). Ὧ ἡ δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Β' πρὸς Θεσσαλον. Β', 15.
(2) Παροιμ. Ζ', 3.
(3) Ἐκ τοῦ ΒΤ.— Μ, ἡμῖν.
(4) Λουκ. ΙΘ', 23.
(5) Α' πρὸς Τιμόθ. ϛ', 13—14.
(6) Αὐτόθ. ϛ', 15 καὶ 16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ Ϛ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, περὶ Θεοῦ μοναρχίας· καὶ εἰς τὸ « Πιστεύω εἰς ἕνα Θεόν »· καὶ περὶ αἱρέσεων. Καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· « Ἐγκαινίζεσθε πρός με νῆσοι· » Ἰσραὴλ σώζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον· οὐκ » αἰσχυνθήσονται, οὐδ' οὐ μὴ ἐντραπῶσιν ἕως τοῦ αἰῶνος. (1)

ά. **Εὐλογητὸς** ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (2)· εὐλογητὸς καὶ ὁ τούτου μονογενὴς υἱός (3). Ἅμα γὰρ τῷ νοεῖσθαι Θεὸς, νοείσθω καὶ Πατήρ· ἵνα ἀδιαίρετος ἡ Πατρὸς καὶ Υἱοῦ σὺν ἁγίῳ Πνεύματι δοξολογία τελῆται. Οὐ γὰρ ἄλλην δόξαν Πατὴρ καὶ ἄλλην Υἱὸς ἔχει, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν τῷ ἁγίῳ Πνεύματι· ἐπειδὴ Πατρὸς υἱός ἐστιν ὁ μονογενὴς, καὶ Πατρὸς δοξαζομένου, συναπολαύει τῆς δόξης καὶ ὁ Υἱός· ἐπειδὴ δόξα υἱοῦ ἐκ τιμῆς πατρὸς αὐτοῦ· καὶ πάλιν υἱοῦ δοξαζομένου, μεγάλως τιμᾶται ὁ τοῦ τοσούτου πατὴρ ἀγαθοῦ (4). Καὶ ἡ μὲν διάνοια ὀξύτατα νοεῖ· ἡ δὲ γλῶσσα ῥημάτων δεῖται καὶ διηγήσεως πολλῆς τῶν μεταξὺ λόγων. Ἅμα μὲν γὰρ ὀφθαλμὸς χορὸν ἄστρων περιλαμβάνει πολύν· ἀλλ' ὅταν τὸ καθ' ἕκαστον διηγήσασθαι βουληθῇ τις, τί μέν ἐστι φωσφόρος, τί δὲ ἕσπερος, τί δὲ τὸ καθ' ἓν, πολλῶν ἐπιδεῖται τῶν ῥημάτων. Πάλιν ὁμοίως, γῆν καὶ θάλατταν, καὶ πάντα τὰ τοῦ κόσμου τέρματα, ἐν ὀξυτάτῃ ροπῇ περιλαμβάνει ἡ διάνοια· ἀλλ' ὅπερ ἐν ἀκαριαίῳ νοεῖ, τοῦτο ἐν ῥήμασι πολλοῖς διηγεῖται. Μέγα μὲν οὖν καὶ τὸ ῥηθὲν παράδειγμα· ἀλλ' ἔτι ἀσθενὲς καὶ ἀνίσχυρον. Λέγομεν γὰρ οὐχ ὅσα δεῖ περὶ Θεοῦ (μόνῳ γὰρ αὐτῷ ταῦτα γνώριμα), ἀλλ' ὅσα κεχώρηκεν ἡ ἀνθρωπίνη φύσις, καὶ ὅσα [ἡ] ἡμετέρα ἀσθένεια βαστάσαι δύναται. Οὐ γὰρ τὸ τί ἐστι Θεὸς ἐξηγούμεθα· ἀλλ' ὅτι τὸ ἀκριβὲς περὶ αὐτοῦ οὐκ οἴδαμεν, μετ' εὐγνωμοσύνης ὁμολογοῦμεν· ἐν τοῖς

(1) Ἡσαΐου ΜΑ', 1· καὶ ΜΕ', 17.
(2) Β' πρὸς Κορινθ. Α', 3.
(3) Πρὸς Ῥωμ. Θ', 5.
(4) Παροιμ. ΙΖ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ περὶ Θεοῦ, μεγάλη γνῶσις τὸ τὴν ἀγνωσίαν ὁμολογεῖν· « Με-» γαλύνατε τοίνυν τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώτωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό » (1)· κοινῇ πάντες (ὁ γὰρ εἷς ἀδυνατεῖ)· μᾶλλον δὲ, κἂν πάντες ὁμοῦ συναχθῶμεν, οὔπω (2) τὸ καθ' ὃ δεῖ ποιήσομεν· οὐ λέγω τοὺς παρόντας ἡμᾶς (3) μόνους· ἀλλὰ γὰρ κἂν πάσης τῆς οἰκουμενικῆς Ἐκκλησίας, τῆς τε νῦν οὔσης καὶ τῆς μελλούσης, πάντα τὰ θρέμματα συνέλθοι (4), τὸν ποιμένα κατ' ἀξίαν ὑμνῆσαι οὐ δυνήσεται (5).

Ε'. Μέγας ἦν Ἀβραὰμ καὶ τίμιος· ἀλλὰ μέγας πρὸς ἀνθρώπους· ὅτε δὲ ἔφθασε πρὸς τὸν Θεὸν, τότε φησὶν εὐγνωμόνως ἀληθεύων· « Ἐγώ εἰμι γῆ καὶ σποδός » (6). Οὐκ εἶπε γῆ, καὶ ἐσίγησεν, ἵνα μὴ τὸ μέγα στοιχεῖον ἑαυτὸν ὀνομάσῃ· ἀλλὰ ἐπήγαγε καὶ σποδὸς (7), ἵνα τὸ εὐδιάλυτον αὐτοῦ καὶ σαθρὸν παραστήσῃ. Ἔστι τι, φησὶ, σποδοῦ σμικρότερον ἢ λεπτότερον; Λάβε γὰρ, φησὶ, τὴν σύγκρισιν σποδοῦ πρὸς οἰκίαν, καὶ οἰκίας πρὸς πόλιν, καὶ πόλεως πρὸς ἐπαρχίαν, καὶ ἐπαρχίας πρὸς τὴν Ῥωμαίων χώραν, καὶ τῆς Ῥωμαίων χώρας πρὸς πᾶσαν τὴν γῆν, καὶ πάντα τὰ τέρματα· πᾶσαν δὲ τὴν γῆν, πρὸς τὸν ἐγκεκολπισμένον αὐτὴν οὐρανόν· ἥτις τοσαύτην ἔχει πρὸς τὸν οὐρανὸν τὴν σύγκρισιν, ὅσην τὸ μέσον πρὸς πᾶσαν τὴν περιφέρειαν τοῦ τροχοῦ ἔχει· τοσαύτη γὰρ γῆς πρὸς οὐρανὸν ἡ σύγκρισις. Καὶ τὸν πρῶτον οὐρανὸν, τὸν φαινόμενον τοῦτον, μικρότερον εἶναι νόησον τοῦ δευτέρου· καὶ τὸν δεύτερον τοῦ τρίτου (μέχρι γὰρ τούτων ὠνόμασεν ἡ Γραφὴ (8)· οὐχ ὅτι τοσοῦτοι μόνοι (9) τυγχάνουσιν, ἀλλ' ὅτι τοσούτους μόνους ἡμῖν (10) γνῶναι συνέφερε)· καὶ ὅταν εἴδῃς τῷ νῷ πάντας τοὺς οὐ-

(1) Ψαλμ. ΛΓ', 4.
(2) Ἐκ τοῦ ΒΤ.— Μ, οὔτω.
(3) Αὐτόθεν, ἐν τῷ περισελίδῳ.— ἀντὶ τοῦ ἕν τε τῷ κειμένῳ ΒΤ καὶ ἐν τῷ Μ, ὑμᾶς.
(4) Αὐτόθεν. — Μ, εἰ συνέλθοι.
(5) Αὐτόθεν. — οὐ δύναντατ.
(6) Γενές. ΙΗ', 27.
(7) Ἐκ τοῦ ΒΤ. — Μ, ἀλλὰ σποδόν, ἵνα κτλ.
(8) Β' πρὸς Κορινθ. ΙΒ', 2.
(9) Ἐκ τοῦ ΒΤ. — Μ, μόνον.
(10) Ἐκ τοῦ ΒΤ. — Μ, τοσούτοις ἡμ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρανοὺς, οὕπω οὐδὲ οἱ οὐρανοὶ αἰνέσαι τὸν Θεὸν καθ' ὅ ἐστι δυνήσονται· οὐδ' ἂν βροντῆς μεγαλοφωνότερα ἠχῶσιν. Εἰ δὲ τὰ τοσαῦτα κύτη τῶν οὐρανῶν τὸν Θεὸν ὑμνῆσαι κατ' ἀξίαν οὐ δύνανται, πότε ἄρα γῆ καὶ σποδὸς, τὸ μικρότατον καὶ τῶν ὄντων ἐλαχιστότατον, ἄξιον ὕμνον ἀναπέμψαι τῷ Θεῷ δυνήσεται, ἢ ἀξίως εἰπεῖν περὶ Θεοῦ, « Τοῦ κατέχοντος τὸν γύρον τῆς γῆς, καὶ ἔ- » χοντος τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ὡς ἀκρίδας » (1);

γ'. Εἴ τις ἐπιχειρεῖ τὰ περὶ Θεοῦ λέγειν, πρῶτον διηγείσθω τῆς γῆς τὰ τέρματα. Γῆν οἰκεῖς, καὶ τὸ τέλος τῆς σῆς οἰκίας, τῆς γῆς, οὐ γινώσκεις· καὶ πῶς τὸν κατασκευαστὴν ἀξίως νοῆσαι δυνήσῃ; Θεωρεῖς τοὺς ἀστέρας, τὸν δὲ ποιητὴν οὐ θεωρεῖς· ἀρίθμησαι τοὺς φαινομένους, καὶ τότε τὸν μὴ φαινόμενον ἐξήγησαι· « Τὸν ἀριθμοῦντα πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλοῦντα » (2). Σταγόνες ὑετῶν λαβροτέρων προσράτως ἐπελθοῦσαι, μικροῦ δεῖν (3) ἀπώλεσαν ἡμᾶς. Ἀρίθμησον ταύτης μόνης τῆς πόλεως τὰς σταγόνας· καὶ οὐ λέγω τῆς πόλεως, ἀλλὰ τοῦ σοῦ δώματος εἰς μίαν ὥραν τὰς σταγόνας ἀρίθμησον, εἴ σοι δυνατόν. Ἀλλὰ ἀδύνατον· γίνωσκε σεαυτοῦ τὴν ἀσθένειαν, ἐκ τούτου γνῶθι τοῦ Θεοῦ τὴν δύναμιν· « Ἠρίθμηνται γὰρ αὐτῷ σταγόνες ὑετοῦ » (4), αἱ κατὰ πάσης τῆς οἰκουμένης οὐ νῦν χυθεῖσαι μόνον, ἀλλὰ καὶ αἱ πάντοτε. Ποίημα Θεοῦ ἥλιος, μέγα μέν· μικρότατον δὲ πρὸς σύγκρισιν τοῦ παντὸς οὐρανοῦ· ἐνατένισον πρῶτον ἡλίῳ, καὶ τότε τὸν δεσπότην πολυπραγμόνησον. « Βαθύτερά σου » μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ προσετάγη σοι, » ταῦτα διανοοῦ » (5).

δ'. Ἀλλ' ἐρεῖ τις, εἰ ἀκατάληπτός ἐστιν ἡ ὑπόστασις ἡ θεία, καὶ τί σὺ περὶ τούτων διηγῇ; Ἆρα οὖν ἐπειδὴ πάντα τὸν ποταμὸν ἐκπιεῖν ἀδυνατῶ, μηδὲ τὸ συμφέρον ἐμαυτῷ ἐμμέτρως λάβω; Ἆρα, ἐπειδὴ πάντα τὸν ἥλιον τῇ τῶν ὀμμάτων καταστάσει χωρῆσαι οὐ δύναμαι, μηδὲ πρὸς τὴν ἐμαυτοῦ χρείαν αὐταρκες

(1) Ἡσαΐου Μ', 22.
(2) Ψαλμ. ΡΜϛ', 4.
(3) δεῖν, ἐκ τοῦ ΒΤ.— Μ, δίκην.
(4) Ἰώβ Λϛ', 27.
(5) Σοφ. Σειράχ Γ', 21—22.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐμβλέψω ; ἢ καὶ ἐπειδὴ εἰς παράδεισον μέγαν εἰσελήλυθα, καὶ πᾶσαν τὴν τῶν ἀκροδρύων ὑπόστασιν φαγεῖν οὐ δύναμαι, βούλει με πεινῶντα τελείως ἐξελθεῖν ; Αἰνῶ καὶ δοξάζω τὸν ἡμᾶς ποιήσαντα· κέλευσμα γάρ ἐστι θεῖον τὸ λέγον· « Πᾶσα πνοὴ αἰνεσάτω » τὸν Κύριον » (1). Δοξάζειν τὸν δεσπότην, ἀλλ' οὐκ ἐξηγεῖσθαι νῦν ἐπιχειρῶ· εἰδὼς μέν τοι γε ὡς τοῦ δοξάζειν τῆς ἀξίας ἀπολειφθήσομαι, ἔργον δὲ εὐσεβείας ἡγούμενος τὸ κἂν ὅλως ἐπιχειρεῖν. Παραμυθεῖται γάρ μου τὴν ἀσθένειαν ὁ Κύριος Ἰησοῦς λέγων· « Θεὸν οὐδεὶς ἑώρακε πώποτε » (2). Τί οὖν, ἐρεῖ τις, οὐ γέγραπται, « Ὅτι οἱ Ἄγγελοι τῶν μικρῶν (3) βλέπουσι διὰ παντὸς τὸ » πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς » ; Ἀλλὰ βλέπουσιν οἱ ἄγγελοι, οὐ καθώς ἐστιν ὁ Θεὸς, ἀλλὰ καθόσον καὶ αὐτοὶ χωροῦσιν· αὐτὸς γάρ ἐστιν Ἰησοῦς ὁ λέγων· « Οὐχ ὅτι τὸν πατέρα » ἑώρακέ τις· εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πα» τέρα » (4). Βλέπουσιν οὖν οἱ Ἄγγελοι καθ' ὃ χωροῦσι, καὶ Ἀρχάγγελοι καθ' ὃ δύνανται, Θρόνοι δὲ καὶ Κυριότητες μειζόνως μὲν παρὰ τοὺς πρώτους, ἔλαττον δὲ τῆς ἀξίας· μόνον δὲ βλέπειν δύναται ὡς χρὴ, ἅμα τῷ Υἱῷ, τὸ Πνεῦμα τὸ ἅγιον· « Ἐκεῖνο γὰρ » πάντα ἐρευνᾷ καὶ γινώσκει, καὶ τὰ βάθη τοῦ Θεοῦ » (5)· ὡς γε καὶ ὁ μονογενὴς Υἱὸς γινώσκει καθ' ὃ δεῖ, ἅμα τῷ Πνεύματι τῷ ἁγίῳ, τὸν Πατέρα· « Οὐδὲ γὰρ τὸν Πατέρα τις ἐπιγινώσκει, φησὶν, εἰμὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ » (6)· βλέπει καθ' ὃ δεῖ, καὶ ἀποκαλύπτει σὺν τῷ Πνεύματι, καὶ διὰ τοῦ Πνεύματος, καθ' ὃ ἕκαστος χωρεῖ, τὸν Θεόν (7)· ἐπειδὴ καὶ τῆς θεότητος τῆς πατρικῆς ἐστι σὺν τῷ Πνεύματι τῷ ἁγίῳ κοινωνὸς ὁ Υἱὸς ὁ μονογενὴς· ὁ γεννηθεὶς ἀπαθῶς πρὸ τῶν χρόνων αἰωνίων,

(1) Ψαλμ. ΡΝ', 6.
(2) Ἰωάν. Α', 18.
(3) Ἐκ τοῦ ΒΤ—συμφώνως πρὸς τὸν ἐν τῷ Εὐαγγελίῳ ῥῆσιν· « Ὁρᾶτε μὴ κα» ταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων, λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν » κτλ. (Ματθ. ΙΗ', 10). — Μ, οἱ ἄγγελοι τῶν οὐρανῶν.
(4) Ἰωάν. ς', 46.
(5) Α' πρὸς Κορινθ. Β', 10.
(6) Ματθ. ΙΑ', 27.
(7) Ἰωάν. Α', 18.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἶδε τὸν γεννήσαντα· καὶ ὁ γεννήσας οἶδε τὸν γεγεννημένον. Ἀγγέλων τοίνυν ἀγνοούντων (κατὰ γὰρ τὴν οἰκείαν ἑκάστῳ δύναμιν ἀποκαλύπτει σὺν τῷ Πνεύματι, διὰ τοῦ Πνεύματος τοῦ ἁγίου, ὁ μονογενὴς, ὡς εἰρήκαμεν), μηδεὶς ἀνθρώπων ἐπαισχυνέσθω τὴν ἄγνοιαν ὁμολογεῖν. Καλῶ (1) νῦν ἐγὼ, καὶ [οἱ] πάντες κατὰ καιρόν· ἀλλὰ τὸ πῶς, εἰπεῖν ἀδυνατοῦμεν. Πῶς οὖν τὸν δόντα τὸ λαλεῖν δύναμαι διηγήσασθαι; Ὁ ψυχὴν ἔχων ἐγὼ, καὶ τοὺς χαρακτῆρας αὐτῆς εἰπεῖν μὴ δυνάμενος, πῶς τὸν δοτῆρα (2) τῆς ψυχῆς ἐξειπεῖν δυνήσομαι;

ε. Αὐτάρκες ἡμῖν εἰς εὐσέβειάν ἐστι τοῦτο μόνον, τὸ εἰδέναι ὅτι Θεὸν ἔχομεν· Θεὸν ἕνα, Θεὸν ὄντα, ἀεὶ ὄντα· ὅμοιον ἀεὶ ἑαυτῷ ὄντα· οὗ πατὴρ οὐκ ἔστιν ἄλλος· οὗ μηδεὶς ἰσχυρότερος, ὃν οὐδεὶς διαδεξάμενος ἐκβάλλει τῆς βασιλείας· τὸν πολυώνυμον, καὶ παντοδύναμον, καὶ μονοειδῆ τὴν ὑπόστασιν. Οὐ γὰρ ὅτι καλεῖται ἀγαθὸς, καὶ δίκαιος, καὶ παντοκράτωρ, καὶ Σαβαὼθ, παρὰ τοῦτο διάφορός ἐστι καὶ ἀλλοῖος· ἀλλ' εἷς ὢν καὶ [ὁ] αὐτὸς, μυρίας ἐκπέμπει τὰς τῆς θεότητος ἐνεργείας. Οὐκ ἐν μέρει πλέον ἔχων, καὶ ἐν μέρει ἐλαττούμενος· ἀλλ' ἐν πᾶσιν ὅμοιος ὢν αὐτὸς ἑαυτῷ. Οὐ μέγας ἐν φιλανθρωπίᾳ μόνον, καὶ μικρὸς ἐν σοφίᾳ· ἀλλ' ἰσοδύναμον ἔχων τῇ σοφίᾳ τὴν φιλανθρωπίαν. Οὐκ ἐν μέρει βλέπων, ἐν μέρει δὲ τοῦ βλέπειν ἀπεστερημένος· ἀλλ' ὅλος ὢν ὀφθαλμὸς, καὶ ὅλος ἀκοὴ, καὶ ὅλος νοῦς. Οὐχ ὡς ἡμεῖς ἐν μέρει νοῶν, καὶ ἐν μέρει μὴ γινώσκων· βλάσφημος γὰρ ὁ λόγος, καὶ θείας ὑποστάσεως ἀνάξιος. Προγνώστης ἐστὶ τῶν ὄντων, καὶ ἅγιος, καὶ παντοκράτωρ, καὶ πάντων ἀγαθώτερος, καὶ πάντων μείζων, καὶ πάντων σοφώτερος· οὗ μήτε ἀρχὴν, μήτε μορφὴν, μήτε εἶδος ἐξειπεῖν δυνησόμεθα· « Οὔτε γὰρ φωνῆς αὐτοῦ πώποτε ἀκηκόατε, οὔτε εἶδος » αὐτοῦ ἑωράκατε » (3), φησὶν ἡ θεία Γραφή· διὸ καὶ πρὸς τοὺς Ἰσραηλίτας φησὶν ὁ Μωσῆς· « Καὶ φυλάξασθε σφόδρα ταῖς ψυχαῖς » ὑμῶν, ὅτι ὁμοίωμα οὐκ εἴδετε » (4)· εἰ γὰρ ὅλως τὴν ὁ-

(1) Ἐκ τοῦ BT.— M, καλῶν.
(2) Ἐκ τοῦ BT.— M, σωτῆρα.
(3) Ἰωάν. Ε', 37.
(4) Δευτερονομ. Δ', 15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μοιότητα ἀδύνατον φαντασθῆναι, ἐγγὺς ἔσται ἄρα ἡ διάνοια τῆς ὑποστάσεως;

ς'. Ἐφαντάσθησαν πολλοὶ πολλά, καὶ πάντες ἀποτετυχήκασι. Καὶ οἱ μὲν πῦρ ἐνόμισαν εἶναι τὸν Θεόν (1)· ἕτεροι δὲ, πτερωτὸν ὡς ἄνθρωπον, διὰ τὸ γεγράφθαι μὲν καλῶς, νοεῖσθαι δὲ κακῶς τὸ « Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με » (2)· Ἐπελάθοντο τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς, λέγοντος ὁμοίως καὶ περὶ ἑαυτοῦ (3) πρὸς τὴν Ἱερουσαλήμ· « Ποσάκις » ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὰ νοσσία » ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθέλησας; » (4). Τῆς γὰρ ῥοπῆς αὐτοῦ δυνάμεως εἰς πτέρυγας λαμβανομένης, οὗτοι μὴ νοήσαντες, εἰς ἀνθρώπινα πράγματα καταπεσόντες, ἀνθρωπίνως ὑπέλαβον εἶναι τὴν ἀνεξιχνίαστον. Οἱ δὲ, ἑπτὰ ὀφθαλμοὺς ἔχειν αὐτὸν εἰπεῖν ἐτόλμησαν, διὰ τὸ γεγράφθαι πάλιν· « Ἑπτὰ ὀφθαλ- » μοὶ Κυρίου ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν » (5). Εἰ γὰρ ἑπτὰ ὀφθαλμοὺς ἐν μέρει περίκειται, μερικὸν ἄρα τὸ βλέπειν αὐτῷ (6), καὶ οὐ παντελές· ὅπερ ἐπὶ Θεοῦ λέγειν δύσφημόν ἐστι· τὸν γὰρ Θεὸν τέλειον ἐν πᾶσιν εἶναι δεῖ πιστεύειν, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν τὴν λέγουσαν· « Ὁ πατὴρ ἡμῶν [ὁ] οὐράνιος, » τέλειός ἐστι » (7)· τέλειος ἐν τῷ βλέπειν, τέλειος ἐν τῷ δύνασθαι, » τέλειος ἐν μεγέθει (8), τέλειος ἐν προγνώσει, τέλειος ἐν ἀγαθωσύνῃ, τέλειος ἐν δικαιοσύνῃ, τέλειος ἐν φιλανθρωπίᾳ. Οὐκ ἐν τόπῳ περιωρισμένος, ἀλλὰ τῶν τόπων ποιητής· ἐν πᾶσιν ὢν, καὶ ὑπ' οὐδενὸς περιγραφόμενος. Θρόνος αὐτῷ ὁ οὐρανὸς (9), ἀλλ' ὑπερανέχει (10) ὁ καθεζόμενος· καὶ ὑποπόδιον ἡ γῆ, ἀλλὰ φθάνει ἡ δύνα-

(1) Σοφ. Σολ. Π', 2.
(2) Ψαλμ. Ιϛ', 8.
(3) Ἐκ τοῦ ΒΤ.— Μ, περὶ αὐτοῦ.
(4) Ματθ. ΚΓ', 37.
(5) Ζαχαρ. Δ', 10.
(6) Ἐκ τοῦ ΒΤ.— Μ, αὐτόν.
(7) Ματθ. Ε', 48.
(8) Ἐκ τοῦ ΒΓ.— Μ, ἐνάρθρως, ἐν τῷ μεγέθει.
(9) Ἡσαΐου Ξϛ', 1· καὶ Πράξ. Ἀποστόλ. Ζ', 49.
(10) Ἐκ τοῦ ΒΤ.— Μ, ὑπεραίνει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μις μέχρι καταχθονίων. Εἷς ἐστι πανταχοῦ παρών, πάντα βλέπων, πάντα νοῶν, πάντα διὰ Χριστοῦ κατασκευάζων· « Πάντα γὰρ » δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν » (1). Πηγὴ παντὸς ἀγαθοῦ μεγίστη καὶ ἀνελλιπὴς, ποταμὸς εὐεργεσιῶν, φῶς ἀΐδιον ἀνελλιπῶς ἀστράπτον, δύναμις ἀκαταγώνιστος ταῖς ἀσθενείαις ἡμῶν συμπεριφερομένη· οὗ μηδὲ τὸ ὄνομα φέρομεν ἀκοῦσαι· « Ἡ ἴχνος Κυρίου εὑρήσεις; » φησὶν ὁ Ἰὼβ (2), « ἢ εἰς τὰ ἔσχατα » ἀφίκου ἃ ἐποίησεν ὁ Παντοκράτωρ; » (3). Εἰ τὰ ἔσχατα τῶν ποιημάτων οὐ καταλαμβάνεται, ἆρα ὁ τὰ πάντα ποιήσας καταληφθήσεται; « Ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν » ἀνθρώπου οὐκ ἀνέβη, ὅσα ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν » (4). Εἰ ἃ ἡτοίμασεν ὁ Θεὸς ἀπερίληπτα τυγχάνει ταῖς ἡμετέραις διανοίαις, αὐτὸν ἆρα τὸν ἑτοιμάσαντα τῷ νῷ περιλαμβάνειν δυνάμεθα; « Ὦ βάθος πλούτου καὶ σοφίας [καὶ γνώσεως] Θεοῦ· » ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ » αὐτοῦ, » φησὶν ὁ Ἀπόστολος (5). Εἰ τὰ κρίματα καὶ αἱ ὁδοὶ ἀκατάληπτα καθέστηκεν, αὐτὸς ἆρα καταληφθήσεται;

ζ'. Τοσούτου τοίνυν ὄντος τοῦ Θεοῦ καὶ ἔτι μείζονος (οὐδὲ γὰρ ἐὰν ὅλην μου τὴν ὑπόστασιν εἰς γλῶσσαν μεταβαλῶ (6), δύναμαι κατ' ἀξίαν εἰπεῖν· μᾶλλον δὲ οὐδ' εἰ πάντες ἄγγελοι συνέλθοιεν, οὔπω τὸ κατ' ἀξίαν ἐροῦσι)· τοσούτου τοίνυν ὄντος ἀγαθοῦ τοῦ Θεοῦ καὶ μεγάλου, ἄνθρωπος λίθον γλύψας, τῷ λίθῳ εἰπεῖν, *Θεός μου εἶ σὺ*, ἐτόλμησεν· ὢ μεγάλης ἀβλεψίας, ἐκ τοσούτου μεγέθους εἰς τοσαύτην ταπεινότητα κατελθούσης! τὸ ξύλον, ὅπερ ὁ Θεὸς ἐφύτευσε, καὶ ὑετὸς ἐμήκυνε, καὶ ὕστερον κατακαυθὲν, καὶ σποδὸς διὰ πυρὸς (7) γινόμενον, τοῦτο μὲν θεὸς ἀναγορεύεται· ὁ δὲ ἀληθὴς Θεὸς καταφρονεῖται (8). Ἐπεδαψιλεύσατο δὲ ἡ πονηρία

(1) Ἰωάν. Α', 3.
(2) Ἐκ τοῦ ΒΤ. — Μ, Κυρίου, φησὶν, εὑρήσεις, ὁ Ἰώβ.
(3) Ἰὼβ ΙΑ', 7.
(4) Α' πρὸς Κορινθ. Β', 9· καὶ Ἡσαΐου ΞΔ', 4.
(5) Πρὸς Ῥωμ. ΙΑ', 33.
(6) Ἐκ τοῦ ΒΤ.— Μ, μεταβάλλω.
(7) Ἐκ τοῦ ΒΤ.— Μ, διὰ πυρός.
(8) Ἡσαΐου ΜΔ', 9—17.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς εἰδωλολατρείας [καὶ] αἴλουρος, καὶ κύων, καὶ λύκος, ἀντὶ Θεοῦ, προσεκυνήθησαν· καὶ λέων ἀνθρωποβόρος ἀντὶ τοῦ Θεοῦ τοῦ φιλανθρωποτάτου προσεκυνήθη· ὄφις καὶ δράκων, ἀντίμιμοι τοῦ ἐκβαλόντος ἡμᾶς ἐκ παραδείσου, προσεκυνήθησαν, καὶ ὁ τὸν παράδεισον φυτεύσας κατεφρονήθη. Καὶ αἰσχύνομαι λέγειν, πλὴν λέγω· καὶ κρόμμυα γὰρ ἤδη παρά τισι προσεκυνήθη. Οἶνος ἐδόθη (1) ἵνα εὐφραίνῃ καρδίαν ἀνθρώπου (2)· καὶ Διόνυσος (3) ἀντὶ Θεοῦ προσεκυνήθη. Σῖτον ὁ Θεὸς εἰργάσατο διὰ τοῦ εἰπεῖν « Ἐξαγαγέτω » ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁ- » μοιότητα » (4), ἵνα « ἄρτος στηρίσῃ καρδίαν ἀνθρώπου » (5)· καὶ πόθεν ἡ Δήμητρα προσεκυνήθη ; Τὸ πῦρ ἐκ λίθων συγκρούσεως ἐξέρχεται μέχρι σήμερον· καὶ πόθεν Ἥφαιστος πυρὸς ποιητής ; Πόθεν ἡ πολύθεος πλάνη τῶν Ἑλλήνων ; Ἀσώματος ὁ Θεός· καὶ πόθεν μοιχεῖαι παρὰ τοῖς ὑπ' αὐτῶν λεγομένοις θεοῖς κατηγοροῦνται ; Σιωπῶ τὰς Διὸς εἰς κύκνον μεταβολάς· αἰσχύνομαι λέγων τὰς εἰς ταῦρον μεταμορφώσεις· ἀνάξια γὰρ θεοῦ τὰ μυκήματα. Μοιχὸς ὁ παρ' Ἕλλησι θεὸς ηὕρηται, καὶ οὐκ αἰδοῦνται· εἰ γὰρ μοιχός ἐστι, Θεὸς μὴ καλείσθω (6). Καὶ θανάτους, καὶ ἀποπτώσεις, καὶ κεραυνώσεις τῶν παρ' αὐτοῖς λέγουσι Θεῶν. Βλέπεις ἐκ πόσου μεγέθους ποῦ κατελήλυθασι ; Μή τι ἆρα μάτην υἱὸς Θεοῦ κατῆλθεν ἐξ οὐρανοῦ ; ἢ ἵνα τὸ τηλικοῦτον τραῦμα θεραπεύσῃ ; μήτι μάτην ἦλθεν ὁ Υἱός, ἵνα ὁ Πατὴρ ἐπιγνωσθῇ ; Ἐπέγνως τί ἐκίνησεν ἐκ δεξιῶν θρόνων κατελθεῖν τὸν Μονογενῆ ; Πατὴρ κατεφρονεῖτο, ἔδει Υἱὸν διορθώσασθαι τὴν πλάνην· ἔδει γὰρ τὸν δι' οὗ ἐγένετο τὰ πάντα, τῷ δεσπότῃ τῶν ἁπάντων προσενεγκεῖν τὰ πάντα· ἔδει θεραπευθῆναι τὸ τραῦμα. Τί γὰρ ἦν ταύτης τῆς νόσου χεῖρον, ἵνα λίθος ἀντὶ Θεοῦ προσκυνηθῇ ;

---

(1) Ἐκ τοῦ ΒΤ.— Μ, οἶνος γὰρ ἐδόθη.
(2) Ψαλμ. ΡΓ', 15.
(3) Αὐτόθεν. — Μ, οἶνος.
(4) Γενές. Α', 11.
(5) Ψαλμ. ΡΓ', 11.
(6) Ἐκ τοῦ ΒΤ.— Μ, καλείτω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Περὶ Αἱρέσεων.

ή. Καὶ οὐ μόνον ἐν τοῖς ἐθνικοῖς ἐπηγωνίσατο ταῦτα ὁ διάβολος· ἀλλὰ γὰρ ἤδη καὶ πολλοὶ τῶν Χριστιανῶν ψευδῶς λεγομένων, τῶν τῷ εὐωδεστάτῳ Χριστοῦ ὀνόματι κακῶς προσαγορευομένων, ἐτόλμησαν ἀσεβῶς ἀπαλλοτριῶσαι τὸν Θεὸν τῶν οἰκείων ποιημάτων. Τοὺς τῶν αἱρετικῶν λέγω παῖδας, τοὺς δυσωνύμους καὶ ἀθεωτάτους, προσποιουμένους μὲν εἶναι φιλοχρίστους, μισοχρίστους δὲ παντελῶς. Ὁ γὰρ τὸν Πατέρα τοῦ Χριστοῦ δυσφημῶν, ἐχθρός ἐστι τοῦ Υἱοῦ. Ἐτόλμησαν εἰπεῖν οὗτοι δύο θεότητας, μίαν ἀγαθὴν, καὶ μίαν κακήν. Ὦ πολλῆς ἀβλεψίας! εἰ θεότης, πάντως καὶ ἀγαθή· εἰ δὲ οὐκ ἀγαθὴ, τί καλεῖται θεότης; Θεοῦ γὰρ ἡ ἀγαθότης. Ἐπειδὴ γὰρ Θεῷ πρέπει τὸ φιλάνθρωπον (1), τὸ εὐεργετικὸν, τὸ παντοδύναμον, [λοιπὸν] δυοῖν θάτερον, ἢ θεὸν καλείτωσαν σὺν τῷ ὀνόματι καὶ τῇ ἐνεργείᾳ· εἰ δ' ἀποστερεῖσθαι μέλλοιεν τῶν ἐνεργειῶν, μὴ καλείτωσαν μόνῃ τῇ προσηγορίᾳ. Ἐτόλμησαν αἱρετικοὶ λέγειν δύο θεοὺς, καὶ δύο πηγὰς ἀγαθοῦ τε καὶ κακοῦ· καὶ ταύτας ἀγεννήτους εἶναι. Εἰ ἀγέννητοι ἀμφότεραι, πάντως ὅτι καὶ ἴσαι, καὶ ἀμφότεραι κραταιαί· πῶς οὖν ἀναιρεῖ τὸ σκότος τὸ φῶς; Καὶ, πότερόν ποτε ὁμοῦ εἰσιν, ἢ ἀπεσχοινισμέναι; ὁμοῦ μὲν γὰρ εἶναι οὐ δύνανται· «Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος;» φησὶν ὁ Ἀπόστολος (2)· εἰ δὲ μακρὰν ἀπ' ἀλλήλων εἰσὶ, πάντως ὅτι καὶ ἰδίους τόπους ἔχουσιν· εἰ δὲ ἰδίους τόπους ἔχουσι, πάντως που ἐν τοῖς τοῦ ἑνὸς Θεοῦ ἐσμὲν, πάντως που καὶ ἕνα προσκυνοῦμεν. Συστῆσαι γὰρ οὕτω δεῖ, κἂν τῇ μωρίᾳ ἐκείνων συμπεριενεχθῶμεν, ὅτι ἕνα δεῖ προσκυνεῖν. Ἐξετάσωμεν δὲ αὐτοὺς καὶ τί λέγουσι περὶ τοῦ ἀγαθοῦ Θεοῦ. Δυνατός ἐστιν, ἢ ἀδύνατος; εἰ μὲν δυνατός ἐστι (3), πῶς ἐγένετο τὸ κακὸν, ἄκοντος αὐτοῦ; καὶ πῶς ἐπεισέρχεται ἡ πονηρὰ ὑπόστασις, μὴ θέλοντος αὐτοῦ; Εἰ μὲν γὰρ εἰδὼς οὐ δύναται κωλύσαι, ἀδυναμίαν κατηγοροῦσιν· εἰ δὲ δυνά-

(1) Ἐκ τοῦ ΒΤ.— ἀντὶ τῶν ἐν τῷ Μ, τί καλεῖται θεότης; εἰ γὰρ Θεοῦ ἡ ἀγαθότης, ἢ θεοπρεπὴς, ἢ φιλάνθρωπος, τὸ εὐεργετικὸν, κτλ.

(2) Β' πρὸς Κορινθ. ς', 14.

(3) Ἐκ τοῦ ΒΤ.— Μ, εἰ μὲν δύναται,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μενος οὐ κωλύει, προδοτίαν κατηγοροῦσι. Καὶ βλέπε τὴν τούτων ἀνοησίαν· ποτὲ μὲν λέγουσι τὸν (1) πονηρὸν μηδὲν ἔχειν κοινὸν πρὸς τὸν ἀγαθὸν Θεὸν (2) εἰς τὴν τοῦ κόσμου δημιουργίαν· ποτὲ δὲ λέγουσιν αὐτὸν τὸ τέταρτον μέρος ἔχειν μόνον· καὶ τὸν μὲν ἀγαθὸν λέγουσι πατέρα εἶναι τοῦ Χριστοῦ· τὸν δὲ Χριστὸν, τὸν ἥλιον τοῦτον καλοῦσιν. Εἰ τοίνυν ὁ κόσμος κατ' αὐτοὺς ὑπὸ τοῦ Πονηροῦ ἐγένετο, ὁ δὲ ἥλιος ἐν κόσμῳ· πῶς ὁ υἱὸς τοῦ Ἀγαθοῦ ἐν τοῖς τοῦ Πονηροῦ ἄκων δουλεύει ; Βορβορούμεθα, ταῦτα λέγοντες· ἀλλ' ἵνα μή τις τῶν παρόντων ἐξ ἀμαθίας εἰς βόρβορον αἱρετικῶν ἐμπέσῃ. Οἶδα χράνας ἐμαυτοῦ τὸ στόμα, καὶ τῶν ἀκουόντων τὰς ἀκοάς· ἀλλὰ συμφέρει· πολὺ γὰρ κάλλιον ἐν κατηγορίαις ἄλλων ἀκοῦσαι τὰ ἄτοπα, ἢ ἐξ ἀγνοίας εἰς ταῦτα ἐμπεσεῖν. Πολὺ κάλλιον γνῶναί σε τὸν βόρβορον καὶ μισῆσαι τοῦτον, ἢ ἀγνοοῦντα ἐμπεσεῖν εἰς αὐτόν. Ἔστι δὲ πολυσχιδὴς ὁ τῆς ἀθεότητος τῶν αἱρέσεων λόγος· ὅταν γὰρ μιᾶς ὁδοῦ τῆς εὐθείας ἐκπέσῃ [τις], τότε πολλάκις εἰς κρημνοὺς καταπίπτει.

θ'. Καὶ πάσης μὲν αἱρέσεως εὑρετὴς Σίμων ὁ μάγος· Σίμων, ὁ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων τὴν ἄπρατον τοῦ Πνεύματος χάριν ἀγοράσαι προσδοκήσας ἀργυρίῳ, καὶ ἀκούσας· « Οὐκ ἔστι » σοι (3) μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ » (4) καὶ τὰ ἑξῆς· περὶ οὗ γέγραπται· « Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ [ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ'] ἡμῶν » (5). Οὗτος ἐπὶ τῆς Ῥώμης γενόμενος, μετὰ τὸ ὑπὸ τῶν Ἀποστόλων ἀποβληθῆναι, καὶ Ἑλένην τινὰ πόρνην ἐπαγόμενος, δυσφήμῳ τῷ στόματι πρῶτος ἐτόλμησεν [εἰπεῖν] ἑαυτὸν μὲν εἶναι τὸν ἐπὶ ὄρους Σινᾶ ὡς Πατέρα φανέντα· παρὰ δὲ Ἰουδαίοις ὕστερον οὐκ ἐν σαρκὶ, ἀλλὰ δοκήσει ὡς Χριστὸν Ἰησοῦν φανέντα· καὶ μετὰ ταῦτα ὡς Πνεῦμα ἅγιον, τὸ ὑπὸ τοῦ Χριστοῦ ὡς παράκλητον ἀποστέλλεσθαι ἐπαγγελθέν· καὶ ἐπλάνησέ τε οὕτω τὴν Ῥωμαίων πόλιν,

(1) Ἐκ τοῦ ΒΤ.— Μ, τὸ

(2) Αὐτόθεν.— Μ, μὴ ἔχειν κοινὸν πρὸς τὸ ἀγαθόν, εἰς τὴν κτλ.

(3) Ἐκ τοῦ ΒΤ. — Μ, καὶ, οὐκ ἔστι σοι, ἀκούσας, μερὶς κτλ.

(4) Πράξ. Ἀποστόλ. Η', 8— 21.

(5) Α' Ἰωάν. Β', 19.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὡς τε Κλαύδιον ἀνδριάντα αὐτοῦ στῆσαι, ὑπογράψαντα τῇ Ῥωμαίων γλώττῃ, ΣΙΜΩΝΙ ΔΕΩ ΣΑΓΚΤΩ· ὅπερ ἑρμηνευόμενον δηλοῖ, *Σίμωνι Θεῷ ἁγίῳ*. Παρατεινομένης δὲ τῆς πλάνης, ἀγαθῶν ξυνωρὶς διορθοῦται τὸ πταῖσμα, Πέτρος καὶ Παῦλος παραγενόμενοι, οἱ τῆς Ἐκκλησίας προστάται· καὶ ἐπιδεικτιῶντα τὸν νομιζόμενον θεὸν Σίμωνα, νεκρὸν εὐθὺς ἀπέδειξαν. Ἐπαγγελλομένου γὰρ τοῦ Σίμωνος μετεωρίζεσθαι εἰς τοὺς οὐρανούς, καὶ ἐπ' ὀχήματος δαιμόνων ἐπ' ἀέρος φερομένου, γόνυ κλίναντες οἱ τοῦ Θεοῦ δοῦλοι, καὶ τὴν συμφωνίαν ἐνδειξάμενοι, ἣν εἶπεν ὁ Ἰησοῦς, « Ὅτι » ἐὰν δύο ἐξ ὑμῶν συμφωνήσωσι, περὶ παντὸς πράγματος οὗ ἐὰν » αἰτήσωνται, γενήσεται αὐτοῖς » (1), τὸ τῆς ὁμονοίας βέλος διὰ τῆς προσευχῆς πέμψαντες κατὰ τοῦ μάγου, κατέβαλον αὐτὸν εἰς τὴν γῆν. Καὶ οὐδὲν θαυμαστὸν, καί περ ὂν θαυμαστόν. Πέτρος γὰρ ἦν ὁ τὰς κλεῖς τῶν οὐρανῶν περιφέρων (2). Καὶ οὐ θαύματος ἄξιον· Παῦλος γὰρ ἦν ὁ εἰς τρίτον οὐρανὸν ἁρπαγεὶς καὶ εἰς παράδεισον, καὶ ἀκούσας « ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ » λαλῆσαι » (3)· [οἳ καὶ] ἐξ ἀέρος ἐπὶ γῆν κατήγαγον τὸν νομιζόμενον Θεὸν, μέλλοντα εἰς τὰ καταχθόνια κατάγεσθαι. Οὗτος πρῶτος ὁ τῆς κακίας δράκων· μιᾶς δὲ ἐκκοπείσης κεφαλῆς, πολυκέφαλος εὑρέθη πάλιν ἡ τῆς κακίας ῥίζα.

ί. Κήρινθος γὰρ τὴν Ἐκκλησίαν ἐλυμαίνετο, [καὶ Μένανδρος] καὶ Καρποκράτης· Ἐβιωναῖοί τε καὶ Μαρκίων, τὸ τῆς ἀθεότητος στόμα. Ὁ γὰρ θεοὺς διαφόρους ἀναγορεύσας, ἄλλον τὸν ἀγαθὸν καὶ ἄλλον τὸν δίκαιον, ἀντιῤῥέγγεται τῷ Υἱῷ λέγοντι, *Πάτερ δίκαιε* (4)· καὶ [ὁ λέγων] πάλιν ἄλλον τὸν πατέρα καὶ ἄλλον [τὸν] ποιητὴν τοῦ κόσμου, ἐναντιοῦται τῷ Υἱῷ λέγοντι· « Εἰ δὲ » τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον » πυρὸς βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσι (5) » · καὶ « Ὅτι τὸν

(1) Ματθ. ΙΗ', 19.
(2) Ματθ. Ις', 19.
(3) Β' πρὸς Κορινθ. ΙΒ', 2—4.
(4) Ἰωάν. ΙΖ', 25.
(5) Λουκ. ΙΒ', 28.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει » ἐπὶ δικαίους καὶ ἀδίκους » (1). Οὗτος πάλιν ἄλλης κακίας εὑρετὴς δευτέρως (2), ὁ Μαρκίων (3)· ὑπὸ γὰρ τῶν κειμένων ἀπὸ τῆς παλαιᾶς ἐν τῇ καινῇ Διαθήκῃ μαρτυριῶν ἐλεγχόμενος, πρῶτος ἐτόλμησεν ἐκκόψαι τὰς μαρτυρίας, καὶ ἁμάρτυρον ἀφεῖναι τὸν καταγγελλόμενον λόγον τῆς πίστεως, καταλείψας τὸν Θεόν· καὶ ὡς κηρύκων μὴ ὄντων, σαθρὰν ἠθέλησε ποιήσασθαι τῆς Ἐκκλησίας τὴν πίστιν. Διεδέξατο τοῦτον πάλιν ἄλλος, Βασιλείδης, δυσώνυμος, δεινότατος τὸν τρόπον, ἀσελγείας καταγγέλλων.

ιά. Ἐπηγωνίσατο τῇ κακίᾳ [καὶ ὁ] Οὐαλεντῖνος, τριάκοντα θεῶν καταγγελεύς. Ἕλληνες ὀλίγους λέγουσι· καὶ ὁ ὀνομαζόμενος, μᾶλλον δὲ οὐκ ὢν Χριστιανός, εἰς τριάκοντα ὅλους ἐξέτεινε τὴν πλάνην· καί φησιν, ὅτι ὁ Βυθὸς (πρέπει γὰρ αὐτῷ ὄντι βυθῷ τῆς κακίας, ἐκ βυθοῦ τῆς διδασκαλίας ἄρχεσθαι), ἐγέννησε Σιγήν, καὶ ἀπὸ τῆς Σιγῆς ἐτεκνοποίει Λόγον. Τοῦ παρ' Ἕλλησι Διὸς οὗτος χείρων, τοῦ τῇ ἀδελφῇ (4) μιγνυμένου· τέκνον γὰρ εἶναι τοῦ Βυθοῦ ἐλέγετο ἡ Σιγή (5). Βλέπεις ἀτοπίαν σχήματι χριστιανισμοῦ περιβεβλημένην; Μεῖνον βραχύ, καὶ μισήσεις τὴν ἀσέβειαν· φησὶ γὰρ, ὀκτὼ αἰῶνας ἐκ τούτου γεγενῆσθαι· καὶ ἐξ ἐκείνων, δέκα· καὶ ἐξ ἐκείνων, [ἄλλους] δώδεκα, ἄρσενας καὶ θηλείας. Καὶ πόθεν ἡ σύστασις τούτων; βλέπε τὴν ληρῳδίαν ἐκ τῶν κατασκευασμάτων· πόθεν ἔχεις τὴν ἀπόδειξιν τῶν τριάκοντα αἰώνων; ἐπειδὴ [φησι] γέγραπται, ὅτι *ἐβαπτίσθη ὁ Ἰησοῦς τριάκοντα ἐτῶν* ὤν (6). Καὶ ποία [αὕτη] ἀπόδειξις ἐκ τῶν τριάκοντα ἐτῶν, εἰ καὶ τριάκοντα ἐτῶν ἐβαπτίσθη; Ἆρα οὖν, ἐπειδὴ καὶ πέντε ἄρτους ἔκλασεν εἰς *πεντακισχιλίους* (7), πέντε εἰσὶ θεοί; ἢ ἐπειδὴ δώδεκα ἔσχε μα-

(1) Ματθ. Ε', 45.

(2) Γρ. ἐς. δευτέρας,

(3) Ἐκ τοῦ ΒΤ.— Μ, οὗτος γὰρ πάλιν ἄλλης κακίας εὑρετὴς δεύτερος γὰρ ὁ Μαρκίων.

(4) Ἐκ τοῦ ΒΤ.— Μ, ἐτεκνοποίει, Λόγου, τοῦ παρ' Ἕλλησι Διός· οὗτος χείρων, τοῦ τῇ ἀδελφῇ κτλ.

(5) Αὐτόθεν.— Μ, Σιωπή.

(6) Λουκ. Γ', 23.

(7) Ματθ. ΙΔ', 17, 21.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θητὰς, δώδεκα ὤφειλον εἶναι καὶ θεοί (1); Καὶ τοῦτο ἔτι μικρὸν πρὸς τὰ λοιπὰ τῆς ἀσεβείας· φησὶ γὰρ, ὅτι ἡ τελευταία τῶν θεῶν, ἀρσενόθηλυς οὖσα, ὡς τολμᾷ λέγειν, αὕτη ἐστὶν ἡ Σοφία. Ὦ τῆς ἀθεότητος! *Χριστὸς* (2) γὰρ *Θεοῦ σοφία* (3), μονογενὴς Υἱός· κἀκεῖνος εἰς θῆλυ, καὶ τριακοστὸν στοιχεῖον, καὶ ἔσχατον κατασκεύασμα, κατήνεγκε τῷ λόγῳ τοῦ Θεοῦ τὴν σοφίαν. Καί φησιν, ὅτι ἐπεχείρησεν (4) ἡ Σοφία τὸν πρῶτον Θεὸν ἰδεῖν· καὶ μὴ φέρουσα τὰς μαρμαρυγὰς, ἐξέπεσε τῶν οὐρανῶν, καὶ ἀπεβλήθη τοῦ τριακοστοῦ ἀριθμοῦ· εἶτα στένουσα, ἐκ τῶν στεναγμάτων ἐγέννα τὸν διάβολον· καὶ ὅτι δακρύσασα τὴν ἀπόπτωσιν, τὴν θάλασσαν ὑπεστήσατο. Βλέπεις τὴν ἀσέβειαν; πῶς γὰρ ἐκ σοφίας διάβολος γεννᾶται, καὶ ἀπὸ συνέσεως ἡ κακία, ἢ ἀπὸ φωτὸς σκότος; Καί φησιν, ὅτι ὁ διάβολος ἐγέννησεν ἄλλους, ἐξ ὧν τινες κατεσκεύασαν τὸν κόσμον· καὶ ὅτι ὁ Χριστὸς κατῆλθεν, ἐπὶ τὸ ἀποστῆσαι τοὺς ἀνθρώπους τοῦ κοσμοποιοῦ. Ἄκουε δὲ τίνα λέγουσιν εἶναι τὸν Χριστὸν Ἰησοῦν, ἵνα ἔτι μειζόνως αὐτοὺς μισήσῃς. Διδάσκουσι γὰρ ὅτι τῆς Σοφίας ἐκπεσούσης, ἵνα μὴ ὁ ἀριθμὸς λείπῃ τῶν τριάκοντα, οἱ εἰκοσιεννέα αἰῶνες συνενέγκαντές τι ἕκαστος ἐλάχιστον, κατεσκεύασαν τὸν Χριστόν· καὶ τοῦτον δὲ ἀρσενόθηλυν πάλιν λέγουσιν. Ἆρα ἔστι [τι] τούτων ἀσεβέστερον; ἔστι τι τούτων ἀθλιώτερον; Ἐγὼ δικηγοῦμαί σοι τὴν πλάνην, ἵνα μειζόνως αὐτοὺς μισήσῃς· φεῦγε οὖν τὴν ἀσέβειαν· μηδὲ χαίρειν λέγε τῷ τοιούτῳ, ἵνα μὴ κοινωνήσῃς *τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους* (5)· καὶ μήτε πολυπραγμονήσῃς, μήτε εἰς λόγους αὐτοῖς ἐλθεῖν θελήσῃς.

ιβ'. Καὶ μίσει μὲν πάντας αἱρετικοὺς, ἐξαιρέτως δὲ τὸν τῆς μανίας ἐπώνυμον, τὸν πρώην ἐπὶ Πρόβου βασιλέως ἀρξάμενον (πρὸ γὰρ ὅλων ἑβδομήκοντα ἐτῶν ἡ πλάνη)· καὶ εἰσὶ μέχρι τοῦ νῦν ἄνθρωποι αὐτοῖς ὀφθαλμοῖς θεωρήσαντες ἐκεῖνον· ἀλ-

(1) Ἐκ τοῦ ΒΤ. — Μ, ὤφειλαν μόνοι θεοί;
(2) Αὐτόθεν. — Μ, Χριστοῦ.
(3) Α' πρὸς Κορινθ. Α', 24.
(4) Ἐκ τοῦ ΒΤ. — Μ, ἐχείρησεν.
(5) Πρὸς Ἐφες. Ε', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λ' οὐχ ὅτι πρὸ ὀλίγου χρόνου ἦν, διὰ τοῦτο μίσει· ἀλλὰ [διὰ] (1) τὰ δυσσεβῆ δόγματα μίσει τὸν τῆς κακίας ἐργάτην· τὸ δοχεῖον παντὸς ῥύπου· τὸν πάσης αἱρέσεως βόρβορον ὑποδεξάμενον. Φιλοτιμούμενος γὰρ ἐν κακοῖς ἐξαίρετος (2) γενέσθαι, τὰ πάντων (3) λαβών, καὶ μίαν αἵρεσιν πεπληρωμένην βλασφημιῶν (4) καὶ πάσης παρανομίας συστησάμενος, λυμαίνεται τὴν Ἐκκλησίαν (μᾶλλον δὲ τοὺς ἐκτὸς τῆς Ἐκκλησίας), ὡς λέων περιπατῶν καὶ καταπίνων (5). Μὴ πρόσεχε αὐτῶν τῇ χρηστολογίᾳ, μηδὲ τῇ νομιζομένῃ ταπεινοφροσύνῃ· ὄφεις γάρ εἰσι, *γεννήματα ἐχιδνῶν* (6). Καὶ ὁ Ἰούδας ἔλεγε· *Χαῖρε Ῥαββί* (7), καὶ προεδίδου· μὴ τοῖς ῥηλήμασι πρόσεχε, ἀλλὰ τὸν ἰὸν φυλάσσου. Καὶ ἵνα μὴ μάτην (8) δοκῶμεν αὐτοῦ κατηγορεῖν, ἐν παρεξόδῳ τίς ἐστιν οὗτος ὁ Μάνης εἴπωμεν, καὶ τί διδάσκει ἐκ μέρους· ὅλον γὰρ αὐτοῦ τὸν βόρβορον, οὐδ' ὁ πᾶς αἰὼν κατ' ἀξίαν διηγήσεται. Μνημονευέσθω δὲ ταῦτα (9) παρὰ σοὶ εἰς εὔκαιρον βοήθειαν, ἅπερ εἴρηται μὲν καὶ τοῖς πρὸ τούτου, λεχθήσεται δὲ καὶ τοῖς νῦν, ἵνα οἱ [μὲν] ἀγνοοῦντες μάθωσιν, οἱ δὲ εἰδότες ὑπομνησθῶσιν. Οὐκ ἔστιν ἀπὸ χριστιανῶν ὁ Μάνης, μὴ γένοιτο· οὐδὲ κατὰ τὸν Σίμωνα ἐξεβλήθη τῆς Ἐκκλησίας, οὔτε αὐτὸς, οὔτε οἱ πρὸ αὐτοῦ διδάσκοντες· κλέπτης γάρ [ἐστιν] ἀλλοτρίων κακῶν, ἐξιδιοποιούμενος τὰ κακά· πῶς δὲ καὶ τίνα τρόπον, ἀκουστέον.

ιγ'. Σκυθιανός τις ἦν ἐν Αἰγύπτῳ, Σαρακηνὸς τὸ γένος, οὐδὲν κοινὸν (10) οὔτε πρὸς Ἰουδαϊσμὸν, οὔτε πρὸς Χριστιανισμὸν κεκτημένος· οὗτος τὴν Ἀλεξάνδρειαν οἰκήσας, καὶ τὸν Ἀριστοτελικὸν

---

(1) Ἐκ τοῦ ΒΤ.— Μ, ἀλλὰ τὰ δυσσεβῆ δόγματα μίσει, τὸν τῆς κτλ.

(2) Ἐκ τοῦ ΒΤ.— Μ, ἐξαιρέτοις.

(3) Ἐκ τοῦ ΒΤ.— Μ, τὰ πάντα.

(4) Ἐκ τοῦ ΒΤ.— Μ, βλασφημῶν.

(5) Α' Πέτρ. Ε', 8.

(6) Ματθ. Γ', 7.

(7) Αὐτ. ΚΣ', 49.

(8) ΒΤ.— Μ, μάτην μὴ

(9) Αὐτόθ.— Μ, τὰ παρὰ κτλ.

(10) Ἐκ τοῦ ΒΤ.— Μ, οὐδὲν κοινωνὸν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μιμησάμενος βίον, τέσσαρας βίβλους συνέταξε· μίαν καλουμένην *Εὐαγγέλιον*, οὐ Χριστοῦ πράξεις περιέχουσαν, ἀλλ' ἁπλῶς μόνον τὴν προσηγορίαν· καὶ μίαν ἄλλην καλουμένην *Κεφαλαίων*· καὶ μίαν τρίτην *Μυστηρίων*· καὶ τετάρτην, ἣν νῦν περιφέρουσι, *Θησαυρῶν*. Μαθητὴς δὲ ἦν τούτου Τερέβινθος (1) ὀνόματι. Ἀλλὰ τὸν προειρημένον Σκυθιανὸν ἐλθόντα εἰς τὴν Ἰουδαίαν, καὶ λυμαινόμενον τὴν χώραν (2), νόσῳ θανατώσας ὁ Κύριος, ἔπαυσε τὴν λοιμώδη κατάστασιν. Ὁ δὲ τῆς κακίας μαθητὴς Τερέβινθος, κληρονόμος ὢν τοῦ χρυσοῦ, καὶ τῶν βιβλίων, καὶ τῆς αἱρέσεως, παραγενόμενος ἐν τῇ Παλαιστίνῃ καὶ ἐν τῇ Ἰουδαίᾳ γνωριζόμενος καὶ καταγινωσκόμενος, ἔκρινεν εἰς τὴν Περσίδα μετελθεῖν· ἵνα δὲ μὴ ἐκ τῆς προσηγορίας κἀκεῖ γνωρίζηται, Βουδδᾶν μετωνόμασεν (3) ἑαυτόν. Ἀλλ' εἶχεν ἐκεῖ καὶ τοὺς ἀνταγωνιστὰς, τοὺς τοῦ Μίθρα· καὶ πολλῶν λόγων κινουμένων καὶ διαπληκτισμῶν, ἠλέγχετο· καὶ πέρας, συνελαυνόμενος προσφεύγει τινὶ χήρᾳ· εἶτα ἐπὶ δώματος ἀνελθών, καὶ προσκαλεσάμενος τοὺς ἀερίους δαίμονας, οὓς οἱ Μανιχαῖοι μέχρι σήμερον ἐπὶ τῆς μυσαρᾶς [αὐτῶν] ἰσχάδος ἐπικαλοῦνται, θεόπληκτος γενόμενος, [καὶ] καταβληθεὶς ἀπὸ τοῦ δώματος, ἐξέψυξε· καὶ οὕτως ἐξεκόπη τὸ θηρίον τὸ δεύτερον. Ἀλλ' ἔμεινε τὰ ὑπομνηστικὰ τῆς ἀσεβείας βιβλία· καὶ κληρονόμος ἦν [ἡ] χήρα καὶ τῶν βιβλίων καὶ τῶν χρημάτων. Μήτε δὲ συγγενέα, μήτε δὲ ἕτερόν τινα ἔχουσα, ἔκρινεν ἐκ τῶν χρημάτων ἀγοράσαι παῖδα Κούβρικον λεγόμενον· καὶ τοῦτον εἰς υἱοθεσίαν λαβοῦσα, ἐπαίδευσε τοῖς Περσῶν μαθήμασιν ὡς υἱὸν, καὶ ὤξυνε κατὰ τῆς ἀνθρωπότητος κακὸν βέλος. Καὶ Κούβρικος ὁ κακὸς οἰκέτης εἰς μέσον φιλοσόφων ἤκμαζε· καὶ τελευτησάσης τῆς χήρας, ἐκληρονόμησε καὶ τὰ βιβλία καὶ τὰ χρήματα. Εἶτα, ἵνα μὴ τὸ τῆς δουλείας ὄνομα ἐπονείδιστον ᾖ, ἀντὶ Κουβρίκου Μάνην ἑαυτὸν ἐπωνόμασεν, ὅπερ κατὰ τὴν Περσῶν διάλεκτον τὴν ὁμιλίαν δηλοῖ· ἐπειδὴ

(1) BT.— M, Τέρεινθος.

(2) Ἐλθόντα καὶ λυμαινόμενον, ἐκ τοῦ BT. — M, ἐλθεῖν καὶ λυμήνασθαι.

(3) BT.— M, ὠνόμασεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ διαλεκτικὸς ἐδόκει τις εἶναι, Μάνην ἑαυτὸν ἐπωνόμασεν, οἱονεὶ ὁμιλητήν τινα ἄριστον. Ἀλλ' ἐκεῖνος μὲν εὐδοξίαν ἑαυτῷ κατὰ τὴν Περσῶν γλῶσσαν ἐπραγματεύσατο· ἡ δὲ τοῦ Θεοῦ οἰκονομία καὶ ἄκοντα αὐτὸν ἑαυτοῦ κατήγορον ἐποίει γενέσθαι· ἵνα ἐν Περσίδι νομίσας ἑαυτὸν τιμᾶν, παρ' Ἕλλησι μανίας ἑαυτὸν ἐπώνυμον καταγγέλλῃ.

ιδ΄. Ἑτόλμα δὲ λέγειν ἑαυτὸν εἶναι τὸν Παράκλητον. Καὶ γέγραπται· « Ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει » ἄφεσιν » (1). Ἐβλασφήμησεν [οὖν], Πνεῦμα ἅγιον ἑαυτὸν εἰπών. Ἐκείνοις ὁ κοινωνῶν, βλεπέτω μετὰ τίνων ἑαυτὸν ἐντάσσει. Ἐσάλευσεν ὁ οἰκέτης τὴν οἰκουμένην· ἐπειδὴ « Διὰ τριῶν σείεται » ἡ γῆ, καὶ τὸ τέταρτον οὐ δύναται φέρειν· ἐὰν οἰκέτης βασιλεύ- » σῃ » κτλ. (2) Καὶ μέσος ἐλθών, λοιπὸν τὰ ὑπὲρ ἄνθρωπον ἐπηγγέλλετο. Ἐνόσει τοῦ Βασιλέως Περσῶν ὁ υἱός· καὶ ἰατρῶν δαψίλεια παρῆν· ἀλλ' ὁ Μάνης ἐπηγγέλλετο διὰ προσευχῆς ὡσανεὶ εὐσεβὴς κατορθώσειν. Ἀπέστησαν οἱ ἰατροὶ, συναπέστη τοῦ παιδὸς ἡ ζωή. Ἠλέγχθη ἡ ἀσέβεια τοῦ ἀνδρός· καὶ δέσμιος ἦν ὁ δὴ φιλόσοφος, εἰς φυλακὴν, οὐ διὰ τὸ περὶ ἀληθείας ἐλέγξαι τὸν βασιλέα, βληθείς, οὐ διὰ τὸ καταλῦσαι τὰ εἴδωλα, ἀλλὰ διὰ τὸ ἐπαγγείλασθαι σώζειν, καὶ ψεύσασθαι· μᾶλλον [δὲ], εἰ δεῖ τἀληθὲς εἰπεῖν, διὰ τὸ φονεῦσαι. Τὸν γὰρ δυνάμενον διὰ τῆς ἰατρικῆς ἐπιμελείας σωθῆναι, οὗτος τοὺς ἰατροὺς ἀποστήσας, ἐφόνευσε τῇ ἀμελείᾳ θανατώσας. Ἐμοῦ δὲ λέγοντος τὰ περὶ αὐτοῦ πάμπολλα κακὰ, μέμνησο πρῶτον τὴν βλασφημίαν, δεύτερον τὴν (1) δουλείαν· οὐχ ὅτι αἰσχύνη ἡ δουλεία, ἀλλ' ὅτι τὸ δοῦλον ὄντα ἐλευθερίαν πλάττεσθαι, κακὸν· τρίτον, τὸ ψεῦδος τῆς ἐπαγγελίας· καὶ τέταρτον, τοῦ παιδὸς τὸν φόνον· καὶ πέμπτον, τὴν αἰσχύνην τῆς φυλακῆς. Καὶ οὐκ ἦν γε αἰσχύνη τῆς φυλακῆς μόνον, ἀλλὰ καὶ ἡ ἐκ τῆς φυλακῆς φυγή· ὁ γὰρ λέγων ἑαυτὸν Παράκλητον, καὶ τῆς ἀληθείας ἀγωνιστὴν, ἔφευγεν· οὐκ ἦν διάδοχος Ἰησοῦ τοῦ

(1) Μάρκ. Γ', 29.
(2) Παροιμ. Α', 21, 22.
(3) ΒΤ.— Μ, καὶ τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἑτοίμως ἐρχομένου εἰς τὸν σταυρόν· ἀλλ' οὗτος ἐναντίος ἦν, φυγάς. Εἶτα ὁ βασιλεὺς Περσῶν ἐκέλευσεν ἀπαχθῆναι τοὺς δεσμοφύλακας· αἴτιος ὁ Μάνης, δι' ὑπερηφανίαν, θανάτου τῷ παιδί, καὶ αἴτιος θανάτου τῶν δεσμοφυλάκων, διὰ τὴν φυγήν. Ὁ οὖν παραίτιος θανάτου, οὗτος ἄρα προσκυνεῖσθαι ὀφείλει ; οὐκ ἔδει μιμήσασθαι Ἰησοῦν, καὶ εἰπεῖν· « Εἰ ἐμὲ ζητεῖτε, ἄφετε τούτοις ὑπάγειν » (1) ; οὐκ ἔδει κατὰ τὸν Ἰωνᾶν εἰπεῖν· « Ἄρατέ με » καὶ βάλλετε εἰς τὴν θάλασσαν· δι' ἐμὲ γὰρ ὁ κλύδων οὗ-» τος. » (2) ;

ιέ. Φεύγει ἐκ τῆς φυλακῆς, καὶ ἔρχεται εἰς τὴν Μεσοποταμίαν· ἀλλ' ἀπαντᾷ αὐτῷ ὅπλον (3) δικαιοσύνης Ἀρχέλαος Ἐπίσκοπος. Καὶ ἐπὶ φιλοσόφων κριτῶν ἐλέγξας, ἀκροατήριον Ἑλληνικὸν συστησάμενος, ἵνα μὴ χριστιανῶν κρινόντων δοκῶσιν οἱ κριταὶ χαρίζεσθαι· Λέγε, φησὶν ὁ Ἀρχέλαος πρὸς τὸν Μάνην, ὃ κηρύσσεις. Ὁ δὲ [ὡς] τάφον ἀνεῳγμένον ἔχων τὸ στόμα (4), ἀπὸ βλασφημίας πρῶτον τοῦ ποιητοῦ τῶν ἁπάντων ἤρξατο φάσκων. Ὁ τῆς παλαιᾶς Θεὸς κακῶν ἐστιν εὑρετὴς, λέγων περὶ ἑαυτοῦ· « Ἐγὼ πῦρ καταναλίσκον » (5). Ὁ δὲ σοφὸς Ἀρχέλαος ὑπεξέλυε τὴν βλασφημίαν, εἰπών· Εἰ ὁ τῆς παλαιᾶς Θεὸς, κατὰ τὸν σὸν λόγον, πῦρ ἑαυτὸν λέγει, τίνος υἱός ἐστιν ὁ λέγων· « Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν. » (6) ; Εἰ μέμφῃ τὸν λέγοντα· « Κύριος θανατοῖ καὶ ζωογονεῖ » (7), διὰ τί τιμᾷς Πέτρον, τὴν Ταβιθὰν μὲν ἐγείραντα, (8) τὴν δὲ Σαπφείραν θανατώσαντα (9) ; Εἰ δὲ καὶ μέμφῃ, ὅτι πῦρ ἡτοίμασε (10), διὰ τί οὐ μέμφῃ τὸν λέγοντα· « Πορεύεσθε

(1) Ἰωάν. ΙΗ', 8.
(2) Ἰων. Α', 12.
(3) ΒΤ.— Μ, ὅπλῳ.
(4) Ψαλμ. Ε', 10.
(5) Δευτερον. Δ', 24.
(6) Λουκ. ΙΒ, 49.
(7) Α' Βασιλ. Β', 6.
(8) Πράξ. Ἀποστόλ. Θ', 36, 40, 41.
(9) Αὐτόθ. Ε', 10.
(10) Δευτερον. ΛΒ', 22.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ αἰώνιον. » (1) ; Εἰ μέμφῃ τὸν λέγοντα « Ἐγὼ Θεὸς ποιῶν εἰρήνην, καὶ κτίζων κακὰ » (2), ἐξήγησαι πῶς λέγει Ἰησοῦς· « Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν » (3)· ἀμροτέρων τὰ ἴσα λεγόντων, δυοῖν θάτερον, ἢ ἀμρότεροι καλοὶ διὰ τὴν ὁμολεξίαν, ἢ εἰ ἀνέγκλητος Ἰησοῦς ταῦτα λέγων, διὰ τί ψέγεις τὸν τὰ ὅμοια ἐν τῇ παλαιᾷ λέγοντα ;

ις'. Εἶτα ὁ Μάνης πρὸς τοῦτον λέγει· Καὶ ποῖος Θεὸς τυφλοῖ; Παῦλος γάρ ἐστιν ὁ λέγων· « Ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου » ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ διαυγάσαι τὸν φω- » τισμὸν τοῦ Εὐαγγελίου » (4). Ὁ δὲ Ἀρχέλαος καλῶς ὑποκρού- σας, Προανάγνωθι, φησίν, ὀλίγον· « Εἰ δὲ κεκαλυμμένον ἐστὶ τὸ » Εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον »(5). Ὁρᾷς, ὅτι ἐν τοῖς ἀπολλυμένοις κεκάλυπται; οὐ δεῖ γὰρ διδόναι τὰ ἅγια τοῖς κυσίν (6). Εἶτα, ἆρα μόνος ὁ τῆς παλαιᾶς Θεὸς ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων ; Ἰησοῦς δὲ αὐτὸς οὐκ εἴρηκε· « Διὰ τοῦτο αὐτοῖς ἐν παραβολαῖς λαλῶ, ἵνα βλέποντες μὴ βλέ- » πωσι. » (7) ; μὴ μισῶν αὐτοὺς ἐβούλετο μὴ βλέπειν ; ἢ διὰ τὸ ἀνάξιον, ἐπειδὴ « τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν » (8) ; Ὅπου γὰρ αὐτοπροαίρετος πονηρία, ἐκεῖ καὶ ἀποχὴ τῆς χάριτος· « Τῷ » γὰρ ἔχοντι δοθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν » ἀρθήσεται » (9). Εἰ δὲ δεῖ καὶ, ὥς τινες ἐξηγοῦνται, τοῦτο εἰ- πεῖν, οὐ ῥᾴδιον γὰρ τὸ ῥῆμα· εἰ καὶ ἐτύφλωσε τῶν ἀπίστων τὰ νοήματα, ἐπὶ καλῷ ἐτύφλωσεν, ἵνα εἰς τὰ ἀγαθὰ (10) ἀναβλέψω- σιν· οὐ γὰρ εἶπεν· « Ἐτύφλωσεν αὐτῶν τὴν ψυχὴν », ἀλλὰ « τὰ νοήματα » τῶν ἀπίστων· » τὸ δὲ λεγόμενον, τοιοῦτόν ἐστι. Τύφλωσον τοῦ

(1) Ματθ. ΚΕ', 41.
(2) Ἡσ. ΜΕ', 7.
(3) Ματθ. Ι', 34.
(4) Β' πρὸς Κορινθ. Δ', 4.
(5) Αὐτόθ. 3.
(6) Ματθ. Ζ', 6.
(7) Ματθ. ΙΓ', 13. Μάρκ. Δ', 12. Λουκ. Η', 15.
(8) Ἡσ. ϛ', 10. Ματθ. ΙΓ', 15.
(9) Ματθ. ΙΓ', 12· καὶ ΚΕ', 29. Μάρκ. Δ', 25. Λουκ. Η', 18 καὶ ΙΘ', 26.
(10) Ἐκ τοῦ ΒΤ.— Μ, εἰς τὰ ἅγια.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πόρνου τὰ πορνικὰ νοήματα, καὶ σέσωσται ὁ ἄνθρωπος· τύφλωσον τοῦ λῃστοῦ τὸ ἁρπακτικὸν καὶ λῃστρικόν, καὶ σέσωσται ὁ ἄνθρωπος. Ἀλλ' οὐ θέλεις οὕτω νοῆσαι; ἔστι καὶ ἄλλη ἐξήγησις. Τυφλοῖ καὶ ὁ ἥλιος τοὺς ἀμβλυωποῦντας· καὶ οἱ ὀφθαλμιῶντες τυφλοῦνται, βλαπτόμενοι ὑπὸ τοῦ ρωτός· οὐχ ὅτι τυφλωτικός ἐστιν ὁ ἥλιος, ἀλλ' ὅτι ἡ ὑπόστασις τῶν ὀμμάτων οὐ βλέπει· οὕτω καὶ οἱ ἄπιστοι (1), νοσοῦντες ταῖς καρδίαις, οὐ δύνανται ἐνιδεῖν ταῖς τῆς θεότητος ἀκτῖσι. Καὶ οὐκ εἶπεν· « Ἐτύφλωσε τὰ νοήματα » εἰς τὸ μὴ ἀκοῦσαι τὸ Εὐαγγέλιον· ἀλλ', « εἰς τὸ μὴ διαυγάσαι τὸν » ρωτισμὸν τῆς δόξης τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι- » στοῦ » (2)· τὸ μὲν γὰρ ἀκοῦσαι τοῦ Εὐαγγελίου πᾶσιν ἐφίεται· ἡ δόξα δὲ τοῦ Εὐαγγελίου, τοῖς Χριστοῦ γνησίοις μόνοις (3) ἀφώρισται. Ἔλεγεν οὖν ὁ Κύριος, τοῖς μὲν ἀκοῦσαι δυναμένοις, ἐν παραβολαῖς (4)· τοῖς δὲ μαθηταῖς ἐπέλυε κατ' ἰδίαν τὰς παραβολάς (5). Ὁ αὐγασμὸς [γὰρ] τῆς δόξης, τοῖς περωτισμένοις· ἡ τύφλωσις, τοῖς ἀπίστοις. Ταῦτα τὰ μυστήρια, [ἃ] νῦν ἡ Ἐκκλησία διηγεῖται [σοι] τῷ ἐκ κατηχουμένων μεταβαλλομένῳ, οὐκ ἔστιν ἔθος ἐθνικοῖς διηγεῖσθαι· οὐ γὰρ ἐθνικῷ τὰ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διηγούμεθα μυστήρια· οὐδὲ τὰ περὶ τῶν μυστηρίων ἐπὶ κατηχουμένων λευκῶς λαλοῦμεν, ἀλλὰ πολλὰ πολλάκις λέγομεν ἐπικεκαλυμμένως, ἵνα οἱ εἰδότες πιστοὶ νοήσωσι, καὶ οἱ μὴ εἰδότες μὴ βλαβῶσι. Τοιούτοις καὶ ἄλλοις πλείοσιν ἀνετρέπετο ὁ δράκων· τοιαύταις συμπλοκαῖς κατεπάλαιε τὸν Μάνην ὁ Ἀρχέλαος.

ιζ'. Φεύγει πάλιν καὶ ἐντεῦθεν ὁ ἐκ τῆς φυλακῆς φυγών, καὶ τὸν ἀνταγωνιστὴν διαδράσας, ἔρχεται ἐπὶ κώμην εὐτελεστάτην κατὰ τὸν ὄρον τὸν ἐν παραδείσῳ καταλιπόντα τὸν Ἀδάμ, καὶ τῇ Εὔᾳ προσελθόντα. Ἀλλ' ὁ καλὸς ποιμὴν Ἀρχέλαος τῶν προβάτων προνοῶν, ἀκούσας τὴν φυγήν, εὐθέως δρομαῖος ἐπὶ τὴν τοῦ λύκου

(1) ΒΤ. — Μ, οἱ ἀπιστίᾳ νοσοῦντες κτλ.
(2) Β' πρὸς Κορινθ. Δ', 4.
(3) ΒΤ. — Μ, μόνοις γνησίοις.
(4) Ματθ. ΙΓ', 13.
(5) Μάρκ. Δ', 34.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπείγετο ζήτησιν. Μάνης δὲ ἰδὼν ἐξαίρνης τὸν ἀντίδικον, ἐξεπήδησε καὶ ἔφυγεν· ἔφυγε δὲ τὴν τελευταίαν φυγήν. Οἱ γὰρ [τοῦ] τῶν Περσῶν βασιλέως ὑπασπισταὶ πανταχοῦ διερευνώμενοι, καταλαμβάνουσι τὸν φυγάδα· καὶ ἣν ὤφειλεν ἐπὶ τοῦ Ἀρχελάου λαβεῖν ἀπόφασιν, ταύτην ἐπιφέρουσιν αὐτῷ οἱ τοῦ βασιλέως ὑπασπισταί. Συλλαμβάνεται ὁ Μάνης, ὃν προσκυνοῦσιν οἱ αὐτοῦ μαθηταί, καὶ ἄγεται πρὸς τὸν βασιλέα. Ὠνείδισεν αὐτῷ ὁ Βασιλεὺς τὸ ψεῦδος καὶ τὴν φυγήν· ἐχλεύασε τὴν δουλείαν· ἐξεδίκησε τοῦ παιδὸς τὸν φόνον· κατέκρινε καὶ διὰ τὸν τῶν δεσμοφυλάκων φόνον. Ἐκδαρῆναι τὸν Μάνην Περσικῷ νόμῳ προστάττει· καὶ τὸ μὲν λοιπὸν σῶμα θηρίων παρεδόθη βορά (1), τὸ δὲ τῆς κακίστης γνώμης δοχεῖον, τὸ δέρμα, θυλάκου δίκην πρὸ τῶν πυλῶν ἀνηρτήθη. Ὁ Παράκλητον (2) ἑαυτὸν λέγων, καὶ τὰ μέλλοντα εἰδέναι ἐπαγγελλόμενος, τὴν ἰδίαν φυγὴν καὶ κατάληψιν οὐκ ἔγνω.

ιή. Τούτου μαθηταὶ τρεῖς γεγόνασι, Θωμᾶς, καὶ Βαδδᾶς, καὶ Ἑρμᾶς. Μηδεὶς ἀναγινωσκέτω τὸ κατὰ Θωμᾶν εὐαγγέλιον· οὐ γάρ ἐστιν ἑνὸς τῶν δώδεκα Ἀποστόλων, ἀλλ' ἑνὸς τῶν κακῶν τριῶν τοῦ Μάνη μαθητῶν. Μηδεὶς προσφερέσθω τοῖς ψυχοφθόροις Μανιχαίοις, τοῖς ἀχύρων ὕδασι τὸ στυγνὸν τῆς νηστείας προσποιουμένοις· τοῖς διαβάλλουσι μὲν τὸν τῶν βρωμάτων ποιητήν, τὰ κάλλιστα δὲ τῶν βρωμάτων λαιμαργοῦσι· τοῖς διδάσκουσιν, ὅτι ὁ τήν δε τὴν βοτάνην ἐκτίλλων, εἰς αὐτὴν μεταβάλλεται. Εἰ γὰρ ὁ ἐκτέμνων βοτάνας ἤ τι τῶν λαχάνων, εἰς τοῦτο μεταβάλλεται, γεωργοὶ καὶ κηπουρῶν παῖδες εἰς πόσα μεταβληθήσονται; κατὰ τοσούτων (3) ὁ κηπουρὸς ἤνεγκε τὴν δρεπάνην, ὡς ὁρῶμεν· εἰς ποῖα (4) ἄρα μεταβάλλεται; Γέλωτος ἀληθῶς τὰ διδάγματα, καὶ καταγνώσεως πλήρη καὶ αἰσχύνης. Ὁ αὐτὸς ἀνὴρ ποιμὴν ὢν προβάτων, καὶ πρόβατον ἔθυσε καὶ λύκον ἀπέκτεινεν· εἰς ποῖον ἄρα μεταβάλλεται; Πολλοὶ τῶν ἀνθρώπων ἰχθύας ἐσαγήνευσαν, καὶ ὄρνεα ἵξευσαν· εἰς ποῖον ἄρα μεταβάλλονται; [Ἀποκρινέσθωσαν] οἱ

(1) Ἐκ τοῦ ΒΤ.— Μ, παραδοθῆναι βοράν.
(2) Αὐτόθεν.— Μ, ὅτι ὁ Παράκλητον.
(3) Αὐτόθ.— Μ, κατὰ τοσοῦτον.
(4) Αὐτόθεν.— Μ, εἰς ποίαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς ἀργίας (1) ἔκγονοι Μανιχαῖοι, οἱ μὴ ἐργαζόμενοι, καὶ τὰ τῶν ἐργαζομένων κατεσθίοντες· οἱ τοὺς προσφέροντας αὐτοῖς τὰ βρώματα μειδιῶσι προσώποις δεχόμενοι, καὶ ἀντὶ εὐλογιῶν κατάρας ἀποδιδόντες. Ὅταν γάρ τις αὐτοῖς [τι] προσενέγκῃ ἀνόητος, Μικρὸν ἔζω, φησὶ, στῆθι, καὶ εὐλογήσω σε· εἶτα δεξάμενος εἰς χεῖρας τὸν ἄρτον (ὡς οἱ ἐξ αὐτῶν μετανοήσαντες ἐξωμολογήσαντο)· Ἐγώ σε οὐκ ἐποίησα, φησὶν ὁ Μανιχαῖος τῷ ἄρτῳ· καὶ κατάρας πέμπει εἰς τὸν Ὕψιστον, καὶ καταρᾶται τὸν πεποιηκότα, καὶ οὕτως ἐσθίει τὸ πεποιημένον. Εἰ μισεῖς τὰς τροφὰς, τί μειδιῶντι τῷ προσώπῳ ἐνέβλεψας (2) τῷ προσενέγκαντι; εἰ τῷ ἐνέγκαντι ἔχεις χάριν, διὰ τί πέμπεις τῷ κατασκευάσαντι καὶ δημιουργήσαντι Θεῷ (3) τὴν βλασφημίαν; Καὶ πάλιν· Ἐγώ σε οὐκ ἔσπειρα, φησὶ σπαρείη ὁ σπείρας σε. Ἐγώ σε οὐκ ἐθέρισα δρεπάνῃ· ἐκθερισθείη ὁ θερίσας σε. Ἐγώ σε πυρὶ οὐκ ὤπτησα· ὀπτηθείη ὁ ὀπτήσας σε. Καλὰ τὰ ἀμοιβαῖα τῆς χάριτος. Μεγάλα μὲν κακὰ, ἀλλ' ἔτι μικρὰ πρὸς τὰ ἄλλα.

ιθ'. Οὐ τολμῶ ἐπὶ ἀνδρῶν καὶ γυναικῶν τὸ λουτρὸν αὐτῶν διηγήσασθαι· οὐ τολμῶ εἰπεῖν, τίνι ἐμβάπτοντες τὴν ἰσχάδα, διδόασι τοῖς ἀθλίοις· διὰ συσσήμων δὲ μόνον δηλούσθω. Ἄνδρες γὰρ τὰ ἐν τοῖς ἐνυπνιασμοῖς ἐνθυμείσθωσαν, καὶ γυναῖκες τὰ ἐν ἀφέδροις. Μιαίνομεν ἀληθῶς τὸ στόμα ταῦτα λέγοντες. Μὴ Ἕλληνες τούτων μυσαρώτεροι; μὴ Σαμαρεῖται τούτων ἀθλιώτεροι (4); μὴ Ἰουδαῖοι τούτων ἀσεβέστεροι; μὴ οἱ πορνεύοντες τούτων ἀκαθαρτότεροι; Ὁ μὲν γὰρ πορνεύσας, πρὸς μίαν ὥραν δι' ἐπιθυμίαν τελεῖ τὴν πρᾶξιν· καταγινώσκων δὲ τῆς πράξεως, [ὡς] μιανθεὶς, οἶδε λουτροῦ (5) ἐπιδεόμενος, καὶ γινώσκει τῆς πράξεως τὸ μυσαρόν· ὁ δὲ Μανιχαῖος θυσιαστηρίου μέσον, οὗ (6) νομίζει, τίθησι ταῦτα, καὶ μιαίνει καὶ τὴν γλῶτταν καὶ τὸ στόμα. Παρὰ

(1) ΒΤ. — Μ, Οἱ τῆς ἁρπαγῆς ἀργίας, κτλ.
(2) ΒΤ. — Μ, ἀπέβλεψας.
(3) ΒΤ.—Μ, τῷ κατασκευάσαντι Θεῷ καὶ δημιουργήσαντι τὴν κτλ.
(4) ΒΤ. — Μ, ἀθεώτεροι.
(5) Αὐτόθεν. — Μ, λουτρόν.
(6) Αὐτ. — Μ, ὃ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοιούτου στόματος, ἄνθρωπε, δέχῃ διδασκαλίαν; τοῦτον ὅλως ἀπαντήσας ἀσπάζῃ φιλήματι; ἆρα χωρὶς τῆς λοιπῆς ἀσεβείας οὐ φεύγεις τὸ μεμολυσμένον, καὶ τοὺς ἀκολάστων χείρονας, τοὺς πάσης προεστώσης (1) μυσαρωτέρους; Παραγγέλλει ταῦτα ἡ Ἐκκλησία καὶ διδάσκει, καὶ ἅπτεται βορβόρων, ἵνα σὺ μὴ βορβορωθῇς· λέγει τὰ τραύματα, ἵνα μὴ σὺ τραυματισθῇς· ἀρκεῖ δέ σοι (2) τὸ εἰδέναι μόνον· τὸ δὲ πεῖρα παραλαβεῖν ἀπέχου. Βροντᾷ ὁ Θεὸς, καὶ πάντες τρέμομεν, κἀκεῖνοι βλασφημοῦσιν. Ἀστράπτει ὁ Θεὸς, καὶ πάντες εἰς γῆν ἐπικλίνομεν· κἀκεῖνοι περὶ οὐρανῶν τὰς δυσρήμους ἔχουσι γλώσσας. Ἰησοῦς λέγει περὶ τοῦ Πατρὸς αὐτοῦ, « Ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ » βρέχει ἐπὶ πονηροὺς καὶ ἀγαθούς » (3), κἀκεῖνοι λέγουσιν, ὅτι οἱ ὑετοὶ ἐξ ἐρωτικῆς μανίας γίνονται· καὶ τολμῶσι λέγειν, ὅτι ἔστι τις παρθένος ἐν οὐρανῷ εὐειδὴς μετὰ νεανίσκου εὐειδοῦς, καὶ κατὰ τὸν τῶν καμήλων ἢ λύκων καιρὸν τοὺς τῆς αἰσχρᾶς ἐπιθυμίας (4) καιροὺς ἔχειν, [καὶ] κατὰ τὸν τοῦ χειμῶνος καιρὸν μανιωδῶς αὐτὸν ἐπιτρέχειν τῇ παρθένῳ· καὶ τὴν μὲν φεύγειν, φασί, τὸν δὲ ἐπιτρέχειν· εἶτα ἐπιτρέχοντα ἱδρῶν· ἀπὸ δὲ τῶν ἱδρώτων αὐτοῦ εἶναι τὸν ὑετόν. Ταῦτα γέγραπται ἐν ταῖς τῶν Μανιχαίων βίβλοις· ταῦτα ἡμεῖς ἀνέγνωμεν, ἀπιστοῦντες τοῖς λέγουσιν· ὑπὲρ γὰρ τῆς ὑμετέρας (5) ἀσφαλείας, τὴν ἐκείνων ἀπώλειαν ἐπολυπραγμονήσαμεν.

κ'. Ἀλλὰ ῥύσαιτο ἡμᾶς ὁ Κύριος ἀπὸ τοιαύτης πλάνης· δοθείη [δὲ] ὑμῖν ἔγρα πρὸς τὸν δράκοντα, ἵνα ὥς περ ἐκεῖνοι τηροῦσι τὴν πτέρναν, οὕτω καὶ ὑμεῖς αὐτῶν πατήσητε τὴν κεφαλήν (6). Μνημονεύετε τῶν λεγομένων. Τίς συμφωνία τῶν σῶν πρὸς τὰ ἐκείνων; τί τὸ φῶς πρὸς τὸ σκότος (7); τί τὸ τῆς Ἐκκλησίας σεμνὸν πρὸς τὸ τῶν Μανιχαίων μυσαρόν; Ὧδε τάξις, ὧδε ἐπιστήμη, ὧδε σεμνότης, ὧδε ἁγνεία· ὧδε καὶ τὸ ἐμβλέψαι γυναικὶ πρὸς

(1) ΒΤ. — Μ, τοὺς πάσης τῆς προεστώσας.
(2) Αὐτόθεν. — Μ, σε. (3) Ματθ. Ε', 45.
(4) ΒΤ. — Μ, αἰσχρᾶς μίξεως.
(5) Μ, ἡμετέρας.
(6) Γενέσ. Γ', 15.
(7) Β' πρὸς Κορινθ. Ϛ', 14—15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπιθυμίαν, κατάγνωσις (1)· ᾧδε γάμος σεμνότητος· ᾧδε ἐγκρατείας ὑπομονή· ᾧδε παρθενίας ἰσάγγελον ἀξίωμα· ᾧδε βρωμάτων μετοχὴ μετὰ εὐχαριστίας· ᾧδε εὐγνωμοσύνη πρὸς τὸν τῶν ὅλων δημιουργόν. Ὧδε ὁ πατὴρ τοῦ Χριστοῦ προσκυνεῖται· ᾧδε φόβος καὶ τρόμος διδάσκεται τοῦ βρέχοντος· ᾧδε τῷ βροντῶντι καὶ ἀστράπτοντι δοξολογίαν ἀναπέμπομεν. Συναγελάζου τοῖς προβάτοις· φεῦγε τοὺς λύκους· τῆς Ἐκκλησίας μὴ ἀναχώρει. Μίσει καὶ τοὺς ποτὲ εἰς τὰ τοιαῦτα ὑποπτευθέντας· καὶ ἐὰν μὴ χρόνῳ καταλάβῃς αὐτῶν τὴν μετάνοιαν, μὴ προπετῶς σεαυτὸν ἐμπιστεύσῃς. Παρεδόθη σοι τῆς μοναρχίας ἡ ἀλήθεια· γνώριζε τὰς βοτάνας τῶν μαθημάτων· γίνου δόκιμος τραπεζίτης, τὸ καλὸν κατέχων, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπεχόμενος (2). Εἰ δὲ καί ποτε τοιοῦτος γέγονας, μίσησον ἐπιγνοὺς τὴν πλάνην· ἔστι γὰρ ὁδὸς σωτηρίας, ἐὰν ἀπεμέσῃς τὸν ἔμετον· ἐὰν ἀπὸ καρδίας μισήσῃς· ἐὰν ἀποστῇς αὐτῶν, μὴ χείλεσι μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ· ἐὰν προσκυνήσῃς τὸν Πατέρα τοῦ Χριστοῦ, τὸν Θεὸν νόμου καὶ προφητῶν· ἐὰν γινώσκῃς τὸν ἀγαθὸν καὶ δίκαιον, ἕνα καὶ τὸν αὐτὸν ὄντα Θεόν· ὃς πάντας ὑμᾶς συντηρήσει, φυλάττων ὑμᾶς ἀπτώτους, ἀσκανδαλίστους, ἐδραίους ἐν τῇ πίστει, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ζ΄. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ ΠΑΤΕΡΑ (3)· *καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἐφεσίους· «Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα» κτλ.* (4).

ά. ΠΕΡΙ μὲν τῆς τοῦ Θεοῦ μοναρχίας αὐτάρκως ἡμῖν ἐν τῇ χθὲς ἡμέρᾳ πρὸς ὑμᾶς εἴρηται. Αὐτάρκως δὲ λέγω, οὐ τὸ πρὸς

(1) Ματθ. Ε΄, 28.
(2) Α΄ πρὸς Θεσσαλ. Ε΄, 21, 22.
(3) ΒΤ. — Μ, εἰς τὸν Πατέρα.
(4) Πρὸς Ἐφες. Γ΄, 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀξίαν (τούτου (1) γὰρ ἐρικέσθαι θνητῇ φύσει παντελῶς ἀδύνατον), ἀλλ' ὅσον ἦκεν εἰς τὴν ἡμετέραν ἀσθένειαν. Καὶ τῆς τῶν ἀθέων αἱρεσιωτῶν πολυσχιδοῦς πλάνης τὰς ἐκτροπὰς διῆλθον· ὧν τὸ βορβορῶδες, καὶ τὸ τῶν ψυχῶν ἰοβόλον ἀποσεισάμενοι, καὶ τὰ κατ' ἐκείνους μνημονεύσαντες, οὐχ ἵνα βλαβῶμεν, ἀλλ' ἵνα μειζόνως αὐτοὺς μισήσωμεν (2), πρὸς ἑαυτοὺς λοιπὸν ἐπανέλθωμεν, καὶ τὰ σωτηριώδη τῆς ἀληθοῦς Πίστεως καταδεξώμεθα, τῷ τῆς μοναρχίας ἀξιώματι τὸ πατρικὸν συνάπτοντες, καὶ πιστεύοντες *εἰς ἕνα Θεὸν Πατέρα*· οὐ γὰρ δεῖ μόνον *εἰς ἕνα Θεὸν* πιστεύειν, ἀλλὰ καὶ τὸ (3) *πατέρα* τοῦτον εἶναι τοῦ μονογενοῦς, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μετ' εὐσεβείας καταδεχώμεθα (4).

Ϛ'. Ταύτῃ γὰρ ἂν τῶν Ἰουδαίων ἀνώτερα φρονοίημεν (5), οἳ τὸ μὲν εἶναι *ἕνα Θεὸν* (6) καταδέχονται τοῖς δόγμασι (τί γὰρ εἰ καὶ τοῦτο διὰ τῆς εἰδωλολατρείας πολλάκις ἠρνήσαντο ;)· τὸ δὲ καὶ *Πατέρα* εἶναι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦτον οὐ παραδέχονται· τοῖς οἰκείοις προφήταις ἐναντία φρονοῦντες, οἵ φασιν ἐν ταῖς θείαις Γραφαῖς· « Κύριος εἶπε πρός με, υἱός μου εἶ σὺ, ἐγὼ » σήμερον γεγέννηκά σε » (7)· καὶ μέχρι σήμερον φρυαττόμενοι, καὶ συναγόμενοι κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ (8)· νομίζοντες ὅτι δυνατόν ἐστι πατρὶ φιλιωθῆναι, χωρὶς τῆς εἰς τὸν υἱὸν εὐσεβείας· ἀγνοοῦντες ὅτι οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ διὰ τοῦ υἱοῦ (9) τοῦ λέγοντος· « Ἐγώ εἰμι ἡ θύρα » (10)· καὶ « Ἐγώ εἰμι ἡ ὁδός» (11). Ὁ τοίνυν τὴν ὁδὸν παραιτούμενος τὴν ἀπάγουσαν πρὸς τὸν Πατέρα, καὶ ὁ τὴν θύραν ἀρνούμενος, πῶς τῆς

(1) ΒΤ. — Μ, τοῦτο.
(2) Ἐκ τοῦ ΒΤ.— Μ, ἑαυτοὺς ὠφελήσωμεν.
(3) Μ, τὸν
(4) Μ, καταδεχόμεθα.
(5) Μ, φρονοῦμεν.
(6) ΒΤ. — Μ, Θεὸν Πατέρα.
(7) Ψαλμ. Β', 7.
(8) Αὐτόθ. 1—3.
(9) Ἰωάν. Ιδ, 6.
(10) Ἰωάν. Ι', 9.
(11) Αὐτόθ. ΙΔ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρὸς τὸν Θεὸν εἰσόδου καταξιωθήσεται ; ἀντιλέγοντες δὲ καὶ τοῖς ἐν ὀγδοηκοστῷ ὀγδόῳ Ψαλμῷ γεγραμμένοις, τὸ « Αὐτὸς ἐπικα-» λέσεταί με· πατήρ μου εἶ σὺ, Θεός μου καὶ ἀντιλήπτωρ τῆς » σωτηρίας μου· κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ » τοῖς βασιλεῦσι τῆς γῆς » (1). Εἰ γὰρ ταῦτα πρὸς τὸν Δαβὶδ, ἢ Σολομῶντα, εἰ καί τινα τῶν καθεξῆς εἰρῆσθαι βιάζοιντο, δειξά-τωσαν πῶς ὁ θρόνος τούτου τοῦ προφητευομένου παρ' αὐτοῖς ἐστιν ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ, καὶ ὡς ὁ ἥλιος ἐναντίον τοῦ Θεοῦ, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα (2). Πῶς δὲ καὶ οὐ δυ-σωποῦνται τὸ γεγραμμένον, τὸ « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά » σε » (3), καὶ τὸ « Συμπαραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης, » γενεᾶς γενεῶν » (4); ἅπερ ἐπ' ἄνθρωπον ἀναφέρειν, πάσης ἀ-γνωμοσύνης ἀνάπλεων καὶ μεστόν. Ἀλλ' Ἰουδαῖοι μὲν τὰ συνήθη τῆς ἀπιστίας ἔν τε τοῖς ῥητοῖς τούτοις, καὶ ἐν τοῖς παραπλησίοις, ἐπειδὴ βούλονται, νοσείτωσαν· ἡμεῖς δὲ τὸ τῆς πίστεως εὐσεβὲς ἀναλαμβάνωμεν (5), Θεὸν ἕνα τὸν πατέρα τοῦ Χριστοῦ προσκυ-νοῦντες. Τὸν γὰρ τοῖς πᾶσι τὸ γεννᾶν χαριζόμενον, τοῦτον τῆς τοιαύτης ἀξίας ἀποστερεῖν ἀνόσιον. Καὶ πιστεύωμεν *εἰς ἕνα Θεὸν Πατέρα*, ἵνα καὶ πρὸ τῶν περὶ Χριστοῦ κινηθησομένων ἡμῖν δι-δασκαλικῶν λόγων ἡ περὶ τοῦ Μονογενοῦς (6) πίστις ἐγκατα-βάλληται τῇ ψυχῇ τῶν ἀκουόντων, ἐκ τῶν μεταξὺ λόγων τῶν περὶ τοῦ Πατρὸς κατὰ μηδοτιοῦν ἀποσχοινιζομένη.

γ'. Τὸ γὰρ τοῦ Πατρὸς ὄνομα ἅμα τῷ τῆς ὀνομασίας προσρή-ματι νοεῖν παρέχει καὶ τὸν Υἱόν· ὥς περ ὁμοίως υἱόν τις ὀνο-μάσας, εὐθὺς ἐνόησε καὶ τὸν πατέρα. Εἰ γὰρ πατὴρ, πάντως ὅτι πατὴρ υἱοῦ· καὶ εἰ υἱὸς, πάντως ὅτι πατρὸς υἱός· ἵν' οὖν μὴ ἐκ τοῦ λέγειν (7) οὕτως· *εἰς ἕνα Θεὸν, Πατέρα Παντο-*

(1) Ψαλμ. ΠΗ', 27—28.
(2) Αὐτόθ. 30, 37 καὶ 38.
(3) Αὐτόθ. ΡΘ', 3.
(4) Αὐτόθ. ΟΑ', 5.
(5) Ἐκ τοῦ ΒΤ. ἀναλαμβάνωμεν, καὶ μικρὸν κατωτέρω, πιστεύωμεν· ἀντὶ τοῦ ἐν τῷ Μ, κατ' ὁριστικὴν ἀναλαμβάνομεν καὶ πιστεύομεν.
(6) Αὐτόθεν. — Μ, ἡ περὶ τοῦ Χριστοῦ.
(7) Αὐτόθεν. — Μ, ἐκ τοῦ μὴ λέγειν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κράτορα, *Ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων*, εἶτα ἐπαγόντων ἡμῶν καὶ τὸ, *Εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν*, ὑπολάβοι τις οὐχ ὁσίως, οὐρανοῦ καὶ γῆς δευτερεύειν τῇ τάξει τὸν Μονογενῆ, διὰ τοῦτο, πρὸ τῆς ἐκείνων ὀνομασίας *Πατέρα* τὸν Θεὸν ὠνομάσαμεν, ἵνα ἅμα τῷ νοεῖν Πατέρα, νοήσωμεν καὶ τὸν Υἱόν· υἱοῦ γὰρ καὶ πατρὸς, οὐδέν ἐστι μεταξὺ τῶν ὄντων. Ἔστι τοίνυν ὁ Θεὸς, πολλῶν μὲν καταχρηστικῶς πατὴρ, ἑνὸς δὲ μόνου φύσει καὶ ἀληθείᾳ τοῦ Μονογενοῦς υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, πατήρ. Οὐ χρόνοις τὸ πατὴρ εἶναι κτησάμενος, ἀλλ' ἀεὶ πατὴρ τοῦ Μονογενοῦς τυγχάνων. Οὐ γὰρ ἄπαις ὢν πρὸ τούτου, [πατὴρ] γέγονεν ὕστερον μεταβουλευσάμενος· ἀλλὰ πρὸ πάσης ὑποστάσεως, καὶ πρὸ πάσης αἰσθήσεως, πρὸ χρόνων τε καὶ πρὸ πάντων τῶν αἰώνων, τὸ πατρικὸν ἀξίωμα ἔχει ὁ Θεός (1)· τούτῳ μᾶλλον ἢ τοῖς λοιποῖς ἀξιώμασι σεμνυνόμενος. Καὶ οὐ πάθει πατὴρ γενόμενος, οὐκ ἐκ συμπλοκῆς, οὐ κατ' ἄγνοιαν, οὐκ ἀπορρεύσας (2), οὐ μειωθείς, οὐκ ἀλλοιωθείς· «Πᾶν »γὰρ δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς »τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα» (3)· Πατὴρ τέλειος, τέλειον υἱὸν γεννήσας· πάντα παραδοὺς τῷ γεγεννημένῳ· «Πάντα γάρ μοι, φησὶ, παρεδόθη ὑπὸ τοῦ πατρός »μου» (4)· καὶ τιμώμενος ὑπὸ τοῦ Μονογενοῦς· «Ἐγὼ γὰρ τιμῶ τὸν Πατέρα » (5), φησὶν ὁ Υἱός· καὶ πάλιν· « Καθὼς ἐγὼ » τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ » ἀγάπῃ » (6). Λέγομεν τοίνυν καὶ ἡμεῖς παραπλησίως τῷ Ἀποστόλῳ· « Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ » Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλή» σεως » (7)· καὶ κάμπτομεν τὰ γόνατα πρὸς τὸν πατέρα,

(1) Ἐκ τοῦ ΒΤ. — Μ, ὁ πατήρ.
(2) Αὐτόθεν.—Μ, ἀπορήσας.
(3) Ἰακώβ. Α', 17.
(4) Ματθ. ΙΑ', 27.
(5) Ἰωάν. Η', 49.
(6) Αὐτόθι ΙΕ', 10.
(7) Β' πρὸς Κορινθ. Α', 3.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται » (1)· δοξάζοντες αὐτὸν σὺν τῷ Μονογενεῖ· « Ὁ γὰρ ἀρνούμενος τὸν πατέρα, καὶ τὸν υἱὸν ἀρνεῖται » (2)· καὶ πάλιν, ὁ ὁμολογῶν τὸν υἱὸν, καὶ τὸν πατέρα ἔχει· γινώσκοντες, ὅτι « Κύριος Ἰησοῦς Χρι- » στὸς εἰς δόξαν Θεοῦ Πατρὸς » (3). Προσκυνοῦμεν τοίνυν τὸν πατέρα τοῦ Χριστοῦ τὸν (4) οὐρανοῦ καὶ γῆς ποιητὴν, τὸν Θεὸν Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακώβ (5)· οὗ πρὸς τιμὴν καὶ ὁ πρότερος ἀντίκρυς ἡμῶν ἐνταῦθα ναὸς ᾠκοδόμητο. Οὐ γὰρ ἀνεξόμεθα τῶν αἱρετικῶν τῶν τὴν παλαιὰν τῆς καινῆς Διαθήκης ἀποσχιζόντων, ἀλλὰ τῷ Χριστῷ πεισθησόμεθα, τῷ λέγοντι περὶ τοῦ ἱεροῦ· « Οὐκ » ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι ;»(6)· καὶ πάλιν, « Ἄρατε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός » μου οἶκον ἐμπορίου » (7)· δι' ὧν σαφέστατα τὸν ἐν Ἱεροσολύ- μοις πρότερον ναὸν, οἶκον εἶναι τοῦ ἑαυτοῦ πατρὸς ὡμολόγει. Εἰ δέ τις ἐξ ἀπιστίας ἀποδείξεις ἔτι πλείονας λαβεῖν βούλεται, περὶ τοῦ τὸν πατέρα τοῦ Χριστοῦ τὸν αὐτὸν εἶναι καὶ κόσμου ποιη- τὴν, ἀκουσάτω πάλιν αὐτοῦ λέγοντος· « Οὐχὶ δύο στρουθία ἀσ- » σαρίου πωλεῖται ; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν » ἄνευ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς » (8)· καὶ τὸ « Ἐμβλέ- » ψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θε- » ρίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ » οὐράνιος τρέφει αὐτά » (9)· καὶ τὸ « Ὁ πατήρ μου ἕως ἄρτι » ἐργάζεται, κἀγὼ ἐργάζομαι » (10).

δ'. Ἀλλ' ἵνα μή τις ἐξ ἀφελείας, ἢ κακεντρεχείας, ἀνθρώπαις δι-

---

(1) Πρὸς Ἐφες. Γ', 14 — 15.
(2) Α'. Ἰωάν. Β', 22, 23.
(3) Πρὸς Φιλιπ. Β', 11.
(4) Ἐκ τοῦ ΒΤ. — Μ. τοῦ.
(5) Ματθ. ΚΒ', 32.
(6) Λουκ. Β', 49.
(7) Ἰωάν. Β', 16.
(8) Ματθ. Γ', 29.
(9) Αὐτ. Ϛ', 26.
(10) Ἰωάν. Ε', 17.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καίοις ἰσότιμον εἶναι τὸν Χριστὸν ὑπολάβῃ, ἐκ τοῦ λέγειν αὐτόν· « Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν » (1), καλὸν ἐκεῖνο προδιαστείλασθαι (2), ὅτι τὸ μὲν τοῦ *Πατρὸς* ἔνεστιν ὄνομα, ποικίλη δὲ τῆς ἐνεργείας ἡ δύναμις. Καὶ τοῦτο αὐτὸς γινώσκων, εἴρηκεν ἀσφαλῶς· *Πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν*· οὐκ εἰπὼν *πρὸς τὸν πατέρα ἡμῶν*, ἀλλὰ διελών, καὶ εἰπὼν πρῶτον τὸ οἰκεῖον, *πρὸς τὸν πατέρα μου*, ὅπερ ἦν κατὰ φύσιν· εἶτ' ἐπαγαγών (3), *καὶ πατέρα ὑμῶν*, ὅπερ ἦν κατὰ θέσιν. Εἰ γὰρ καὶ μάλιστα λέγειν ἐν προσευχαῖς κατηξιώθημεν· « Πάτερ » ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς » (4), ἀλλὰ κατὰ φιλανθρωπίαν ἡ δόσις· οὐ γὰρ κατὰ φύσιν ἐκ τοῦ ἐν οὐρανοῖς Πατρὸς γεννηθέντες, καλοῦμεν αὐτόν· ἀλλ' ἐκ δουλείας εἰς υἱοθεσίαν πατρικῇ χάριτι, διὰ Υἱοῦ καὶ ἁγίου Πνεύματος μετενεχθέντες, ἀφάτῳ φιλανθρωπίᾳ λέγειν τοῦτο καταξιούμεθα. Εἰ δέ τις βούλεται μαθεῖν, ὅπως ἡμεῖς τὸν Θεὸν πατέρα καλοῦμεν, ἀκουέτω τοῦ καλοῦ παιδαγωγοῦ Μωσέως, λέγοντος· « Οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό » σε, καὶ ἐποίησέ σε, καὶ ἔκτισέ σε ; » (5)· καὶ Ἡσαΐου τοῦ προφήτου· « Καὶ νῦν, Κύριε, πατὴρ ἡμῶν σύ· ἡμεῖς δὲ πηλός, » ἔργα τῶν χειρῶν σου πάντες » (6). Σαρέστατα γὰρ ἐδήλωσεν ἡ προφητικὴ χάρις, ὅτι μὴ κατὰ φύσιν, ἀλλὰ κατὰ Θεοῦ χάριν καὶ θέσει, πατέρα καλοῦμεν. Καὶ ἵνα γνῷς ἀκριβέστερον, ὅτι μὴ πάντως ἐν ταῖς θείαις Γραφαῖς ὁ κατὰ φύσιν πατὴρ μόνον καλεῖται πατήρ, ἄκουε Παύλου λέγοντος· « Ἐὰν γὰρ μυρίους παιδα- » γωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ » Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ἡμᾶς ἐγέννησα » (7)· οὐ γὰρ τῷ (8) γεννῆσαι κατὰ σάρκα, ἀλλὰ τῷ διδάξαι καὶ ἀνα-

(1) Ἰωάν. Κ', 17.

(2) Ἐκ τοῦ ΒΤ.— Μ, προσδιαστείλασθαι.

(3) Ἐκ τοῦ ΒΤ.— Μ, ἐπαναγαγών

(4) Ματθ. ς', 9.

(5) Δευτερον. ΑΒ', 6.

(6) Ἡσ. ΞΔ', 8.

(7) Α' πρὸς Κορινθ. Δ', 15.

(8) Ἐκ τοῦ ΒΤ. τῷ γεννῆσαι καὶ μικρὸν κατωτέρω τῷ διδάξαι· ἀντὶ τοῦ ἐν τῷ Μ, τὸ γεννῆσαι, καὶ τὸ διδάξαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γεννῆσαι κατὰ πνεῦμα, Παῦλος ἦν Κορινθίων πατήρ. Ἄκουε δὲ καὶ τοῦ Ἰὼβ λέγοντος· « Ἐγὼ ἤμην πατὴρ ἀδυνάτων » (1)· πατέρα γὰρ ἑαυτὸν, οὐ τῷ γεννῆσαι πένητα (2), ἀλλὰ τῷ κηδεμονεῖν, ὠνόμασεν. Αὐτός τε ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, τῷ ξύλῳ κατὰ τὸν σταυροῦ καιρὸν τὴν σάρκα προσηλωμένος, ἰδὼν τὴν Μαριὰμ τὴν ἑαυτοῦ κατὰ σάρκα μητέρα, καὶ τὸν Ἰωάννην τὸν τῶν μαθητῶν προσφιλέστατον, φησὶ πρὸς ἐκεῖνον μὲν, *ἰδοὺ ἡ μήτηρ σου*· πρὸς δὲ τὴν Μαριὰμ, *ἰδοὺ ὁ υἱός σου* (3)· τὴν ὀφειλομένην φιλοστοργίαν ἐκδιδάσκων· καὶ τὸ παρὰ τῷ Λουκᾷ εἰρημένον πλαγίως ἐπιλύων, τὸ, « Καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐ- » τοῦ θαυμάζοντες, » (4)· ὅπερ ἁρπάζουσιν αἱρεσιωτῶν παῖδες, ἐξ ἀνδρὸς αὐτὸν καὶ γυναικὸς γεγεννῆσθαι λέγοντες. Ὃν περ γὰρ τρόπον ἡ Μαρία μήτηρ Ἰωάννου διὰ τὴν φιλοστοργίαν, οὐ διὰ τὸ γεννῆσαι· οὕτω καὶ Ἰωσὴφ πατὴρ ἐκαλεῖτο τοῦ Χριστοῦ, οὐ διὰ τὸ γεννῆσαι, « Οὐ γὰρ ἔγνω αὐτὴν », κατὰ τὸ εὐαγγέλιον, « ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον » (5), ἀλλὰ διὰ τὴν περὶ τὴν ἀνατροφὴν κηδεμονίαν γεγενημένην. Τοῦτο μὲν οὖν ὑμῖν ἐν παρεκβάσει νῦν ὡς ἐν ὑπομνήσει λελέχθω. Προσθῶμεν δὲ καὶ μαρτυρίαν ἑτέραν ἀποδεικτικὴν τοῦ καταχρησικῶς ἀνθρώπων τὸν Θεὸν καλεῖσθαι πατέρα. Ὅταν γὰρ ἐν Ἡσαΐᾳ λέγηται πρὸς τὸν Θεόν· « Σὺ γὰρ εἶ πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ ἡ Σάρρα » οὐκ ὠδίνησεν ἡμᾶς » (6)· ἆρα ἔτι περὶ τούτου ζητεῖν χρή; Κἂν ὁ ψαλμῳδὸς λέγει· « Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ » πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν » (7), ἆρα οὐ πᾶσι πρόδηλον, ὅτι τῶν νεωστὶ τοὺς οἰκείους πατέρας ἀποβεβληκότων ὀρφανῶν πατὴρ ὁ Θεὸς καλούμενος, οὐ διὰ τὸ γεννᾷν ἐξ αὐτοῦ, ἀλλὰ διὰ τὸ κηδεμονεῖν καὶ ὑπερασπίζειν, ὠνόμασται; Ἀλλὰ τῶν

(1) Ἰὼβ ΚΘ', 16.
(2) Γρ. ἴσ. π έ ν η τ α ς.
(3) Ἰωάν. ΙΘ', 26—27.
(4) Λουκ. Β', 33.
(5) Ματθ. Α', 25.
(6) Ἡσαΐου ΞΓ', 16. Βλ. καὶ ΝΑ', 2.
(7) Ψαλμ. ΞΖ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν ἀνθρώπων, καθὼς εἴρηται, καταχρηστικῶς ἐστι πατήρ· Χριστοῦ δὲ μόνου (1) κατὰ φύσιν ἐστὶ πατὴρ ὁ Θεός, οὐ κατὰ θέσιν· καὶ τῶν μὲν ἀνθρώπων ἐν χρόνοις, Χριστοῦ δὲ πρὸ χρόνων, καθὼς αὐτός φησι· « Καὶ νῦν δόξασόν με σὺ, Πάτερ, παρὰ σεαυτῷ, τῇ » δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί » (2).

ε. Πιστεύομεν τοίνυν *εἰς ἕνα Θεὸν Πατέρα* (3), τὸν ἀνεξιχνίαστον καὶ ἀνεκδιήγητον· « Ὃν ἀνθρώπων μὲν οὐδεὶς ἑώρακεν, ὁ Μονογενὴς δὲ μόνος ἐξηγήσατο » (4). « Ὁ γὰρ ὢν ἐκ τοῦ Θεοῦ, αὐτὸς » ἑώρακε τὸν Θεόν » (5)· « Οὗ τὸ πρόσωπον οἱ Ἄγγελοι διὰ παντὸς » βλέπουσιν ἐν τοῖς οὐρανοῖς » (6)· βλέπουσι δὲ, κατὰ τὸ μέτρον τῆς οἰκείας τάξεως ἕκαστος· τὸ δὲ ἀκραιρνὲς τῆς τοῦ πατρὸς θεωρίας, εἰλικρινῶς Υἱῷ σὺν ἁγίῳ Πνεύματι τετήρηται. Ἐνταῦθα τοῦ λόγου γενόμενος, καὶ τῶν πρὸ βραχέως εἰρημένων ὑπομνησθεὶς, ἐν οἷς ὁ Θεὸς πατὴρ ἀνθρώπων ἀνηγορεύετο, μεγάλως πρὸς τὴν τῶν ἀνθρώπων ἀγνωμοσύνην ἐξίσταμαι. Ὁ μὲν γὰρ Θεὸς ἀφάτῳ φιλανθρωπίᾳ πατὴρ ἀνθρώπων καλεῖσθαι κατηξίωσεν· ὁ ἐν οὐρανοῖς, τῶν ἐπὶ γῆς· καὶ ὁ τῶν αἰώνων ποιητὴς, τῶν ἐν χρόνοις· καὶ ὁ τὴν γῆν κατέχων [ἐν] δρακὶ, τῶν ἐπὶ γῆς ὄντων ὡς ἀκρίδων (7). Ὁ δὲ ἄνθρωπος καταλιπὼν τὸν ἐπουράνιον πατέρα, « Τῷ » ξύλῳ εἶπε, Πατήρ μου εἶ σύ· καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με » (8). Καί μοι δοκεῖ, διὰ τοῦτο πρὸς τὴν ἀνθρωπότητα λέγει ὁ ψαλμῳδός (9), « Καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πα» τρός σου » (10), ὃν εἵλου πατέρα, ὃν ἐπεσπάσω πρὸς τὴν ἀπώλειαν. Οὐ μόνον δὲ ξύλα καὶ λίθους, ἔνιοι δὲ καὶ τὸν Σατανᾶν [αὐτὸν] ἤδη εἵλοντο πατέρα, τὸν ψυχοφθόρον· πρὸς οὓς ἐλεγκτικῶς ἔλεγεν

(1) Ἐκ τοῦ ΒΤ.— Μ, μόνου
(2) Ἰωάν. ΙΖ', 5.
(3) Ἐκ τοῦ ΒΤ.— Μ, εἰς ἕνα Πατέρα Θεόν
(4) Ἰωάν. Α', 18.
(5) Αὐτόθ. ς', 46.
(6) Ματθ. ΙΗ', 10.
(7) Ἡσαΐου Μ', 12 καὶ 22.
(8) Ἱερεμ. Β', 27.
(9) Ἐκ τοῦ ΒΤ.— Μ, ὁ ψαλμός
(10) Ψαλμ. Μδ', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ Κύριος, « Ὑμεῖς τὰ ἔργα τοῦ πατρὸς ὑμῶν ποιεῖτε » (1)· τοῦ διαβόλου, πατρὸς ὄντος ἀνθρώπων, οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ ἀπάτην. Ὃν γὰρ τρόπον διὰ τῆς εὐσεβοῦς διδασκαλίας Παῦλος Κορινθίων πατὴρ ἐκαλεῖτο (2), οὕτω καὶ ὁ διάβολος τῶν ἐκ προαιρέσεως αὐτῷ συντρεχόντων καλεῖται πατήρ. Οὐ γὰρ ἀνεξόμεθα τῶν κακῶς ἐκλαμβανόντων (3) τὸ εἰρημένον ἐκεῖνο, τὸ « Ἐκ τού- » του γινώσκομεν τὰ τέκνα τοῦ Θεοῦ, καὶ τὰ τέκνα τοῦ διαβό- » λου » (4)· ὡς ὄντων φύσει τινῶν, καὶ σωζομένων καὶ ἀπολλυμέ- νων ἐν ἀνθρώποις. Οὔτε γὰρ ἐπάναγκες, ἀλλ' ἐκ προαιρέσεως εἰς τὴν τοιαύτην ἁγίαν υἱοθεσίαν ἐρχόμεθα· οὔτε ἐκ φύσεως ὁ προ- δότης Ἰούδας υἱὸς ἦν διαβόλου καὶ [τῆς] ἀπωλείας· ἢ (5) γὰρ ἂν οὐδ' ὅλως ἐξ ἀρχῆς ἐν ὀνόματι Χριστοῦ δαίμονας ἀπήλασε· « Σατα- » νᾶς γὰρ Σατανᾶν οὐκ ἐκβάλλει » (6)· οὐδ' ἂν πάλιν ὁ Παῦλος ἐκ τοῦ διώκειν εἰς τὸ κηρύττειν μετέβαινεν. Ἀλλ' αὐτεξούσιος ἡ υἱοθεσία, καθώς φησιν ὁ Ἰωάννης· « Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδω- » κεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς » τὸ ὄνομα αὐτοῦ» (7). Οὐ γὰρ πρὸ τῆς πίστεως, ἀλλ' ἐκ τῆς πίστεως τέκνα Θεοῦ γενέσθαι κατηξιώθησαν αὐτεξουσίως.

ϛ'. Τοῦτο τοίνυν γινώσκοντες, πνευματικῶς ἀναστρέψωμεν, ἵνα τῆς υἱοθεσίας τοῦ Θεοῦ καταξιωθῶμεν· « Ὅσοι γὰρ Πνεύματι » Θεοῦ ἄγονται, οὗτοι υἱοί Θεοῦ εἰσιν » (8). Οὐδὲν γὰρ ὄφελος ἡμῖν τὴν Χριστιανῶν κεκτῆσθαι προσηγορίαν, μὴ καὶ τῶν ἔργων ἐπακο- λουθούντων· μή ποτε καὶ πρὸς ἡμᾶς ῥηθῇ τὸ, « Εἰ τέκνα τοῦ Ἀβραὰμ » ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε » (9). « Εἰ γὰρ πατέρα ἐπικα- » λούμεθα τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, » ἐν φόβῳ τὸν τῆς παροικίας ἡμῶν χρόνον ἀναστραφῶμεν » (10), μὴ

(1) Ἰωάν. Η', 41.
(2) Α' πρὸς Κορινθ. Δ', 15.
(3) Ἐκ τοῦ ΒΤ. — Μ, εἰσλαμβανόντων
(4) Α', Ἰωάν. Γ', 10.
(5) ΒΤ, ἡ — γρ. ἴσ. ἤ.
(6) Μάρκ. Γ', 23.
(7) Ἰωάνν. Α', 12.
(8) Πρὸς Ῥωμ. Η', 14.
(9) Ἰωάν. Η', 39.
(10) Α'. Πέτρ. Α', 17.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγαπῶντες τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· « Ἐὰν γάρ τις ἀγαπᾷ » τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Πατρὸς ἐν αὐτῷ » (1). Ὥστε, τέκνα ἀγαπητὰ, δόξαν τῷ ἐν οὐρανοῖς Πατρὶ διὰ τῶν ἔργων προσενέγκωμεν, « Ὅπως ἴδωσιν ἡμῶν τὰ καλὰ ἔργα καὶ δοξά- » σωσι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς » (2). « Πᾶσαν τὴν » μέριμναν ἡμῶν ἐπ' αὐτὸν ἐπιῤῥίψωμεν » (3)· « Οἶδε γὰρ ὁ πατὴρ » ἡμῶν ὧν χρείαν ἔχομεν » (4).

ς'. Τιμῶντες δὲ τὸν ἐπουράνιον Πατέρα, καὶ τοὺς τῆς σαρκὸς ἡμῶν πατέρας (5) τιμήσωμεν (6)· ἐπειδὴ σαφῶς ἐν νόμῳ καὶ προφήταις αὐτὸς ὥρισεν ὁ Κύριος λέγων· « Τίμα τὸν πατέρα σου » καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς » (7). Καὶ τοῦ παραγγέλματος τούτου ἀκουέτωσαν μάλιστα τῶν παρόντων οἱ πατέρας καὶ μητέρας κεκτημένοι· « Τὰ » τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν κατὰ πάντα· τοῦτο γὰρ » εὐάρεστόν ἐστι τῷ Κυρίῳ » (8)· οὐ γὰρ εἶπεν ὁ Κύριος· « Ὁ » φιλῶν πατέρα ἢ μητέρα, οὐκ ἔστι μου ἄξιος » (9), μὴ τὸ καλῶς γεγραμμένον αὐτὸς ἐξ ἀγνοίας ἐκλάβῃς κακῶς, ἀλλὰ τὸ ὑπὲρ ἐμὲ προσέθηκεν. Ὅταν γὰρ τῷ ἐν οὐρανοῖς πατρὶ οἱ ἐπὶ γῆς πατέρες ῥονῶσιν ἐναντία, τότε δεῖ τῷ ῥήματι ἐπακολουθεῖν· ὅταν δὲ μη- δὲν ἡμῖν εἰς εὐσέβειαν αὐτῶν ἐμποδιζόντων, ἀγνωμοσύνῃ φερόμενοι, καὶ τῶν εἰς ἡμᾶς αὐτῶν εὐεργεσιῶν ἀμνημονοῦντες καταφρονῶμεν (10), τότε χώραν ἔξει τὸ λόγιον, τὸ λέγον· « Ὁ κακολογῶν πατέρα » ἢ μητέρα, θανάτῳ τελευτάτω » (11). Χριστιανῶν εὐσέβεια ἐνάρετος πρώτη, τὸ τιμᾶν τοὺς γεννήτορας, τὸ τοὺς πόνους ἀμείψασθαι τῶν φύντων, καὶ πάσῃ δυνάμει τὰ πρὸς ἀνάπαυσιν αὐτοῖς ἐπενεγκεῖν·

(1) Α' Ἰωάν. Β'. 15.
(2) Ματθ. Ε', 16.
(3) Α' Πέτρ. Ε', 7.—ἐπιῤῥίψωμεν, ἐκ τοῦ ΒΤ.—Μ, ἐπιῤῥίψαντες.
(4) Ματθ. Ϛ', 8.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, πατέρας ἡμῶν.
(6) Πρὸς Ἐφ. ΙΒ', 9.
(7) Ἐξόδ. Κ', 12.
(8) Πρὸς Ἐφες. Ϛ', 1.
(9) Ματθ. Ι', 37.
(10) Ἐκ τοῦ ΒΤ. — Μ, καταφρονοῦμεν,
(11) Ἐξόδ. ΚΑ', 16. — Λευϊτ. Κ', 9. — Ματθ. ΙΕ', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κἂν γὰρ τὰ πλεῖστα τούτοις ἀποδῶμεν, ἀλλ' ἀντιγεννῆσαι τούτους οὐδέποτε δυνησόμεθα. Ἵνα καὶ αὐτοὶ τῆς παρ' ἡμῶν ἀναπαύσεως ἀπολαύσαντες (1), εὐλογίαις ἡμᾶς στηρίξωσιν (2), ἃς ὁ πτερνιστὴς Ἰακὼβ ἐμφρόνως ἥρπασε (3)· καὶ τὴν ἀγαθὴν ἡμῶν προαίρεσιν ὁ ἐνοὐρανοῖς πατὴρ ἀποδεξάμενος, καταξιώσειεν ἡμᾶς μετὰ τῶν δικαίων λάμπειν ὡς ὁ ἥλιος, ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς ἡμῶν (4), ᾧ ἡ δόξα σὺν τῷ Μονογενεῖ καὶ Σωτῆρι Ἰησοῦ Χριστῷ, καὶ σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Η'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ ΠΑΝΤΟΚΡΑΤΟΡΑ· *καὶ ἀνάγνωσις ἐκ τοῦ Ἱερεμίου· «Ὁ Θεὸς ὁ μέγας, καὶ ὁ ἰσχυρὸς Κύριος· ὁ μέγας τῇ βουλῇ, καὶ δυνατὸς τοῖς ἔργοις, ὁ Παντοκράτωρ, ὁ μεγαλώνυμος Κύριος» κτλ.* (5).

ά. ΔΙΑ μὲν τοῦ πιστεύειν *εἰς ἕνα Θεὸν*, πᾶσαν πολύθεον πλάνην ἐκκόπτομεν, ὅπλῳ τούτῳ κεχρημένοι πρὸς Ἕλληνας, καὶ πᾶσαν ἐναντίαν αἱρετικῶν δύναμιν· διὰ δὲ τοῦ προστιθέναι, *εἰς ἕνα Θεὸν πατέρα*, πρὸς τοὺς ἐκ περιτομῆς μαχόμεθα, τοὺς ἀρνουμένους τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ. Καθὼς γὰρ εἴρηται τῇ χθὲς ἡμέρᾳ, καὶ πρὶν τρανῶσαι τὰ περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ εἰπεῖν ὅτι *Πατὴρ*, ἤδη ἐδηλώσαμεν ὅτι υἱοῦ ἐστι πατήρ· ἵνα ὥσπερ νοοῦμεν ὅτι Θεός ἐστιν, οὕτω νοήσωμεν ὅτι καὶ υἱὸν ἔχει. Προστίθεμεν δὲ πρὸς ἐκείνους, ὅτι καὶ *Παντοκράτωρ* ἐστί· τοῦτο δὲ καὶ διὰ Ἕλληνας καὶ Ἰουδαίους ὁμοῦ, καὶ πάντας αἱρετικούς φαμεν· Ἑλλήνων μὲν γάρ τινες ψυχὴν τοῦ κόσμου τὸν Θεὸν εἶπον· καὶ ἕτεροι, τὴν ἐξουσίαν αὐτοῦ φθάνειν εἰς οὐρανὸν μόνον, μηκέτι δὲ καὶ εἰς γῆν. Καί τινες πλανηθέντες μετ' ἐκείνων, κακῶς τῷ ῥητῷ συγχρησάμενοι τῷ λέγοντι· « Καὶ ἡ ἀλήθειά σου

(1) Ἐκ τοῦ ΒΤ.— Μ, καὶ αὐτοὶ ταῖς παρ' ἡμῶν ἀναπαύσαντες,
(2) Σοφ. Σειρ. Γ', 6 καὶ 9. (3) Γενέσ. ΚΖ', 36.
(4) Ματθ. ΙΓ', 43. ἐκ τοῦ ΒΤ. — Μ, ὑμῶν, (5) Ἱερεμ. ΛΘ', 19.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ἕως νεφελῶν» (1), ἐτόλμησαν τὴν τοῦ Θεοῦ πρόνοιαν ἕως νεφελῶν περιγράψαι καὶ οὐρανοῦ, ἀπαλλοτριῶσαι δὲ τοῦ Θεοῦ τὰ ἐπὶ γῆς· ἐπιλαθόμενοι τοῦ ψαλμοῦ τοῦ λέγοντος· « Ἐὰν ἀναβῶ » εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει » (2). Εἰ γὰρ ὑψηλότερον μὲν οὐρανοῦ οὐδέν ἐστι, βαθύτερον δὲ τῆς γῆς ὁ ᾅδης, ὁ τὰ κατώτερα κρατῶν ἅπτεται [καὶ] τῆς γῆς. Αἱρετικοὶ δὲ πάλιν, καθὼς εἴρηται καὶ πρότερον, οὐκ οἴδασιν ἕνα παντοκράτορα Θεόν. Παντοκράτωρ γάρ ἐστιν ὁ πάντων κρατῶν, ὁ πάντων ἐξουσιάζων. Οἱ δὲ λέγοντες, τὸν μὲν εἶναι τῆς ψυχῆς δεσπότην, τὸν δέ [τινα] τοῦ σώματος, [οὐδέτερον αὐτῶν] τέλειον λέγουσι, τῷ λείπειν ἑκάτερον θατέρῳ (3). Ὁ γὰρ ψυχῆς ἐξουσίαν ἔχων, σώματος δὲ ἐξουσίαν μὴ ἔχων, πῶς Παντοκράτωρ; καὶ ὁ δεσπόζων σωμάτων, μὴ ἐξουσιάζων δὲ πνευμάτων, πῶς Παντοκράτωρ; Ἀλλ' ἀπελέγχει τούτους ὁ Κύριος, ἀπεναντίας λέγων· « Φοβήθητε μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα » ἀπολέσαι ἐν γεέννῃ » (4). Εἰ γὰρ μὴ ἔχει ἑκατέρων τὴν ἐξουσίαν, πῶς ἀμφότερα ὑποβάλλει τῇ τιμωρίᾳ ὁ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πατήρ; πῶς γὰρ δυνήσεται τὸ ἀλλότριον σῶμα λαβὼν, βαλεῖν εἰς γέενναν, « Ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τὰ » σκεύη αὐτοῦ διαρπάσῃ. » (5);

6'. Ἀλλ' ἡ θεία Γραφὴ, καὶ τὰ τῆς ἀληθείας δόγματα, ἕνα Θεὸν οἶδε, πάντων μὲν κρατοῦντα τῇ δυνάμει, πολλῶν δὲ ἀνεχόμενον, διὰ τὸ θέλειν. Κρατεῖ γὰρ καὶ τῶν εἰδωλολατρῶν, ἀλλ' ἀνέχεται δι' ἀνεξικακίαν. Κρατεῖ καὶ τῶν ἀθετούντων αὐτὸν αἱρετικῶν, ἀλλ' ἀνέχεται διὰ μακροθυμίαν. Κρατεῖ καὶ τοῦ διαβόλου, ἀλλ' ἀνέχεται [διὰ μακροθυμίαν]· οὐ γὰρ ἀδυνατῶν ἀνέχεται ὡς νικώμενος. Ἀρχὴ γάρ ἐστι πλάσματος Κυρίου, πεποιημένος (6) ἐγκαταπαίζεσθαι, οὐχ ὑπ' αὐτοῦ (ἀνάξιος γὰρ ἐστιν), ἀλλ' ὑπὸ

(1) Ψαλμ. ΛΕ', 6 — ΝΓ', 11. — ΡΖ', 5.

(2) Αὐτ. ΡΑΗ', 8.

(3) Ἐκ τοῦ ΒΤ.— Μ, τὸν δὲ τοῦ σώματος, οὐ τέλειον λέγουσι· πῶς γὰρ τέλειος, ὁ λείπων ἕκαστον ἑκατέρῳ.

(4) Ματθ. Ι', 28.

(5) Αὐτ. ΙΒ', 29.

(6) Ἐκ τοῦ ΒΤ. — Μ, πεποιημένον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν ἀγγέλων τῶν ὑπ' αὐτοῦ πεποιημένων (1)· συνεχώρησε δὲ αὐτῷ καὶ τὸ ζῆν, ἵνα δύω γένηται πράγματα· αὐτός τε (2) μειζόνως ἀσχημονῇ νικώμενος, καὶ οἱ ἄνθρωποι στεφανωθῶσιν. Ὦ πανσόφου (3) θείας προνοίας! ἥτις (4) τὴν πονηρὰν προαίρεσιν, εἰς ὑπόθεσιν σωτηρίας λαμβάνει τῶν πιστῶν. Ὡς περ γὰρ τὴν μισάδελφον τῶν ἀδελφῶν [τοῦ] Ἰωσὴφ προαίρεσιν (5) ἔλαβεν εἰς ὑπόθεσιν τῆς ἰδίας οἰκονομίας, καὶ συγχωρήσας αὐτοῖς κατὰ μῖσος πωλῆσαι τὸν ἀδελφόν, ὑπόθεσιν ἔλαβε τοῦ βασιλεῦσαι τοῦτον ὃν (6) ἤθελεν, οὕτω συνεχώρησε παλαίειν τῷ διαβόλῳ, ἵνα οἱ νικῶντες στεφανωθῶσι· καὶ ἵνα νίκης γενομένης, ὁ μὲν μεῖζον ἀσχημονῆται ὑπὸ τῶν ἡττόνων νικώμενος, ἄνθρωποι δὲ μεγάλως εὐδοκιμῶσι τὸν ποτὲ ἀρχάγγελον νικήσαντες. Οὐδὲν οὖν ὑπεξῄρηται τῆς τοῦ Θεοῦ δυνάμεως· περὶ αὐτοῦ γὰρ λέγει ἡ Γραφὴ, « Ὅτι τὰ σύμπαντα δοῦλα σά » (7)· τὰ σύμπαντα μὲν δοῦλα αὐτοῦ, εἷς δὲ αὐτοῦ μόνος Υἱὸς καὶ ἓν τὸ ἅγιον αὐτοῦ Πνεῦμα, ἐκτὸς τούτων πάντων (8). Καὶ τὰ σύμπαντα δοῦλα, διὰ τοῦ ἑνὸς Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, δουλεύει τῷ δεσπότῃ. Κρατεῖ τοίνυν τῶν πάντων ὁ Θεὸς, καὶ ἀνέχεται καὶ φονέων, καὶ λῃστῶν, καὶ πόρνων διὰ μακροθυμίαν· ὁρίσας καιρὸν τῆς προθεσμίας, καθ' ὃν ἀποδίδωσιν ἑκάστῳ, ἵνα πολυχρόνιον λαβόντες τὴν προθεσμίαν, ἀμετανόητον [δὲ] ἔχοντες τὴν καρδίαν, μειζόνως καταδικασθῶσι. Βασιλεῖς εἰσιν ἀνθρώπων οἱ ἐπὶ γῆς βασιλεύοντες, ἀλλ' οὐκ ἄνευ τῆς ἄνωθεν ἐξουσίας· καὶ ἔγνω [ποτὲ] τοῦτο τῇ πείρᾳ ὁ Ναβουχοδονόσορ, εἰπών· « Ὅτι ἡ βασιλεία αὐ-» τοῦ βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς πᾶσαν γενεὰν » καὶ γενεάν » (9).

γ'. Οὐκ ἔστιν ὁ πλοῦτος, καὶ τὸ χρυσίον, καὶ τὸ ἀργύριον τοῦ

---

(1) Ἰώβ. Μ, 14—15.
(2) Ἐκ τοῦ ΒΤ.— Μ, αὐτὸς μὲν
(3) Αὐτόθεν.— Μ, πάνσοφον.
(4) Αὐτόθεν.— Μ, ὅτι
(5) Γενέσ. ΑΖ', κ' ἑπόμ.
(6) Ἐκ τοῦ ΒΤ. — Μ, ὧν
(7) Ψαλμ. ΡΙΗ'. 91.
(8) Ἐκ τοῦ ΒΤ ἡ στίξις.— Μ, Πνεῦμα. Ἐκτὸς τούτων πάντων καὶ τὰ σύμπαντα κτλ. (9) Δαν. Δ', 31.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διαβόλου, καθὼς νομίζουσί τινες· « Τοῦ γὰρ πιστοῦ ὅλος ὁ κό-
» σμος τῶν χρημάτων· τοῦ δὲ ἀπίστου οὐδ' ὀβολός » (1). Διαβόλου δὲ οὐδὲν ἀπιστότερον· καὶ φανερῶς διὰ τοῦ προφήτου λέγει ὁ Θεός· « Ἐμὸν τὸ χρυσίον, καὶ ἐμὸν τὸ ἀργύριον » (2), καὶ ᾧτινι θέλω δίδωμι αὐτό. Σὺ μόνον χρῆσαι καλῶς, καὶ οὐκ ἔστι μεμπτὸν τὸ ἀργύριον· ὅταν δὲ σὺ τῷ καλῷ (3) χρήσῃ κακῶς, τότε μὴ θέλων μέμψασθαι τὴν σὴν διοίκησιν, ἀνάγεις τὴν μέμψιν ἐπὶ τὸν δημιουργὸν ἀσεβῶς. Δύναταί τις καὶ διὰ χρημάτων δικαιωθῆναι· « Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν »· πάντως ὅτι ἀπὸ χρημάτων. « Γυμνὸς ἤμην, καὶ περιεβάλετέ με » (4)· πάντως ὅτι διὰ χρημάτων. Καὶ θέλεις γνῶναι, ὅτι δύναται θύρα γενέσθαι βασιλείας οὐρανῶν τὰ χρήματα; « Πώλησόν σου, φησί, τὰ ὑπάρχοντα, καὶ δὸς
» πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς » (5). Ταῦτα δέ μοι λέλεκται (6) διὰ τοὺς αἱρετικούς, [τοὺς] ἀναθεματίζοντας τὰ κτήματα, καὶ τὰ χρήματα, καὶ τὰ σώματα. Οὔτε γὰρ δοῦλον βούλομαί σε χρημάτων εἶναι, οὔτε ὡς ἐχθροῖς προσέχειν τοῖς εἰς ὑπηρεσίαν ὑπὸ τοῦ Θεοῦ σοι δοθεῖσι. Μὴ τοίνυν ποτὲ εἴπῃς, τοῦ διαβόλου εἶναι τὰ χρήματα· κἂν γὰρ λέγῃ· « Ταῦτα πάντα σοι δώσω,
» ὅτι ἐμοὶ παραδέδοται » (7), δύναται μέν τις αὐτοῦ καὶ ἀθετῆσαι τὸ ῥῆμα· τῷ ψεύστῃ γὰρ οὐ δεῖ πιστεύειν· τάχα γὰρ καὶ ἀναγκασθεὶς ὑπὸ τῆς τοῦ παρόντος δυνάμεως, εἶπε τὴν ἀλήθειαν· οὐ γὰρ [εἶπε] *ταῦτα πάντα σοι δώσω, ὅτι ἐμά ἐστιν, ἀλλ', ὅτι ἐμοὶ παραδέδοται*· οὐ γὰρ τὴν δεσποτείαν ἥρπασεν, ἀλλὰ τὸ ἐγκεχειρῆσθαι καὶ οἰκονομεῖν τέως ὡμολόγησε. Ζητείσθω δὲ κατὰ καιρὸν ὑπὸ τῶν ἐξηγουμένων, πότερον ψεύδεται, ἢ ἀληθεύει. Εἷς τοίνυν ἐστὶν ὁ Θεός, ὁ πατήρ, ὁ παντοκράτωρ, ὃν ἐτόλμησαν αἱρετικῶν παῖδες δυσφημεῖν· ἐτόλμησαν γὰρ δυσφημῆσαι τὸν Κύριον Σα-

(1) Παροιμ. ΙΖ', 4.
(2) Ἀγγ. Β', 8.
(3) Ἐκ τοῦ ΒΤ— Μ, τὸ καλὸν
(4) Ματθ. ΚΕ', 35—36.
(5) Αὐτ. ΙΘ'. 21.
(6) Ἐκ τοῦ ΒΤ.— Μ, λέγε
(7) Ματθ. Δ', 9— καὶ Λουκ. Δ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θαὼθ, τὸν καθήμενον ἐπάνω τῶν Χερουβὶμ (1). Ἐτόλμησαν βλασφημῆσαι τὸν Ἀδωναῖ Κύριον· ἐτόλμησαν βλασφημῆσαι τὸν ἐπὶ προφήταις παντοκράτορα Θεόν. Σὺ δὲ ἕνα προσκύνει τὸν παντοκράτορα Θεὸν, τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (2). Φεῦγε τὴν πολύθεον πλάνην· καὶ φεῦγε πᾶσαν αἵρεσιν, καὶ λέγε κατὰ τὸν Ἰώβ· « Κύριον δὲ τὸν παντοκράτορα ἐπικαλέσομαι, » τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, » ὧν οὐκ ἔστιν ἀριθμὸς » (3)· καὶ τὸ « Ἐπὶ τούτοις πᾶσι, τιμὴ » παρὰ παντοκράτορος » (4)· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Θ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ ΠΟΙΗΤΗΝ ΟΥΡΑΝΟΥ ΚΑΙ ΓΗΣ· ΟΡΑΤΩΝ ΤΕ ΠΑΝΤΩΝ ΚΑΙ ΑΟΡΑΤΩΝ· *καὶ ἀνάγνωσις ἐκ τοῦ Ἰώβ· « Τίς οὗτος ὁ κρύπτων με βουλήν; συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν; » κτλ.(5).*

ά. ΣΑΡΚΟΣ μὲν ὀφθαλμοῖς θεωρῆσαι τὸν Θεὸν, ἀδύνατον· τὸ γὰρ ἀσώματον σαρκὸς ὄμμασιν ὑποπίπτειν οὐ δύναται· καὶ μεμαρτύρηκεν αὐτὸς ὁ μονογενὴς υἱὸς Θεοῦ, λέγων· « Θεὸν οὐδεὶς πώ- » ποτε τεθέαται » (6). Κἂν γὰρ κατὰ τὸ γεγραμμένον ἐν τῷ Ἰεζεκιὴλ ἐκλαμβάνοι (7) τις [ὅτι εἶδεν ὁ Ἰεζεκιήλ]· ἀλλὰ τί λέγει ἡ Γραφή; « Εἶδεν ὁμοίωμα δόξης Κυρίου » (8), οὐκ αὐτὸν τὸν Κύριον, ἀλλὰ *τὸ ὁμοίωμα τῆς δόξης*, καὶ οὐκ αὐτὴν τὴν δόξαν, ὡς ἔστιν ἀληθῶς. Καὶ ἰδὼν τὸ ὁμοίωμα τῆς δόξης μόνον, καὶ οὐκ αὐτὴν τὴν δόξαν, ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τοῦ φόβου. Εἰ δὲ τὸ τῆς δόξης ὁμοίωμα θεαθὲν, φόβον καὶ ἀγωνίαν περιεποίει τοῖς προφήταις, αὐτὸν εἴ τις ἐπιχειρήσειε (9) θεωρῆσαι τὸν Θεὸν, πάντως ἂν καὶ

(1) Ἡσ. ς', 1—3· καὶ Ψαλμ. ΟΘ', 2—3.
(2) Πρὸς Ῥωμ. ΙΕ', 6.
(3) Ἰὼβ Ε', 8—9.
(4) Αὐτ. ΛΖ', 22. (5) Αὐτ. ΛΗ', 2.
(6) Α'. Ἰωάν. Δ', 12. (7) ΒΤ. — Μ, ἐκλαμβάνει (8) Ἰεζεκ. Α', 28.
(9) Ἐκ τοῦ ΒΤ.— Μ, ἐπεχείρησε.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ ζῆν ἀπηλλάττετο, κατὰ τὸ εἰρημένον· « Οὐδεὶς ὄψεται τὸ » πρόσωπόν μου, καὶ ζήσεται » (1). Διὰ τοῦτο, κατὰ τὴν μεγίστην αὐτοῦ φιλανθρωπίαν, ὁ Θεὸς παραπέτασμα τῆς οἰκείας θεότητος ἐξέτεινε τὸν οὐρανόν, ἵνα μὴ ἀπολώμεθα. Οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' ὁ προφήτης εἶπεν· « Ἐὰν ἀνοίξῃς τοὺς οὐρανούς, τρόμος λή» ψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται » (2). Καὶ τί θαυμάζεις εἰ Ἰεζεκιὴλ τὸ ὁμοίωμα τῆς δόξης ἰδὼν ἔπεσεν; ὅπου τῷ Δανιὴλ ὁ Γαβριὴλ, οἰκέτης ὢν τοῦ Κυρίου, ὤρθη, καὶ παραχρῆμα ἔπτηξε καὶ ἔπεσεν ἐπὶ πρόσωπον· καὶ ἄχρις ὅτου ἐξεβιάσατο ἑαυτὸν ὁ ἄγγελος εἰς ὁμοίωμα υἱοῦ ἀνθρώπου, οὐκ ἐτόλμησεν ἀποκριθῆναι ὁ προφήτης (3). Εἰ δὲ Γαβριὴλ ὀπτανόμενος τρόμον ἐνεποίει προφήταις, αὐτὸς ὁ Θεὸς εἰ ὤρθη καθ' ὃ ἦν, οὐκ ἀπώλλυντο πάντες;

Ϛ'. Θείαν τοίνυν φύσιν ἰδεῖν σαρκὸς ὄμμασιν ἀδύνατον· ἐκ δὲ τῶν ἔργων τῶν θείων, εἰς φαντασίαν τῆς δυνάμεως ἐλθεῖν δυνατόν, κατὰ τὸν Σολομῶντα τὸν λέγοντα· « Ἐκ γὰρ μεγέθους καὶ καλ» λονῆς κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται » (4)· οὐ γὰρ εἶπεν, ὅτι ἐκ τῶν κτισμάτων ὁ γενεσιουργὸς (5) θεωρεῖται, ἀλλὰ προσέθηκεν, ὅτι *ἀναλόγως*. Τοσούτῳ γὰρ μεῖζον ἑκάστῳ φαίνεται Θεὸς, ὅσῳ ἂν μείζονος θεωρίας τῶν κτισμάτων ἐπιλάβηται ὁ ἄνθρωπος· καὶ ὅταν διὰ τῆς μείζονος θεωρίας ὑψωθῇ τῇ καρδίᾳ, μείζονα καὶ περὶ Θεοῦ λαμβάνει φαντασίαν. Καὶ θέλεις γνῶναι ὅτι Θεοῦ φύσιν καταλαβεῖν ἀδύνατον; Λέγουσιν οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ τοῦ πυρὸς ὑμνολογοῦντες τὸν Θεόν· « Εὐλογητὸς εἶ ὁ ἐπι» βλέπων ἀβύσσους, καθήμενος ἐπὶ τῶν Χερουβίμ » (6). Εἰπέ μοι, τίς ἐστιν ἡ φύσις τῶν Χερουβὶμ, καὶ τότε τὸν ἐπικαθήμενον θεώρει. Καί τοι γε Ἰεζεκιὴλ ὁ προφήτης καὶ τὴν ἔκφρασιν αὐτῶν ἐποιήσατο κατὰ τὸ δυνατὸν, λέγων· [ὅτι] τέσσαρα πρόσωπα τῷ ἑνί· τὸ μὲν ἀνθρώπου, τὸ δὲ λέοντος, τὸ δὲ ἀετοῦ, τὸ δὲ μόσχου· καὶ ὅτι ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ὀφθαλμοὶ αὐτοῖς παν-

(1) Ἐξόδ. ΑΓ', 20.
(2) Ἡσ. ΞΔ', 1.
(3) Δαν. Η', 15—18.
(4) Σοφ. Σολομ. ΙΓ', 5.
(5) Μ, ὁ δημιουργὸς
(6) Ὕμν. τῶν τριῶν Παίδων, στίχ. 53.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταχόθεν· καὶ ὅτι ὑπὸ ἕκαστον τροχὸς τετραμερὴς ὑποκείμενος (1). Καὶ ὅμως τοῦ προφήτου τὴν ἔκφρασιν ποιουμένου, οὕπω ἡμεῖς οὐδὲ ἀναγινώσκοντες καταλαβεῖν δυνάμεθα. Εἰ δὲ τὸν θρόνον ὃν διηγήσατο καταλαβεῖν οὐ δυνάμεθα, τὸν ἐπικαθήμενον [ὄντα] ἀόρατον (2) καὶ ἀνεκδιήγητον Θεὸν, πῶς καταλαβεῖν δυνησόμεθα; Φύσιν μὲν Θεοῦ πολυπραγμονεῖν ἀδύνατον· δοξολογίας δὲ ἀναπέρπειν αὐτῷ ἐπὶ τοῖς ὁρωμένοις αὐτοῦ δημιουργήμασι, δυνατόν. Ταῦτα δὲ ὑμῖν λέγεται, διὰ τὴν τῆς πίστεως ἀκολουθίαν· καὶ διὰ τὸ λέγειν ἡμᾶς, *Πιστεύομεν εἰς ἕνα Θεὸν* [*πατέρα*] *Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν* [*τε πάντων*] *καὶ ἀοράτων*· ἵνα μνημονεύωμεν, ὅτι αὐτός ἐστι πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ αὐτός ἐστιν ὁ πεποιηκὼς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ ἵνα ἀσφαλιζώμεθα [ἑαυτοὺς] διὰ τὰς ἐκτροπὰς τῶν ἀθέων αἱρετικῶν, τῶν τετολμηκότων κακῶς ἀναγορεύειν τὸν πάνσοφον τεχνίτην παντὸς τοῦδε τοῦ κόσμου· τῶν βλεπόντων μὲν σαρκὸς ὀφθαλμοῖς, τὰ δὲ ὄμματα τῆς διανοίας πεπωρωμένων.

γ'. Τί γὰρ ἔχουσι μέμψασθαι τῷ μεγίστῳ δημιουργήματι τοῦ Θεοῦ; οὓς ἔδει ἐκπλαγῆναι θεωρήσαντας τῶν οὐρανῶν τὰ κύτη· οὓς ἔδει προσκυνῆσαι τὸν στήσαντα ὡς καμάραν τὸν οὐρανόν (3)· τὸν ἐκ ῥευστῆς φύσεως τῶν ὑδάτων, ἄπτωτον ὑπόστασιν οὐρανοῦ ποιήσαντα· εἶπε γὰρ ὁ Θεός· « Γενηθήτω τὸ στερέωμα ἐν μέσῳ » τοῦ ὕδατος » (4). Εἶπεν ὁ Θεὸς (5) ἅπαξ, καὶ ἔστηκε καὶ οὐ πίπτει. Ὕδωρ [ὁ] οὐρανὸς, καὶ πύρινοι οἱ ἐναὐτῷ, ἥλιος καὶ σελήνη καὶ τὰ ἄστρα· καὶ πῶς τὰ πύρινα ἐν τῷ ὕδατι τρέχει; Εἰ δέ τις διὰ τὰς ἐναντίας φύσεις πυρὸς καὶ ὕδατος ἀμφιβάλλει, μνημονευέτω τοῦ πυρὸς τοῦ ἐπὶ Μωσέως ἐν Αἰγύπτῳ φλογίζοντος ἐν τῇ χαλάζῃ (6), καὶ βλεπέτω τοῦ Θεοῦ τὴν πάνσοφον δημιουργίαν. Ἐπειδὴ γὰρ ἦν ὑδάτων χρεία, μελλούσης

(1) Ἰεζεκ. Α', 6 καὶ ἑπόμ. Ἡσ. ς'. 2— Ἀποκάλ. Ἰωάν. Δ', 7 καὶ 8.

(2) Ἐκ τοῦ ΒΤ.—Μ, τὸν ἐπικαθήμενον καὶ ἀόρατον

(3) Ἡσ. Μ', 22.

(4) Γενές. Α', 6.

(5) Ἐκ τοῦ ΒΤ. — Μ, Εἶπε γὰρ ὁ Θεὸς ἅπαξ, καὶ ἔστη καὶ οὐ πίπτει ὕδωρ· οὐρανὸς κτλ.

(6) Ἐξοδ. Θ', 23, 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς γῆς γεωπονεῖσθαι, ὑδατώδη κατεσκεύασεν ὑπεράνω τὸν οὐρανόν, ἵνα ὅταν δι' ὑετῶν ἀρδείας γένηται χρεία τῷ τῆς γῆς χωρίῳ, ἕτοιμος [ἐκ φύσεως] ἡ πρὸς τοῦτο ὁ οὐρανός. Τί δὲ, καὶ θαυμάσαι οὐκ ἔστιν ἀποβλέποντα καὶ εἰς ἡλίου κατασκεύασμα; ὡς μικρὸν γὰρ ὁρώμενον σκεῦος, μεγάλην δύναμιν περιέχει (1), ἐξ ἀνατολῆς φαινόμενος, καὶ μέχρι δύσεως ἀποστέλλων τὸ φῶς· οὗ τὰς πρωϊνὰς ἀνατολὰς διαγράφων ὁ ψαλμῳδὸς ἔλεγε· « Καὶ αὐτὸς ὡς νυμφίος ἐκ- » πορευόμενος ἐκ παστοῦ αὐτοῦ » (2)· τὸ γὰρ φαιδρὸν καὶ σύμμετρον τῆς πρώτης αὐτοῦ καταστάσεως φαινομένης εἰς ἀνθρώπους διέγραφε· μεσημβρινὸν μὲν γὰρ διϊππεύοντα πολλάκις καὶ φεύγομεν, διὰ τὸ φλογῶδες· ἅμα δὲ ταῖς ἀνατολαῖς τερπνός ἐστι τοῖς πᾶσιν, ὡς *νυμφίος* ὁρώμενος (3). Καὶ βλέπε διοίκησιν αὐτοῦ· μᾶλλον δὲ οὐκ αὐτοῦ, ἀλλὰ τοῦ τὸν δρόμον αὐτῷ διὰ προστάγματος ὁρίσαντος, πῶς θέρος μὲν ὑψηλότερος γινόμενος, μακροτέρας ἀπεργάζεται τὰς ἡμέρας, διδοὺς εὐκαιρίαν εἰς ἔργα τοῖς ἀνθρώποις· χειμῶνος δὲ, συστέλλει τὸν δρόμον, ἵνα μὴ τοῦ ψύχους πλείων (4) γένηται ὁ χρόνος· ἀλλ' ἵνα αἱ νύκτες μείζονες (5) γινόμεναι, πρὸς ἄνεσιν μὲν συνεργῶσι τοῖς ἀνθρώποις, συνεργῶσι δὲ καὶ πρὸς καρποφορίαν τῶν γεννημάτων τῇ γῇ (6). Ὅρα δὲ καὶ πῶς ἀντιπαραδιδόασιν ἀλλήλαις εὐτάκτως αἱ ἡμέραι, θέρους μὲν αὐξανόμεναι, χειμῶνος δὲ συστελλόμεναι· ἐν ἔαρι δὲ καὶ φθινοπώρῳ, τὴν ἰσότητα [τῶν] διαστημάτων ἀλλήλαις χαριζόμεναι (7)· καὶ αἱ νύκτες πάλιν ἐπιτελοῦσι τὰ παραπλήσια· ὡς καὶ τὸν ψαλμῳδὸν λέγειν περὶ αὐτῶν· « Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ » νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν » (8). Τοῖς γὰρ οὐκ ἔχουσιν ὦτα αἱρετικοῖς μονονουχὶ βοῶσι, καὶ διὰ τῆς εὐταξίας λέγουσι, μὴ ἄλλον τινὰ εἶναι τὸν Θεὸν, ἢ τὸν δημιουργὸν καὶ ὁροθέτην, τὸν ἐκτάξαντα τὰ ὅλα (9).

(1) Σοφ. Σειρ. ΜΓ', 2. (2) Ψαλμ. ΙΗ', 6.
(3) Ἐκ τοῦ ΒΤ. — Μ, μετ' ἄρθρου· ὁ ὁρώμενος κτλ.
(4) Αὐτόθεν. — Μ, πλεῖον
(5) Αὐτόθεν. — Μ, μειζόνως (6) Αὐτόθεν. — Μ, τῆς γῆς.
(7) ΒΤ. — Μ, σωζόμεναι. (8) Ψαλμ. ΙΗ', 3.
(9) Ἐκ τοῦ ΒΤ.— Μ, τὸν δημιουργὸν ἢ τὸν ὡροθέτην, καὶ τὸν ἐκτάξαντα κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ'. Μηδεὶς δὲ ἀνασχέσθω λεγόντων τινῶν, ἄλλον μὲν εἶναι τὸν φωτὸς ποιητήν, ἄλλον δὲ σκότους. Μνημονευέτω γὰρ Ἡσαΐου λέγοντος· « Ἐγὼ ὁ Θεὸς ὁ ποιήσας φῶς, καὶ κτίσας σκότος » (1). Τί ἀσχάλλεις ἐπ' αὐτῷ, ὦ ἄνθρωπε ; τί βαρέως φέρεις τὸν καιρὸν τὸν εἰς ἀνάπαυσιν σὴν δοθέντα ; οὐκ ἂν οἰκέτης παρὰ δεσποτῶν ἔλαβεν ἀνάπαυσιν, εἰ μὴ τὸ σκότος ἐπάναγκες ἐπήγαγε προθεσμίαν. Πῶς δὲ πολλάκις καμόντες (2) ἐν ἡμέρᾳ, ἐν νυξὶν ἀνανεούμεθα· καὶ ὁ τῇ χθὲς ἡμέρᾳ γεγονὼς ἐν καμάτοις, ἕωθεν γίνεται ῥωμαλέος, διὰ τὴν τῆς νυκτὸς ἀνάπαυσιν ; Τί δὲ νυκτὸς πρὸς σοφίαν χρησιμώτερον ; ἐν ταύτῃ μὲν γὰρ πολλάκις τὰ περὶ Θεοῦ φανταζόμεθα· ἐν αὐτῇ δὲ ἀνάγνωσιν καὶ θεωρίαν τῶν θείων λογίων ποιούμεθα. Πότε δὲ μᾶλλον εἰς ψαλμῳδίαν καὶ προσευχὴν συντέτακται ἡ διάνοια ἡμῶν ; ἆρα οὐκ ἐν νυκτί ; Πότε [δὲ] πολλάκις τῶν οἰκείων ἁμαρτιῶν ἤλθομεν εἰς ὑπόμνησιν ; οὐκ ἐν νυκτί ; Μὴ τοίνυν παραδεξώμεθα κακῶς ἄλλον σκότους εἶναι ποιητήν· ἀγαθὸν γὰρ καὶ τοῦτο δείκνυσιν ἡ πεῖρα καὶ χρησιμώτατον. Ἐχρῆν δὲ αὐτοὺς οὐ μόνον ἡλίου καὶ σελήνης τὴν κατασκευὴν ἐκπλαγῆναι καὶ θαυμάσαι, ἀλλὰ γὰρ καὶ τῶν ἀστέρων τὰς εὐτάκτους χορείας, καὶ τοὺς ἀνεμποδίστους δρόμους, καὶ τὰς ἀνατολὰς τὰς εὐκαίρους ἑκάστου. Καὶ πῶς οἱ μὲν σημεῖά εἰσι θέρους, οἱ δὲ χειμῶνος· καὶ πῶς, οἱ μὲν τοῦ σπόρου τὸν καιρὸν δηλοῦσιν, οἱ δὲ τοῦ πλέειν τὴν ἀρχὴν σημαίνουσι· καὶ ἄνθρωπος ἐν πλοίῳ καθήμενος, καὶ ἐν ἀπεριορίστοις κύμασι πλέων, εἰς ἀστέρας (3) βλέπων, εὐθύνει τὴν ναῦν. Περὶ τούτων γὰρ τῶν πραγμάτων λέγει ἡ Γραφὴ καλῶς τὸ « Καὶ ἔστωσαν εἰς σημεῖα, καὶ » εἰς καιροὺς, καὶ εἰς ἐνιαυτούς » (4)· οὐκ εἰς ἀστρολογίας καὶ γενέσεως μυθολογίας. Ὅρα δὲ πῶς καὶ τὸ τῆς ἡμέρας φῶς καλῶς ἡμῖν ἐχαρίσατο ἐκ προσαγωγῆς· οὐ γὰρ ἅμα τὸν ἥλιον ἀνατέλλειν θεωροῦμεν, ἀλλὰ προτρέχει μικρόν τι φῶς (5), ἵνα προμελετήσασα κόρη, δύναται βλέπειν τῆς ἀκτῖνος τὰ μείζονα· ὅπως δὲ

(1) Ἡσ. ΜΕ', 7.
(2) Ἐκ τοῦ ΒΤ. — Μ, κάμνοντας
(3) Ἐκ τοῦ ΒΤ. — Μ, ἐνικῶς, ἀστέρα
(4) Γενέσ. Α', 14.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, τὸ φῶς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ τῆς νυκτὸς σκότος παρεμυθήσατο τοῖς σεληνιαίοις αὐγάσμασι.

ε. « Τίς ἐστιν ὁ ὑετοῦ πατήρ ; τίς δέ ἐστιν ὁ τετοκὼς βόλους δρόσου ; » (1)· τίς ὁ τὸν ἀέρα παχύνας εἰς νέφη, καὶ κελεύσας τῶν ὄμβρων βαστάζειν τὰ ὕδατα ; καὶ ποτὲ μὲν ἄγων « ἀπὸ βορρᾶ νέφη χρυσαυγοῦντα » (2), ποτὲ δὲ εἰς ἓν εἶδος μεταποιῶν ταῦτα· καὶ πάλιν μεταφέρων εἰς ποικίλα κύκλων καὶ ἄλλα σχήματα ; Τίς ὁ δυνατὸς ἀριθμεῖν νέφη σοφίᾳ, περὶ οὗ φησιν ἐν τῷ Ἰώβ· « Ἐ- » πίσταται δὲ διακρίσεις νεφῶν, οὐρανὸν δὲ εἰς γῆν ἔκλινε· » καὶ τὸ « Ὁ ἀριθμῶν νέφη σοφίᾳ »· καὶ τὸ « Οὐκ ἐῤῥάγη νέφος ὑποκάτω » αὐτοῦ » (3). Τοσαῦτα γὰρ μέτρα ἐπὶ τὰ νέφη ὑδάτων ἐστὶ, καὶ οὐ ῥήγνυται, ἀλλὰ μετὰ πάσης εὐταξίας ἐπὶ τὴν γῆν κατέρχεται. Τίς « Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτῶν » (4) ; Τίς δέ ἐστιν, ὡς προειρήκαμεν, « ὁ τετοκὼς βόλους δρόσου » (5) ; « Ἐκ » γαστρὸς δὲ τίνος ἐκπορεύεται ὁ κρύσταλλος » (6) ; Ὑδατώδης γὰρ ἡ ὑπόστασις, καὶ λιθώδης ἡ ἐνέργεια· καὶ ποτὲ μὲν τὸ ὕδωρ γίνεται χιών, ὡσεὶ ἔριον· ποτὲ δὲ ὑπουργεῖ τῷ πάσσοντι τὴν ὁ- μίχλην ὡς σποδὸν (7), ποτὲ δὲ εἰς λιθώδη ὑπόστασιν μεταβάλ- λεται· ἐπειδὴ οἰακίζει τὸ ὕδωρ ὡς ἂν βούληται. Μονοειδὴς ἡ φύ- σις, καὶ πολυδύναμος ἡ ἐνέργεια· τὸ ὕδωρ, οἶνος μὲν ἐν ἀμπέλοις, εὐφραίνων καρδίαν ἀνθρώπου· καὶ ἔλαιον ἐν ἐλαίαις, λαμπρύνον πρόσωπον ἀνθρώπου· καὶ εἰς ἄρτον δὲ μεταβάλλεται, στηρίζοντα καρδίαν ἀνθρώπου (8)· καὶ εἰς παντοῖα καρπῶν δημιουργήματα. Ἐπὶ τούτοις τί ἔδει ; βλασφημεῖσθαι τὸν δημιουργὸν, ἢ προσκυ- νεῖσθαι μᾶλλον ; καὶ τέως οὔπω λέγω τῆς σοφίας αὐτοῦ τὰ μὴ φαινόμενα. Θεώρησόν μοι τὸ ἔαρ, καὶ τὰ ἄνθη τὰ παντοῖα, ἐν ὁ- μοιότητι διακεκριμένα· ῥόδου μὲν, τὸ ἐρυθρότατον· [κρίνου δὲ, τὸ λευκότατον]. Ἐξ ἑνὸς γὰρ ὑετοῦ ταῦτα καὶ μιᾶς τῆς γῆς· τίς

(1) Ἰὼβ ΛΗ', 28.
(2) Αὐτ. ΛΖ', 21,
(3) Αὐτ. ΛΖ', 15 — ΛΗ', 37. — ΚΥ', 8.
(4) Ψαλμ. ΡΛΔ', 7.
(5) Ἰὼβ ΛΗ', 28.
(6) Αὐτ. 29.
(7) Ψαλμ. ΡΜΖ', 5.
(8) Αὐτ. ΡΓ', 15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ διακρίνων; τίς ὁ δημιουργῶν; Θεώρησόν μοι τὴν ἀκρίβειαν. Ἐκ μιᾶς ὑποστάσεως τοῦ δένδρου, τὸ μὲν εἰς σκέπην, τὸ δὲ εἰς καρποὺς διαφόρους· καὶ εἷς ὁ τεχνίτης. Μιᾶς ἀμπέλου τὸ μέν τι εἰς καῦσιν, τὸ δὲ εἰς βλαστήματα, τὸ δὲ εἰς φυλλάδας, τὸ δὲ εἰς ἕλικας, τὸ δὲ εἰς βότρυν. Ἐκπλάγηθι [καὶ] τοῦ καλάμου τὴν πυκνοτάτην τῶν κόμβων περιβολὴν (1), ἣν ἐποίησεν ὁ τεχνίτης. Ἐκ τῆς μιᾶς γῆς ἑρπετὰ προέρχεται, καὶ θηρία, καὶ κτήνη, καὶ ξύλα, καὶ βρώματα· καὶ χρυσὸς, καὶ ἄργυρος, καὶ χαλκὸς, καὶ σίδηρος, καὶ λίθος. Μία τῶν ὑδάτων ἡ φύσις, καὶ ἐξ αὐτῆς νηκτῶν καὶ ὀρνέων ὑπόστασις· ἵνα ὥς περ ἐκεῖνα νήχεται ἐν τοῖς ὕδασιν, οὕτω καὶ τὰ ὄρνεα ἵπτανται ἐν τῷ ἀέρι.

ς'. « Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ » ὧν οὐκ ἔστιν ἀριθμός » (2). Τίς δύναται διηγήσασθαι τῶν ἰχθύων τῶν ἐν αὐτῇ τὸ κάλλος; τίς δύναται διηγήσασθαι κητῶν τὰ μεγέθη, καὶ τῶν ἀμφιβίων ζώων τὴν ὑπόστασιν· ὅπως καὶ ἐν χέρσῳ γῇ, καὶ ἐν ὕδατι διαιτᾶται; Τίς δύναται διηγήσασθαι τῆς θαλάσσης τὸν βυθὸν καὶ τὸ πλάτος, ἢ τῶν ὑπερμέτρων κυμάτων τὰς ὁρμάς (3); ἀλλ' εἰς τοὺς ὅρους αὐτῆς ἔστηκε διὰ τὸν εἰπόντα· « Ἄχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ· ἀλλ' ἐν σεαυτῇ συντρι- » βήσονταί σου τὰ κύματα » (4)· ἥτις καὶ δηλοῦσα τὸν ἐπηρτημένον αὐτῇ τοῦ προστάγματος λόγον, ἐπεκδραμοῦσα διὰ τῶν κυμάτων, γραμμήν τινα φανερὰν ἐναφίησι τοῖς αἰγιαλοῖς, δηλοῦσα τοῖς ὁρῶσιν ὥσπερ, ὅτι τοὺς προστεταγμένους οὐ παραβέβηκεν ὅρους. Τίς δύναται σκέψασθαι τῶν ἀερίων ὀρνέων τὴν φύσιν; πῶς τὰ μὲν γλῶσσαν περιφέρει μουσικήν· τὰ δὲ παντοῖα τῇ ζωγραφίᾳ πεποίκιλται [διὰ τῶν πτερῶν]· τὰ δὲ, ὑπερπτάντα (5), εἰς μέσον ἀέρα ἔστηκεν ἀκίνητα, ὡς ἱέραξ· ἀπὸ γὰρ τοῦ θείου προστάγματος, « Ἱέραξ ἐκπετάσας τὰς πτέρυγας ἔστηκεν ἀκίνητος,

---

(1) Ἐκ τοῦ ΒΤ. — Μ, τὴν πυκνότητα, τὴν τῶν κόμβων κτλ.
(2) Ψαλμ. ΡΓ', 25.
(3) Μ, τῶν ὑπὲρ μέτρον κυμάτων τὴν ὁρμήν.
(4) Ἰωβ ΑΗ', 11.
(5) Ἐκ τοῦ ΒΤ.— Μ, ὑπὲρ πάντα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» καθορῶν τὰ πρὸς νότον. » (1) ; Τίς δύναται ἀνθρώπων ὑψωθέντα θεωρῆσαι ἀετόν (2); Εἰ δὲ τῶν ὀρνέων τὸ ἀλογώτατον ὑψωθὲν οὐ δύνασαι κατανοῆσαι, πῶς τὸν πάντων ποιητὴν θέλεις κατανοῆσαι; Τίς ἐν ἀνθρώποις θηρίων πάντων οἶδε κἂν τὰ ὀνόματα; ἢ τίς ἑκάστου δύναται διασκέψασθαι τὴν φυσιολογίαν; Εἰ δὲ τῶν θηρίων μόνον οὐδὲ τὰ ὀνόματα γινώσκομεν, πῶς τὸν ποιητὴν αὐτῶν καταληψόμεθα; Ἓν τὸ τοῦ Θεοῦ πρόσταγμα τὸ λέγον· « Ἐξαγαγέτω ἡ γῆ θηρία καὶ κτήνη καὶ ἑρπετὰ, κατὰ γένος » (3)· καὶ διάφοροι φύσεις ἐκ μιᾶς φωνῆς γεγόνασιν ἑνὶ προστάγματι· πρόβατον ἡμερώτατον, καὶ λέων σαρκοβόρος· καὶ διάφοροι ζώων ἀλόγων κινήσεις, μιμήσεις ἔχουσαι διαφόρων προαιρέσεων ἀνθρωπίνων· ἵνα ἀλώπηξ μὲν δηλώσῃ τὸ ἐν ἀνθρώποις δολερόν· ὄφις δὲ τῶν φίλων τοὺς ἰοβόλους· ἵππος δὲ χρεμετιστὴς (4) τῶν νέων τοὺς ἀκολάστους· μύρμηξ δὲ ὁ γεωργότατος, ἵνα διεγείρῃ τὸν ὀκνηρὸν, τὸν νωθρόν· ὅταν γάρ τις ἀργὴν ἔχῃ τὴν νεότητα, τότε ὑπὸ τῶν ἀλόγων ζώων διδάσκεται, διελεγχόμενος ὑπὸ τῆς θείας Γραφῆς λεγούσης· « Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον ἰδὼν » τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος » (5). Βλέπων γὰρ ἐκεῖνον ἑαυτῷ εὐκαίρως θησαυρίζοντα τὴν τροφὴν, μιμοῦ, καὶ θησαύρισον σεαυτῷ καρποὺς ἔργων ἀγαθῶν εἰς τοὺς μέλλοντας αἰῶνας. Καὶ πάλιν· « Πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε » ὡς ἐργάτις ἐστί » (6)· πῶς ἄνθη παντοῖα περιτρέχουσα συντίθησί σοι πρὸς ὠφέλειαν τὸ μέλι, ἵνα καὶ αὐτὸς περιερχόμενος τὰς θείας Γραφὰς, τῆς ἑαυτοῦ (7) σωτηρίας περιδράξῃ, καὶ τούτων ἐμφορούμενος εἴπῃς· « Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου » ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου » (8).

Ζ'. Ἆρα οὐχὶ δοξάζεσθαι μᾶλλον ὁ τεχνίτης ἄξιος; Τί γὰρ,

(1) Ἰωβ ΛΘ', 26.
(2) Αὐτ. 27
(3) Γενές. Α', 24, 25.
(4) Ἱερεμ. Ε', 8.
(5) Παροιμ. Ϛ', 6.
(6) Αὐτ. 8.
(7) Γρ. ἴσ. σεαυτοῦ.
(8) Ψαλμ. ΡΙΗ', 103.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰ καὶ σὺ μὴ πάντων γινώσκεις τὴν ὑπόστασιν, ἤδη ἀργὰ καὶ τὰ γενόμενα; Μὴ γὰρ πασῶν βοτανῶν δύνασαι γνῶναι τὴν ἐνέργειαν; ἢ τὴν ὠφέλειαν δύνασαι μαθεῖν πᾶσαν, τὴν ἐκ παντὸς ζώου προχωροῦσαν (1); Ἤδη καὶ ἐξ ἰοβόλων ἐχιδνῶν ἀντίδοτοι προεχώρησαν (2) εἰς σωτηρίαν ἀνθρώποις. Ἀλλ' ἐρεῖς μοι, δεινὸς ὁ ὄφις· φοβοῦ τὸν Κύριον, καὶ οὐ δυνήσεταί σε βλάψαι. Σκορπίος πληκτικός· φοβοῦ τὸν Κύριον, καὶ οὐ πλήξει σε. Λέων αἱμοβόρος· φοβοῦ τὸν Κύριον, καὶ παρακαθήσεταί σοι, ὡς τῷ Δανιήλ (3). Ἔστι δὲ θαυμάσαι ἀληθῶς καὶ τῶν ζώων τὴν ἐνέργειαν· πῶς τὰ μὲν ἐν κέντροις, ὥς περ ὁ σκορπίος, ἔχει τὸ ὀξύ· ἑτέροις δὲ ἐν τοῖς ὀδοῦσιν ἡ δύναμις· καὶ ἄλλα δι' ὀνύχων καταγωνίζεται· βασιλίσκῳ δὲ τὸ βλέμμα ἡ δύναμις. Ἐκ τῆς ποικίλης οὖν δημιουργίας, νόησον τοῦ δημιουργοῦ τὴν ἐνέργειαν. Ἀλλ' ἴσως ταῦτα οὐ γινώσκεις· μηδέν σοι καὶ τοῖς ἔξωθέν σου ζώοις· εἴσελθε λοιπὸν εἰς σεαυτόν, καὶ ἐκ τῆς σῆς ὑποστάσεως νόησον τὸν τεχνίτην. Τί μεμπτὸν ἐν τῷ σώματί σου πέπλασται; Κράτει σεαυτοῦ, καὶ οὐδὲν ῥαῦλον ἐκ πάντων τῶν μελῶν. Ἐξ ἀρχῆς ὁ Ἀδὰμ ἐν τῷ παραδείσῳ γυμνὸς ἦν μετὰ τῆς Εὔας (4), ἀλλ' οὐ διὰ τὰ μέλη ἦν ἀπόβλητος. Οὐκ ἄρα τὰ μέλη τῆς ἁμαρτίας αἴτια, ἀλλ' οἱ χρώμενοι τοῖς μέλεσι κακῶς· σοφὸς δὲ ὁ τῶν μελῶν ποιητής. Τίς ὁ παρασκευάσας εἰς τεκνογονίαν μήτρας ὄγκους; τίς ὁ τὸ ἄψυχον ἐν αὐτῇ ψυχώσας; τίς ὁ νεύροις καὶ ὀστέοις ἁπαλὰς ἐνείρας, δέρμα δὲ καὶ κρέας περιβαλών (5), καὶ ἅμα τῷ γεννηθῆναι τὸ βρέφος, ἐκ μαστῶν πηγὰς γάλακτος ἐκρέων; Πῶς τὸ μὲν βρέφος εἰς παιδίον αὔξει, καὶ τοῦτο εἰς νεανίαν, εἶτα εἰς ἄνδρα· καὶ πάλιν ὁ αὐτὸς εἰς πρεσβύτην μεταβάλλεται, μηδενὸς καταλαμβάνοντος τῆς μεταβολῆς τὴν καθ' ἡμέραν ἀκρίβειαν; Πῶς τῆς τροφῆς τὸ μὲν ἐξαιματοῦται, τὸ δὲ εἰς προχώρησιν διακρίνεται, τὸ δὲ εἰς

(1) Ἐκ τοῦ ΒΤ. ἠστέξις· ἐν τῷ Μ, γνῶναι τὴν ἐνέργειαν, ἢ τὴν ὠφέλειαν; δύνασαι κτλ.

(2) Αὐτόθεν.— Μ, προεδόθησαν

(3) Δαν. ς', 18.

(4) Γενές. Β', 25.

(5) Ἰωβ Γ', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σάρκας μεταβάλλεται; Τίς ὁ τὴν καρδίαν ἀεικινήτως κινῶν; τίς ὁ τὴν ἀπαλότητα τῶν ὀφθαλμῶν τῇ τῶν βλεφάρων περιβολῇ σορῶς ἀσφαλισάμενος; περὶ γὰρ τῆς ποικίλης καὶ θαυμασίας τῶν ὀφθαλμῶν κατασκευῆς αἱ πολύστιχοι τῶν ἰατρῶν μόγις ἐξηγοῦνται βίβλοι. Τίς ὁ τὴν μίαν ἀναπνοὴν εἰς ὅλον τὸ σῶμα διαδούς; Βλέπεις, ἄνθρωπε, τὸν τεχνίτην; βλέπεις τὸν σοφὸν δημιουργόν; ἡ'. Ταῦτά σοι νῦν ἐπλάτυνεν ὁ λόγος, πολλῶν καὶ ἄλλων μυρίων καταλελειμμένων, καὶ μάλιστα τῶν ἀσωμάτων καὶ ἀοράτων· ἵνα μισήσῃς μὲν τοὺς βλασφημοῦντας τὸν σοφὸν καὶ ἀγαθὸν τεχνίτην, ἐκ δὲ τῶν εἰρημένων καὶ ἀναγινωσκομένων, καὶ ὧν ἂν αὐτὸς εὑρεῖν ἢ νοῆσαι δυνηθείης, ἐκ μεγέθους κτισμάτων καὶ καλλονῆς, ἀναλόγως τὸν γενεσιουργὸν θεωρήσας (1), γόνυ κάμπτων εὐσεβῶς τῷ τῶν ὅλων ποιητῇ, τῶν αἰσθητῶν λέγω καὶ νοητῶν, ὁρατῶν [τε] καὶ ἀοράτων, μετ' εὐγνώμονος καὶ εὐρήμου γλώττης, ἀδιαλείπτοις τε χείλεσιν ἀνυμνῇς (2) καὶ καρδίᾳ τὸν Θεὸν, λέγων· « Ὡς θαυμαστὰ τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίη» σας » (3). Σοὶ γὰρ πρέπει τιμὴ, δόξα, καὶ μεγαλωσύνη, νῦν τε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Γ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ ΚΑΙ ΕΙΣ ΕΝΑ ΚΥΡΙΟΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ· *καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Α' ἐπιστολῆς· « Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς· ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ· » κτλ. (4).*

Οἱ πιστεύειν *εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα* δεδιδαγμένοι, καὶ εἰς *υἱὸν μονογενῆ* πιστεύειν ὀφείλουσιν· « Ὁ γὰρ ἀρνούμενος

---

(1) Σοφ. Σολ. ΙΓ', 5.
(2) Ἐκ τοῦ ΒΓ.— Μ, ἀνυμνήσω
(3) Ψαλμ. ΡΓ', 24.
(4) Α' πρὸς Κορινθ. Η', 5—6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» τὸν Υἱόν, οὐδὲ τὸν Πατέρα ἔχει » (1)· « Ἐγώ εἰμι ἡ θύρα », φησὶν ὁ Ἰησοῦς· « Οὐδεὶς εἰσέρχεται πρὸς τὸν Πατέρα, εἰμὴ δι' ἐμοῦ » (2). Ἐὰν γὰρ ἀρνήσῃ τὴν θύραν, ἀποκέκλεισταί σοι ἡ πρὸς τὸν πατέρα γνῶσις· « Οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα, εἰμὴ ὁ Υἱός, » καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ » (3)· ἐὰν γὰρ ἀρνήσῃ τὸν ἀποκαλύπτοντα, μένεις ἐν ἀγνωσίᾳ. Ἀπόφασίς ἐστιν ἐν εὐαγγελίοις λέγουσα· « Ὁ μὴ πιστεύων εἰς τὸν υἱόν, οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ » τοῦ Θεοῦ μένει ἐπ' αὐτόν » (4)· ἀγανακτεῖ γὰρ πατὴρ υἱοῦ τοῦ μονογενοῦς ἀθετουμένου. Δεινὸν μὲν γὰρ βασιλεῖ καὶ τὸν στρατιώτην ἁπλῶς ἀτιμασθῆναι· ὅταν δὲ τῶν ἐνδοξοτέρων τις ὑπασπιστῶν ἢ φίλων ἀτιμασθῇ, τότε προστίθεται μείζων ἡ ὀργή· ἐὰν δὲ καὶ αὐτόν τις τὸν μονογενῆ υἱὸν τοῦ βασιλέως ὑβρίσῃ, τίς παρακαλέσει πατέρα ὑπὲρ υἱοῦ μονογενοῦς ἀγανακτοῦντα ; Εἴ τις οὖν εὐσεβεῖν εἰς Θεὸν βούλεται, προσκυνείτω τὸν Υἱόν, ἐπεὶ οὐ παραδέχεται τὴν λατρείαν ὁ Πατήρ. Πατὴρ οὐρανόθεν ἐπεφώνησε (5) λέγων· « Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ ηὐ- » δόκησα » (6). Εὐδόκησεν ὁ πατὴρ ἐν τῷ υἱῷ· ἐὰν μὴ καὶ σὺ εὐδοκήσῃς, ζωὴν οὐκ ἔχεις. Μὴ συμπαραφέρου (7) τοῖς Ἰουδαίοις πανούργως λέγουσι τὸ, εἷς Θεὸς μόνος· ἀλλὰ μετὰ τοῦ εἰδέναι [ὅτι] εἷς Θεὸς, γίνωσκε ὅτι καὶ υἱός ἐστι Θεοῦ μονογενής. Ἐγὼ τοῦτο πρῶτος οὐκ εἶπον, ἀλλ' ὁ ψαλμῳδὸς ἐκ προσώπου τοῦ Υἱοῦ (8) λέγει· « Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ » (9). Μὴ οὖν τί λέγουσιν οἱ Ἰουδαῖοι πρόσεχε, ἀλλὰ τί λέγουσιν οἱ προφῆται. Θαυμάζεις εἰ ἀθετοῦσι τῶν προφητῶν τὰ ῥήματα οἱ τοὺς προφήτας λιθάσαντες καὶ ἀποκτείναντες ;

6'. Σὺ πίστευε *εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν*, [*τὸν υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ*· ἕνα δὲ λέγομεν Κύριον Ἰησοῦν Χρι-

(1) Α' Ἰωάν. Β', 23.
(2) Ἰωάν. Ι', 9· καὶ ΙΔ', 6.
(3) Ματθ. ΙΑ', 27. (4) Ἰωάν. Γ', 36.
(5) Ἐκ τοῦ ΒΤ.— Μ, ὑπεφώνησε.
(6) Ματθ. Γ, 17.
(7) Ἐκ τοῦ ΒΤ. — Μ, Μὴ συμπεριφέρου
(8) Ἐκ τοῦ ΒΤ.— Μ, τοῦ Θεοῦ. (9) Ψαλμ. Β', 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στὸν,] ἵνα μονογενὴς (1) ᾖ ἡ υἱότης· ἕνα λέγομεν, ἵνα μὴ ὑπονοήσῃς ἄλλον· ἕνα λέγομεν, ἵνα μὴ τὸ πολυώνυμον τῆς ἐνεργείας εἰς πολλοὺς υἱοὺς ἐκχέῃς δυσσεβῶς. Λέγεται γὰρ *θύρα* (2), ἀλλὰ μὴ ξυλίνην [εἶναι] νόμιζε τὴν προσηγορίαν· ἀλλὰ θύραν λογικὴν, ζῶσαν, διακριτικὴν τῶν εἰσερχομένων. *Ὁδὸς* (3) καλεῖται· οὐ ποσὶ πατουμένη, ἀλλ' ὁδηγοῦσα πρὸς τὸν ἐν οὐρανοῖς πατέρα. *Πρόβατον* (4) καλεῖται· οὐκ ἄλογον, ἀλλὰ τὸ διὰ τοῦ τιμίου αἵματος αὐτοῦ καθαρίζον τὴν οἰκουμένην τῶν ἁμαρτιῶν (5), τὸ ἀγόμενον ἐνώπιον τοῦ κείροντος, καὶ γινῶσκον πότε δεῖ σιωπᾶν (6). Τοῦτο τὸ πρόβατον πάλιν καλεῖται *ποιμὴν*, ὁ λέγων· « Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός » (7)· πρόβατον διὰ τὴν ἀνθρωπότητα, ποιμὴν διὰ τὴν φιλανθρωπίαν τῆς θεότητος. Καὶ θέλεις γνῶναι, ὅτι πρόβατά ἐστι λογικά ; Λέγει τοῖς Ἀποστόλοις ὁ Σωτήρ· « Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς » πρόβατα ἐν μέσῳ λύκων » (8). *Λέων* καλεῖται· οὐκ ἀνθρωποβόρος, ἀλλὰ τὸ βασιλικὸν καὶ στερρὸν καὶ πεποιθὸς τῆς ὑποστάσεως, διὰ τῆς προσηγορίας ὡς περ ἐνδεικνύμενος (9). Λέων δὲ καλεῖται, ἀπ' ἐναντίας τῷ λέοντι τῷ ἀντιδίκῳ, τῷ ὠρυομένῳ, καὶ τοὺς ἡπατημένους καταπίνοντι (10)· ἦλθε γὰρ ὁ Σωτὴρ, οὐ μεταβαλὼν τὸ πρᾶον τῆς φύσεως τῆς ἑαυτοῦ, ἀλλ' ὡς « λέων δυνατὸς » ἐκ φυλῆς Ἰούδα » (11), σώζων μὲν τοὺς πιστεύοντας, καταπατῶν δὲ τὸν ἀντίδικον. *Λίθος* καλεῖται· οὐκ ἄψυχος ὑπὸ χειρῶν ἀνθρώπων λατομούμενος, ἀλλὰ λίθος ἀκρογωνιαῖος, εἰς ὃν ὁ πιστεύσας οὐ καταισχυνθήσεται (12)· *Χριστὸς* καλεῖται (13), οὐ χερσὶν ἀνθρω-

(1) Ἐκ τοῦ ΒΤ.— Μ, ὁ μονογενὴς
(2) Ἰωάν. Ι', 7.
(3) Αὐτ. ΙΔ', 6.
(4) Πράξ. Ἀποστόλ. Η', 32.
(5) Α' Πέτρ. Α', 19.
(6) Ἡσ. ΝΓ', 7.
(7) Ἰωάν. Ι', 21.
(8) Ματθ. Ι', 16.
(9) Ἀποκάλυψ. Ἰωάν. Ε', 5.
(10) Α' Πέτρ. Ε', 8.
(11) Ἀποκάλ. Ἰωάν. Ε', 5.
(12) Πρὸς Ἐφες. Β', 20. — πρὸς Ῥωμ. Θ', 33. — Α' Πέτρ. Β', 4. — Ψαλμ. ΡΙΖ', 22. — Ἡσ. ΚΗ', 16. — Δαν. Β', 34. (13) Ματθ. Α' 16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πίναις κεχρισμένος, ἀλλ' ὑπὸ τοῦ Πατρὸς ἀϊδίως εἰς τὴν ὑπὲρ ἀνθρώπων ἀρχιερωσύνην χρισθείς (1). *Νεκρὸς* καλεῖται· οὐκ ἀπομείνας ἐν νεκροῖς, ὡς πάντες ἐν ᾅδῃ, ἀλλὰ μόνος ἐν νεκροῖς ἐλεύθερος (2). *Υἱὸς ἀνθρώπου* καλεῖται (3)· οὐχ ὡς ἕκαστος ἡμῶν ἐκ γῆς τὴν γέννησιν ἐσχηκὼς, ἀλλ' ἐρχόμενος ἐπὶ τῶν νεφελῶν κρῖναι ζῶντας καὶ νεκρούς (4). *Κύριος* καλεῖται (5)· οὐ καταχρηστικῶς ὡς [οἱ] ἐν ἀνθρώποις, [ἀλλὰ ὡς φυσικὴν καὶ ἀΐδιον ἔχων κυρείαν]. *Ἰησοῦς* καλεῖται φερωνύμως (6), ἐκ τῆς σωτηριώδους ἰάσεως ἔχων τὴν προσηγορίαν· *Υἱὸς* καλεῖται· οὐ θετικῶς προαχθείς, ἀλλὰ φυσικῶς γεννηθείς (7). Καὶ πολλαὶ τοῦ Σωτῆρος ἡμῶν εἰσιν αἱ προσηγορίαι. Ἵνα τοίνυν μὴ τὸ πολυώνυμον τῆς προσηγορίας πολλοὺς υἱοὺς ποιήσῃ σε νομίζειν· καὶ διὰ τὰς πλάνας τῶν αἱρετικῶν, τῶν λεγόντων ἄλλον μὲν εἶναι τὸν *Χριστὸν*, ἄλλον δὲ τὸν *Ἰησοῦν*, ἄλλον δὲ τὴν *θύραν*, καὶ τὰ λοιπά· προασφαλίζεταί σε ἡ πίστις, λέγουσα καλῶς, *εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν*. Εἰ γὰρ καὶ πολλαὶ αἱ προσηγορίαι, ἀλλ' ἓν τὸ ὑποκείμενον.

γ'. Ἑκάστῳ δὲ ποικίλος (8) ὁ Σωτὴρ γίνεται πρὸς τὸ συμφέρον. Τοῖς μὲν γὰρ εὐφροσύνης χρείαν ἔχουσιν, ἄμπελος γίνεται (9)· τοῖς δὲ χρείαν ἔχουσιν εἰσελθεῖν, ἔστηκε θύρα (10)· καὶ τοῖς χρείαν ἔχουσι προσενέγκαι τὰς εὐχὰς, ἔστηκε μεσίτης ἀρχιερεύς (11). Πάλιν τοῖς ἔχουσιν ἁμαρτίας, γίνεται πρόβατον, ἵνα ὑπὲρ αὐτῶν σφαγιασθῇ. Τοῖς πᾶσι γίνεται πάντα (12), μένων αὐτὸς κατὰ φύσιν ὅπερ ἐστί. Μένων γὰρ καὶ ἔχων τὸ τῆς υἱότητος ἀληθῶς ἀπαρά-

(1) Πράξ. Ἀποστόλ. Δ', 27· καὶ Γ', 38. — Πρὸς Ἑβρ. Β', 5 κ' ἑπόμ. Γ', 1 κ' ἑπόμ. καὶ Ε', 1 κ' ἑπόμ.
(2) Ἀποκάλυψ. Ἰωάν. Α', 18. — Ψαλμ. ΙΕ', 10. καὶ ΠΖ', 5.
(3) Ματθ. ΙϚ', 13.
(4) Αὐτόθ. ΚΔ', 30.
(5) Λουκ. Β', 11. καὶ Ἰωάν. Π', 13.
(6) Ματθ. Α', 21.
(7) Ματθ. Γ', 17. — Ψαλμ. Β', 7. (8) Ἐκ τοῦ ΒΤ. — Μ, ποικίλως
(9) Ἰωάν. ΙΕ', 1.
(10) Αὐτόθ. Ι', 7.
(11) Α' πρὸς Τιμόθ. Β', 5.— Πρὸς Ἑβρ. Ζ', 26.
(12) Α' πρὸς Κορινθ. Θ', 22.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τρεπτον ἀξίωμα, κάλλιστος οἷά τις ἰατρὸς καὶ διδάσκαλος συμπαθὴς, συμπεριφέρεται ταῖς ἡμετέραις ἀσθενείαις, Κύριος ὢν κατὰ ἀλήθειαν, οὐκ ἐκ προκοπῆς τὸ κυριεύειν λαβὼν, ἀλλ' ἐκ φύσεως τὸ τῆς κυριότητος ἔχων ἀξίωμα. Καὶ οὐ καταχρηστικῶς, ὡς ἡμεῖς, Κύριος καλούμενος, ἀλλὰ τῇ ἀληθείᾳ Κύριος ὤν· ἐπειδὴ νεύματι Πατρὸς κυριεύει τῶν οἰκείων δημιουργημάτων. Ἡμεῖς μὲν γὰρ ἔχομεν τὸ κυριεύειν ἀνθρώπων ἰσοτίμων καὶ ὁμοιοπαθῶν, πολλάκις δὲ καὶ προγενεστέρων· καὶ νέος πολλάκις δεσπότης, οἰκετῶν ἄρχει πρεσβυτέρων· ἐπὶ δὲ τοῦ Κυρίου (1) ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ κυριεύειν οὐχ οὕτως· ἀλλὰ πρῶτον ποιητὴς, εἶτα Κύριος· πρῶτον ἐποίησε θελήματι Πατρὸς τὰ πάντα, εἶτα κυριεύει τῶν ὑπ' αὐτοῦ γενομένων. Χριστὸς δὲ ὁ Κύριός ἐστιν, ὁ τεχθεὶς ἐν πόλει Δαβίδ.

δ'. Καὶ θέλεις γνῶναι, ὅτι σὺν τῷ Πατρὶ καὶ πρὸ τῆς ἐνανθρωπήσεώς ἐστι Χριστὸς Κύριος, ἵνα μὴ μόνον τῇ πίστει παραδέξῃ τὸ λεγόμενον, ἀλλὰ καὶ ἀπόδειξιν λάβῃς ἀπὸ τῆς παλαιᾶς Γραφῆς; Ἐλθὲ ἐπὶ τὴν πρώτην βίβλον, τὴν Γένεσιν. Λέγει ὁ Θεός· « *Ποιήσωμεν ἄνθρωπον*, οὐ κατ' εἰκόνα ἐμὴν, ἀλλὰ *κατ' εἰκόνα* » *ἡμετέραν* (2). Καὶ μετὰ τὸ γενέσθαι τὸν Ἀδάμ, φησί· « Καὶ ἐ- » ποίησε Κύριος τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν » (3)· οὐ γὰρ περιώρισεν εἰς τὸν Πατέρα μόνον τὸ τῆς θεότητος ἀξίωμα, ἀλλὰ συμπεριέλαβε καὶ τὸν Υἱόν· ἵνα δειχθῇ, ὅτι ὁ ἄνθρωπος οὐ μόνον Θεοῦ ποίημα, ἀλλὰ καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὄντος καὶ αὐτοῦ Θεοῦ ἀληθινοῦ. Οὗτος ὁ Κύριος ὁ τῷ Πατρὶ συνεργαζόμενος, συνήργησε καὶ ἐπὶ Σοδόμων κατὰ τὴν λέγουσαν Γραφήν· « Καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα » πῦρ καὶ θεῖον, παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ. » (4). Οὗτος ὁ Κύριος ὤφθη τῷ Μωϋσεῖ πάλιν ὡς ἐδύνατο ἰδεῖν (5). Φιλάνθρωπος γὰρ ὁ Κύριος, ἀεὶ συμπεριφερόμενος ἡμετέραις ἀσθενείαις. Καὶ ἵνα δὲ γνῷς ὅτι οὗτός ἐστιν ὁ τῷ Μωϋσεῖ ὀφθείς, δέξαι μαρτυρίαν

(1) Ἐκ τοῦ ΒΓ.— Μ, ἐπεὶ δὲ καὶ τοῦ Κυρίου κτλ.
(2) Γενέσ. Α', 26·
(3) Αὐτόθ. 27.
(4) Αὐτόθ. ΙΘ', 24.
(5) Ἐξόδ. Γ', 2, 6· καὶ Δ', 5—6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Παύλου λέγοντος· « Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης » πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός » (1). Καὶ πάλιν· « Πίστει » Μωϋσῆς κατέλιπεν Αἴγυπτον »· καὶ μετ' ὀλίγα φησί· « Κρείττονα » πλοῦτον ἡγησάμενος τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ τῶν ἐν Αἰγύπτῳ » θησαυρῶν » (2). Οὗτος ὁ Μωϋσῆς φησι πρὸς αὐτόν· « Ἐμφάνισόν » μοι σεαυτόν » (3). Βλέπεις ὅτι καὶ οἱ προφῆται τότε ἔβλεπον τὸν Χριστὸν, ἀλλὰ καθὸ ἐχώρουν ἕκαστος. *Ἐμφάνισόν μοι σεαυτὸν, γνωστῶς ἴδω σε.* Ὁ δέ φησιν· « Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, » καὶ ζήσεται » (4). Διὰ τοῦτο τοίνυν, ἐπειδὴ τὸ τῆς θεότητος πρόσωπον οὐδεὶς ἠδύνατο ἰδεῖν ζῶν, ἀνέλαβε τὸ τῆς ἀνθρωπότητος πρόσωπον, ἵνα τοῦτο ἰδόντες ζήσωμεν. Καὶ ὅτε δὲ ἠθέλησε καὶ αὐτὸ τοῦτο δεῖξαι μετ' ὀλίγης ἀξίας, ὅτε τὸ *πρόσωπον αὐτοῦ ἔλαμψεν ὡς ὁ ἥλιος*, οἱ μαθηταὶ πίπτουσι ροβηθέντες (5). Εἰ δὲ τὸ τοῦ σώματος πρόσωπον λάμψαν, οὐ καθὸ ἐδύνατο [ὁ] ἐνεργῶν, ἀλλὰ καθὸ ἐχώρουν οἱ μαθηταὶ, ἐφόβησεν αὐτοὺς, καὶ ὅμως ἐνέγκαι οὐκ ἐδυνήθησαν, πῶς εἰς τὸ τῆς θεότητος ἀξίωμα ἀτενίσαι τις ἠδύνατο ; Μέγα, φησὶν ὁ Κύριος, ἐπιθυμεῖς, ὦ Μωϋσῆ, καὶ ἀποδέχομαί σου τὴν ἄπληστον ἐπιθυμίαν, « Καὶ τοῦτόν σοι τὸν λόγον » ποιήσω », ἀλλὰ καθὸ χωρεῖς· « Ἰδοὺ τίθημί σε εἰς τὴν ὀπὴν τῆς » πέτρας » (6)· ὡς γὰρ μικρὸς, μενεῖς ἐν μικρᾷ περιγραφῇ. Ὥδε μοι λοιπὸν ἀσφάλισον, διὰ τοὺς Ἰουδαίους, τὸ λεχθησόμενον. Ὁ γὰρ σκοπὸς ὑμῖν ἀποδεῖξαι, ὅτι ἦν παρὰ τῷ Πατρὶ [ὁ] Κύριος Ἰησοῦς Χριστός. Λέγει τοίνυν ὁ Κύριος πρὸς τὸν Μωϋσῆν· « Ἐγὼ παρε- » λεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω ἐν ὀνόματι » Κυρίου ἐναντίον σου » (7)· Κύριος ὢν, ποῖον Κύριον καλεῖ; Καὶ βλέπεις ὅπως ἐπικεκαλυμμένως ἐδίδασκε τὸ εὐσεβὲς περὶ Πατρὸς καὶ Υἱοῦ δίδαγμα ; Καὶ πάλιν ἐν τοῖς ἑξῆς αὐτολεξεὶ γέγραπται· « Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ » ἐκεῖ· καὶ ἐκάλεσε· Κύριος, Κύριος οἰκτίρμων καὶ ἐλεήμων, μα-

(1) Α' πρὸς Κορινθ. Ι', 4.
(2) Πρὸς Ἑβρ. ΙΑ', 26—27.
(3) Ἐξόδ. ΛΓ', 13. (4) Αὐτόθ. ΛΓ', 20.
(5) Ματθ. ΙΖ', 2. (6) Ἐξόδ. ΛΓ', 17, 21—22.
(7) Αὐτόθ. 19.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» κρόθυμος καὶ πολυέλεος, καὶ ἀληθινός, καὶ δικαιοσύνην δια-
» τηρῶν, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας, καὶ
» ἀδικίας, καὶ ἁμαρτίας » (1). Εἶτα ἑξῆς, *κύψας Μωϋσῆς* [καὶ προσκυνήσας] *ἐνώπιον τοῦ Κυρίου*, τοῦ καλοῦντος τὸν Πατέρα, λέγει· « Συμπορεύθητι δή, Κύριε, μεθ' ἡμῶν » (2).

ε'. Ἔχεις ταύτην πρώτην ἀπόδειξιν· δέξαι καὶ δευτέραν φανεράν. « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου » (3). Κύριος Κυρίῳ ταῦτα λέγει, οὐ δούλῳ· ἀλλὰ κυρίῳ μὲν τῶν πάντων, υἱῷ δὲ αὐτοῦ, *ᾧ πάντα ὑπέταξεν*. « Ὅταν δὲ εἴπῃ, ὅτι,
» πάντα αὐτῷ ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος
» αὐτῷ τὰ πάντα· καὶ τὰ ἑξῆς· « ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν
» πᾶσι » (4). Κύριός ἐστι τῶν πάντων ὁ μονογενὴς Υἱός· Υἱὸς δὲ τοῦ Πατρὸς εὐπειθὴς, οὐχ ἁρπάσας τὸ κυριεύειν, ἀλλὰ παρ' αὐτοπροαιρέτου λαβὼν φυσικῶς· οὔτε γὰρ [ὁ Υἱὸς ἥρπασεν, οὔτε] Πατὴρ ἐρθόνησε τῆς μεταδόσεως. Αὐτός ἐστιν ὁ λέγων· « Πάντα
» μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου » (5)· παρεδόθη μοι, οὐχ ὡς πρότερον μὴ ἔχοντι· καὶ τηρῶ καλῶς, οὐκ ἀποστερῶν τὸν δεδωκότα. Κύριος τοίνυν ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ· Κύριος ὁ τεχθεὶς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, κατὰ τὸν εἰρηκότα τοῖς ποιμέσιν ἄγγελον· « Εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ὅτι ἐτέχθη ὑμῖν Χριστὸς
» Κύριος σήμερον ἐν πόλει Δαβίδ » (6)· περὶ οὗ φησιν ἀλλαχοῦ τῶν Ἀποστόλων τις· « Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ,
» εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ, οὗτός ἐστι πάν-
» των Κύριος » (7). Ὅταν δὲ εἴπῃ τὸ *πάντων*, μηδὲν ὑπεξέλῃς τῆς κυριότητος, εἴτε γὰρ Ἄγγελοι, εἴτε Ἀρχάγγελοι, εἴτε Ἀρχαὶ, εἴτε Ἐξουσίαι, εἴτε τι ὑπὸ τῶν Ἀποστόλων ὀνομαζόμενον γενητὸν, πάντα ὑπὸ τὴν κυριότητα τοῦ Υἱοῦ τυγχάνει (8). Ἀγ-

(1) Ἐξόδ. ΛΔ', 5—7.
(2) Αὐτόθ. 8—9.
(3) Ψαλμ. ΡΘ', 1.
(4) Α' πρὸς Κορινθ. ΙΕ', 26—28.
(5) Ματθ. ΙΑ', 27. καὶ Λουκ. Ι', 22!
(6) Λουκ. Β', 10—11.
(7) Πράξ. Ἀποστόλ. Ι', 36.
(8) Πρὸς Κολοσ. Α', 16.—Πρὸς Ἐφεσ. Α,' 21— Α' Πέτρ. Γ,' 22.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γέλων ἐστὶ κύριος, καθὼς ἔχεις ἐν εὐαγγελίοις· ὅτι « Τότε ἀπέστη » ὁ διάβολος ἀπ' αὐτοῦ, καὶ οἱ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ » (1)· οὐ γὰρ εἶπεν, ὅτι ἐβοήθουν αὐτῷ, ἀλλὰ *διηκόνουν αὐτῷ*· ὅπερ ἔστι δουλικῶς. Μέλλοντος αὐτοῦ γεννᾶσθαι ἐκ παρθένου, ὑπηρέτει τότε ὁ Γαβριὴλ οἰκεῖον ἀξίωμα λαβὼν τὴν ὑπηρεσίαν αὐτοῦ (2). Μέλλοντος αὐτοῦ πορεύεσθαι εἰς Αἴγυπτον, *ἵνα καταλύσῃ τὰ χειροποίητα τῆς Αἰγύπτου* (3), πάλιν ἄγγελος κατ' ὄναρ φαίνεται τῷ Ἰωσήφ (4). Σταυρωθέντος αὐτοῦ καὶ ἀναστάντος, ὁ ἄγγελος εὐηγγελίσατο, καὶ λέγει ταῖς γυναιξὶν, ὡς καλὸς οἰκέτης· « Πορευ- » θεῖσαι, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἀνέστη, καὶ προάγει » ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἰδοὺ εἶπον ὑμῖν » (5)· μονονουχὶ τοῦτο λέγων· οὐ παρέβην τὸ πρόσταγμα, μαρτύρομαι τὸ εἰρηκέναι ὑμῖν· ἵν' ἐὰν ἀμελήσητε, μὴ κατ' ἐμοῦ ᾖ τὰ τῆς μέμψεως, ἀλλὰ κατὰ τῶν ἀμελησάντων. Οὗτος τοίνυν ἐστὶν ὁ εἷς Κύριος Ἰησοῦς Χριστὸς, περὶ οὗ καὶ νῦν τὸ ἀνάγνωσμα λέγει· « Καὶ γὰρ εἴπερ » εἰσὶ λεγόμενοι θεοὶ πολλοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς, » καὶ ἐξῆς· « Ἡμῖν δὲ εἷς Θεὸς, ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς » εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ » (6).

ς'. Ἰησοῦς δὲ Χριστὸς καλεῖται διωνύμως· Ἰησοῦς διὰ τὸ σώ- ζειν, Χριστὸς διὰ τὸ ἱερατεύειν (7). Καὶ τοῦτο γινώσκων ὁ θε- σπέσιος τῶν προφητῶν Μωσῆς, ἀνδράσι δυσὶ τοῖς πάντων ἐγκρί- τοις τὰς δύο ταύτας προσηγορίας ἐχαρίσατο· τὸν μὲν οἰκεῖον τῆς ἀρχῆς διάδοχον Αὐσὴν (8), *Ἰησοῦν* μετονομάσας (9)· τὸν δὲ οἰ- κεῖον ἀδελφὸν τὸν Ἀαρὼν, ἐπονομάσας *Χριστόν* (10)· ἵνα διὰ δύο

(1) Ματθ. Δ', 11.
(2) Λουκ. Α', 26.
(3) Ἡσ. ΙΘ', 1.
(4) Ματθ. Β', 13.
(5) Αὐτόθ. ΚΗ', 7.
(6) Α' πρὸς Κορινθ. Η', 6.
(7) Ἐκ τοῦ ΒΤ. — Μ, Χριστὸς δὲ τῷ ἱερατεύειν.
(8) Ἐκ τοῦ ΒΤ. — Μ, Ναυῆ,
(9) Ἀριθμ. ΙΓ', 17.
(10) Λευϊτικ. Δ', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνθρώπων ἐγκρίτων, τὸ ἀρχιερατικὸν ἅμα καὶ βασιλικὸν τοῦ μέλλοντος ἐνὸς Ἰησοῦ Χριστοῦ παραστήσῃ. Ἀρχιερεὺς μὲν γάρ ἐστιν ὁ Χριστὸς κατὰ τὸν Ἀαρών· ἐπειδὴ « Οὐχ ἑαυτὸν ἐδόξασε » γενέσθαι Ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· Σὺ εἶ ἱερεὺς » εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ » (1). Τύπον δὲ ἔφερεν αὐτοῦ ὁ τοῦ Ναυῆ Ἰησοῦς κατὰ πολλά· ἀρξάμενος γὰρ ἄρχειν τοῦ λαοῦ, ἤρξατο ἀπὸ τοῦ Ἰορδάνου (2), ὅθεν καὶ ὁ Χριστὸς βαπτισθεὶς ἤρξατο εὐαγγελίζεσθαι (3). Δώδεκα διαιροῦντας τὴν κληρονομίαν καθίστησιν ὁ τοῦ Ναυῆ υἱὸς (4), καὶ δώδεκα τοὺς Ἀποστόλους κήρυκας τῆς ἀληθείας εἰς πᾶσαν τὴν οἰκουμένην ἀποστέλλει ὁ Ἰησοῦς (5). Πιστεύσασαν Ῥαὰβ τὴν πόρνην ἔσωσεν ὁ τυπικός (6)· ὁ δὲ ἀληθὴς φησιν· « Ἰδοὺ· οἱ τελῶναι καὶ αἱ πόρ- » ναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ » (7). Ἀλαλαγμῷ μόνον ἐπὶ τοῦ τυπικοῦ κατέπεσε τὰ τείχη τῆς Ἱεριχώ (8)· καὶ διὰ τὸ εἰπεῖν τὸν Ἰησοῦν « οὐ μὴ ἀρεθῇ ὧδε λίθος ἐπὶ λί- » θον » (9), πέπτωκεν ὁ ἀντικρὺς ἡμῶν τῶν Ἰουδαίων ναός· οὐχ ὅτι ἡ ἀπόφασις τοῦ πεσεῖν αἰτία, ἀλλ' ὅτι ἡ ἁμαρτία τῶν παρανόμων γέγονε τοῦ πεσεῖν αἰτία. Εἷς ἐστι Κύριος Ἰησοῦς Χριστός, ὄνομα θαυμαστὸν ὑπὸ τῶν προφητῶν πλαγίως προαναφωνούμενον· λέγει γὰρ Ἡσαΐας ὁ προφήτης· « Ἰδοὺ ὁ Σωτήρ σοι παραγίνεται, » ἔχων τὸν ἑαυτοῦ μισθόν » (10). Σωτὴρ δὲ παρὰ Ἑβραίοις ὁ Ἰησοῦς ἑρμηνεύεται. Τὸ γὰρ κυριοκτόνον (11) τῶν Ἰουδαίων προβλέπουσα ἡ προφητικὴ χάρις, ἐκάλεσε τὴν προσηγορίαν, ἵνα μὴ ἐκ τοῦ προειδέναι σαφῶς, ἑτοίμως ἐπιβουλεύσωσιν. Ἰησοῦς δὲ ἐκλήθη οὐχ ὑπ' ἀνθρώπων, ἀλλ' ὑπὸ ἀγγέλου φανερῶς· οὐκ ἰδίᾳ ἐξουσίᾳ ἐλ-

(1) Πρὸς Ἑβρ. Ε', 5—6.
(2) Ἰησ. Ναυῆ Γ', 1. (3) Ματθ. Γ', 13.
(4) Ἰησ. Ναυῆ ΙΔ', 1—3.—Ἀριθ. ΛΔ', 13 κ' ἑπόμ.
(5) Ματθ. ΚΠ', 19.—Μάρκ. Ιϛ', 15. — Δουκ. ΚΔ', 48—49.
(6) Ἰησ. Ναυῆ. ϛ', 21, 24. — Πρὸς Ἑβρ. ΙΑ', 31.
(7) Ματθ. ΚΑ', 31.
(8) Ἰησ. Ναυῆ, Ιϛ', 19.
(9) Ματθ. ΚΔ', 2.
(10) Ἡσ. ΞΒ', 11.
(11) ΒΓ'. — Μ, τὸ γὰρ τῶν κυριοκτόνων τῷ ν κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θόντος, ἀλλὰ δυνάμει Θεοῦ ἀποσταλέντος, τοῦ λέγοντος πρὸς τὸν Ἰωσήφ· « Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ » γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἁγίου ἐστί· τέξεται δὲ » υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. » Καὶ τὴν αἰτίαν τῆς προσηγορίας ἀποδιδοὺς, εὐθέως λέγει· « Αὐτὸς γὰρ σώσει » τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν » (1). Ὁ μηδέπω γεννηθεὶς πῶς λαὸν ἔχει, νόησον, εἰ μὴ καὶ πρὸ τοῦ γεννηθῆναι ἦν ; Καὶ τοῦτο ὁ προφήτης ἐκ προσώπου αὐτοῦ φησίν· « Ἐκ κοιλίας » μητρός μου ἐκάλεσε τὸ ὄνομά μου » (2)· διὰ τὸ προλέγειν τὸν Ἄγγελον, ὅτι Ἰησοῦς κληθήσεται. Καὶ πάλιν περὶ τῆς ὑπὸ (3) Ἡρῴδου ἐπιβουλῆς λέγει· « Καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐ- » τοῦ ἔκρυψέ με » (4). Ἰησοῦς τοίνυν ἐστὶ κατὰ μὲν Ἑβραίους *Σωτὴρ*, κατὰ δὲ τὴν Ἑλλάδα γλῶσσαν ὁ *ἰώμενος*· ἐπειδὴ ἰατρός ἐστι ψυχῶν καὶ σωμάτων, καὶ θεραπευτὴς πνευμάτων· τυ- φλῶν μὲν αἰσθητῶν θεραπευτὴς (5), φωταγωγῶν δὲ (6) τὰς διανοίας· χωλῶν φαινομένων ἰατρὸς, καὶ ποδηγετῶν τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν· λέγων τῷ παραλυτικῷ· « Μηκέτι ἁμάρτανε », καὶ « Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει » (7). Ἐπειδὴ γὰρ διὰ τὴν τῆς ψυχῆς ἁμαρτίαν παρελύθη τὸ σῶμα, προεθεράπευσε τὴν ψυχὴν, ἵνα ἐπαγάγῃ (8) καὶ τῷ σώματι τὴν ἴασιν. Εἴ τις τοίνυν πάσχει τὴν ψυχὴν ἐν ἁμαρτίαις, ἔχει τὸν ἰατρόν· καὶ εἴ τις ὀλιγόπιστος ἐνταῦθα, λεγέτω πρὸς αὐτόν· « Βοήθει μου » τῇ ἀπιστίᾳ » (9)· εἴ τις καὶ σωματικοῖς περιβέβληται πάθεσι, μὴ ἀπιστείτω, ἀλλὰ προσερχέσθω (θεραπεύει γὰρ καὶ ταῦτα), καὶ γινωσκέτω ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστός· Ἰουδαῖοι γὰρ καταδέχονται τὸ εἶναι αὐτὸν Ἰησοῦν, τὸ δὲ [καὶ] Χριστὸν εἶναι τοῦτον,

(1) Ματθ. Α', 20—21.
(2) Ἡσ. ΜΘ', 1.
(3) Ἐκ τοῦ ΒΤ. — Μ, ὑπὲρ
(4) Ἡσ. ΜΘ', 2.
(5) Ἰωάν. Θ', 1, κ' ἑπόμ.
(6) Μ, καὶ τὰς
(7) Ἰωάν. Ε', 12—14.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, ἐπάγῃ
(9) Μάρκ. Θ', 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐκέτι· διὰ τοῦτο λέγει ὁ Ἀπόστολος· « Τίς ἐστιν ὁ ψεύστης, εἰ » μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; » (1)

ζ'. Χριστὸς δέ ἐστιν ἀρχιερεὺς, ἀπαράβατον ἔχων τὴν ἱερωσύνην· οὔτε ἀπὸ χρόνων ἀρξάμενος τῆς ἱερατείας, οὔτε διάδοχον ἕτερον ἔχων τῆς ἀρχιερατείας, καθὼς ἠκούσας ἐν τῇ Κυριακῇ διαλεγομένων ἡμῶν ἐπὶ τῆς Συνάξεως, εἰς τὸ « Κατὰ » τὴν τάξιν Μελχισεδέκ » (2)· οὐκ ἐκ διαδοχῆς σωμάτων λαβὼν τὴν ἀρχιερωσύνην, οὐδὲ ἐλαίῳ σκευαστῷ χρισθείς, ἀλλὰ πρὸ τῶν αἰώνων ὑπὸ τοῦ Πατρός· καὶ τοσούτῳ διαφέρων τῶν ἄλλων, ὅσῳ μεθ' ὁρκωμοσίας ἐστὶν ἱερεύς· « Οἱ μὲν γὰρ χωρὶς ὁρ- » κωμοσίας εἰσὶν ἱερεῖς, ὁ δὲ μεθ' ὁρκωμοσίας, διὰ τοῦ λέγον- » τος· Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται » (3). Αὔταρκες μὲν ἦν εἰς ἀσφάλειαν καὶ τὸ βούλεσθαι μόνον Πατέρα· διπλασίων δὲ τῆς ἀσφαλείας ὁ τρόπος, τὸ (4) μετὰ τῆς βουλήσεως καὶ ὅρκον παρακολουθῆσαι· « Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀ- » δύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν τῆς πί- » στεως » (5), οἱ Χριστὸν Ἰησοῦν υἱὸν Θεοῦ καταδεχόμενοι. Τοῦτον τὸν Χριστὸν παραγενόμενον, ἠρνήσαντο μὲν οἱ Ἰουδαῖοι (7), δαίμονες δὲ ὡμολόγησαν (6). Ἀλλ' οὐκ ἠγνόει τοῦτον ὁ προπάτωρ Δαβὶδ λέγων· « Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου » (8). Καὶ οἱ μὲν, λύχνον εἶναι τὸ λαμπρὸν τῆς προρητείας ἡρμήνευσαν· οἱ δὲ, τὸν λύχνον, τὴν ἀναληφθεῖσαν ἐκ Παρθένου σάρκα, κατὰ τὸ ἐν τῷ Ἀποστόλῳ· « Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρα- » κίνοις σκεύεσιν » (9). Οὐκ ἠγνόει τοῦτον ὁ προφήτης, λέγων· « Καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ » (10). Ἤδει τοῦτον καὶ Μωσῆς, ἤδει τοῦτον καὶ Ἡσαΐας, ἤδει τοῦτον καὶ Ἰε-

(1) Α'. Ἰωάν. Β', 22.
(2) Πρὸς Ἑβρ. Ε', 6· καὶ Ζ', 17. — Ψαλ. ΡΘ', 4.
(3) Πρὸς Ἑβρ. Ζ', 20—21.
(4) ΒΤ. — ἐν τῷ Μ, καὶ τὸ μετὰ κτλ.
(5) Πρὸς Ἑβρ. ς', 18.
(6) Ἰωάν. ΙΘ', 15.
(7) Λουκ. Δ', 41.
(8) Ψαλμ. ΡΛΑ', 17.
(9) Β' πρὸς Κορινθ. Δ', 7. (10) Ἀμὼς Δ', 13.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρεμίας· οὐδεὶς τῶν προφητῶν ἠγνόει τοῦτον. Ἐπέγνωσαν τοῦτον καὶ δαίμονες· ἐπετίμα γὰρ αὐτοῖς, καί φησιν· « Ὅτι ᾔδεισαν αὐ-» τὸν Χριστὸν εἶναι » (1). Ἀρχιερεῖς ἠγνόησαν, καὶ δαίμονες ὡμολόγησαν· ἀρχιερεῖς ἠγνόησαν, καὶ γυνὴ Σαμαρεῖτις ἐκήρυσσε λέγουσα· « Δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· » μήτι οὗτός ἐστιν ὁ Χριστός; » (2). Οὗτος Ἰησοῦς Χριστός ἐστιν, ὁ *παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν* (3)· ὁ διὰ τὸ ἄφθονον τῆς θεότητος πᾶσιν ἡμῖν μεταδοὺς τῆς ἑαυτοῦ προσηγορίας. Βασιλεῖς μὲν γὰρ ἄνθρωποι, ἀκοινώνητον πρὸς ἀνθρώπους ἔχουσι τῆς βασιλείας τὴν προσηγορίαν· Ἰησοῦς δὲ Χριστὸς Θεοῦ υἱὸς ὤν, Χριστιανοὺς καλεῖσθαι ἡμᾶς κατηξίωσεν.

ἡ. Ἀλλ' ἐρεῖ τις, καινὸν τὸ ὄνομα τῶν Χριστιανῶν, καὶ πρὸ τούτου οὐκ ἐπολιτεύετο· καὶ τὰ καινοποιούμενα πολλάκις ἀντιλέγεται διὰ τὸ ξένον. Προησφαλίσατο τοῦτο ὁ προφήτης λέγων· « Τοῖς δὲ δουλεύουσί μοι ἐπικληθήσεται ὄνομα καινόν, ὃ εὐλογη-» θήσεται ἐπὶ τῆς γῆς » (4). Ἐξετάσωμεν τοὺς Ἰουδαίους· δουλεύετε τῷ Κυρίῳ, ἢ οὔ; δείξατε οὖν τὸ ὄνομα ὑμῶν τὸ καινόν. Ἰουδαῖοι γὰρ καὶ Ἰσραηλῖται ἐπὶ Μωσέως καὶ τῶν ἄλλων προφητῶν ἐκαλεῖσθε, καὶ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, καὶ μέχρι τοῦ παρόντος. Ποῦ οὖν τὸ ὄνομα τὸ καινόν; Ἡμεῖς δὲ, ἐπειδὴ δουλεύομεν τῷ Κυρίῳ, ἔχομεν τὸ ὄνομα τὸ καινὸν μὲν, ἀλλ' ὄνομα τὸ καινὸν (5) *ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς*. Περιεδράξατο τῆς οἰκουμένης τοῦτο τὸ ὄνομα. Ἰουδαῖοι μὲν γὰρ μέχρι χώρας τινός, Χριστιανοὶ δὲ μέχρι περάτων τῆς οἰκουμένης· τὸ γὰρ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ καταγγέλλεται ὄνομα. Θέλεις δὲ γνῶναι ὅτι τοῦ Χριστοῦ ὄνομα ᾔδεισαν οἱ Ἀπόστολοι καὶ ἐκήρυξαν, μᾶλλον δὲ καὶ Χριστὸν αὐτὸν εἶχον ἐν ἑαυτοῖς; Παῦλός φησι πρὸς τοὺς ἀκούοντας Ἰουδαίους· « Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ

(1) Λουκ. Δ', 41.
(2) Ἰωάν. Δ', 29.
(3) Πρὸς Ἑβρ. Θ', 11.
(4) Ἡσ. ΞΕ', 15—16.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, ἔχομεν τὸ ὄνομα τὸ καινόν· καινὸν μὲν, ἀλλ' ὄνομα τὸ καινὸν, ὃ κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» λαλοῦντος Χριστοῦ ; » (1). Παῦλος καταγγέλλει τὸν Χριστὸν λέγων· « Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον· ἑαυ» τοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν » (2). Τίς ἄρα οὗτος ; ὁ τὸ πρότερον διώξας. Ὦ μεγάλου θαύματος! ὁ πρότερον διώξας, αὐτὸς Χριστὸν καταγγέλλει. Διὰ τί ; χρήμασιν ἄρα πεισθείς ; ἀλλ' οὐδεὶς ἦν ὁ πείθων οὕτως· ἀλλ' ἆρα βλέπων αὐτὸν παρόντα καὶ δυσωπούμενος ; ἤδη ἦν ἀναληφθεὶς εἰς οὐρανόν. Ἐξῆλθεν ἐπὶ τῷ διώκειν· καὶ μετὰ τρεῖς ἡμέρας ἐν Δαμασκῷ κήρυξ ὁ διώκτης (3)· ποίᾳ δυνάμει ; Ἄλλοι μὲν οὖν οἰκείους ὑπὲρ οἰκείων καλοῦσι μάρτυρας· ἐγὼ δέ σοι μάρτυρα τὸν πρότερον ἐχθρὸν παρέστησα. Ἔτι ἀμφιβάλλεις ; Μεγάλη μὲν [γὰρ] Πέτρου καὶ Ἰωάννου μαρτυρία· ἀλλ' ὕποπτός τις ἦν· οἰκεῖοι γὰρ ἦσαν. Τοῦ δὲ πρότερον ἐχθροῦ, ὕστερον δὲ ὑπεραποθνήσκοντος, τίς ἔτι ἀμφιβάλλει πρὸς τὴν ἀλήθειαν ; Ἐνταῦθα γενόμενος τοῦ λόγου, τεθαύμακα ἀληθῶς τὴν τοῦ ἁγίου Πνεύματος οἰκονομίαν· πῶς τὰς μὲν τῶν ἄλλων ἐπιστολὰς εἰς ὀλίγον περιέγραψεν ἀριθμὸν, Παύλῳ δὲ τῷ πρότερον διώκτῃ γράψαι δεκατέσσαρας ἐπιστολὰς ἐχαρίσατο. Οὐ γὰρ ὅτι ἥττων ἦν Πέτρος ἢ Ἰωάννης, ἐνέκοψε τὴν χάριν· μὴ γένοιτο· ἀλλ' ὑπὲρ τοῦ ἀναμφίβολον εἶναι τὴν διδασκαλίαν, τῷ πρότερον ὄντι ἐχθρῷ καὶ διώκτῃ πλεῖον ἐχαρίσατο γράφειν, ἵνα πάντες οὕτω πιστοποιηθῶμεν. Ἐξίσταντο δὲ πάντες περὶ τοῦ Παύλου καὶ ἔλεγον· « Οὐχ οὗτός ἐστιν ὁ πρότερον διώκων ; οὐχ ὧ» δε ἦλθεν, ἵνα δεδεμένους ἡμᾶς ἀπαγάγῃ εἰς Ἱερουσαλήμ ; » (4). Μὴ ἐξίστασθε, φησὶν ὁ Παῦλος· ἐγὼ οἶδα ὅτι σκληρόν μοί ἐστι πρὸς κέντρα λακτίζειν (5)· οἶδα ὅτι « Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ » (6)· ἀλλ' ἀγνοῶν (7)· ἐνόμιζον γὰρ κατάλυσιν εἶναι τοῦ νόμου τὸ περὶ

(1) Β' πρὸς Κορινθ. ΙΓ', 3.
(2) Αὐτόθ. Δ', 5.
(3) Πράξ. Ἀποστόλ. Θ', 19—20.
(4) Αὐτόθ. 21
(5) Αὐτόθ. 5.
(6) Α' πρὸς Κορινθ. ΙΕ', 9.
(7) Α' πρὸς Τιμόθ. Α', 13.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Χριστοῦ κήρυγμα· οὐκ ἤδειν δὲ ὅτι αὐτὸς ἦλθε « πληρῶσαι τὸν » νόμον, καὶ οὐ καταλῦσαι »· « Ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ » Θεοῦ ἐν ἐμοί (1). »

θ'. Πολλαὶ τυγχάνουσιν ἀληθεῖς, ἀγαπητοί, περὶ Χριστοῦ μαρτυρίαι. Μαρτυρεῖ Πατὴρ οὐρανόθεν περὶ τοῦ υἱοῦ (2)· μαρτυρεῖ τὸ Πνεῦμα τὸ ἅγιον, καταβαῖνον σωματικῶς ἐν εἴδει περιστερᾶς (3)· μαρτυρεῖ Γαβριὴλ ὁ ἀρχάγγελος, τὴν Μαριὰμ εὐαγγελιζόμενος (4)· μαρτυρεῖ παρθένος ἡ Θεοτόκος (5)· μαρτυρεῖ ὁ μακάριος τῆς φάτνης τόπος (6). Αἴγυπτος μαρτυρεῖ, ἡ ἔτι νέον ὄντα τῷ σώματι τὸν δεσπότην δεξαμένη (7)· μαρτυρεῖ Συμεὼν ὁ δεξάμενος αὐτὸν ἐν ἀγκάλαις, καὶ εἰπών· « Νῦν ἀπολύεις τὸν δοῦλόν » σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλ» μοί μου τὸ σωτήριόν σου, ὃ ἡτοιμάσας κατὰ πρόσωπον πάντων » τῶν λαῶν » (8)· καὶ Ἄννα προφῆτις, ἐγκρατὴς, εὐλαβεστάτη καὶ ἀσκήτρια, μαρτυρεῖ περὶ αὐτοῦ (9). Μαρτυρεῖ Ἰωάννης ὁ βαπτιστὴς, ὁ μέγιστος μὲν ἐν προφήταις, ἀρχηγὸς δὲ τῆς καινῆς Διαθήκης, καὶ τρόπον τινὰ συνάπτων ἐν αὐτῷ ἀμφοτέρας τὰς Διαθήκας, παλαιάν τε καὶ καινήν (10)· μαρτυρεῖ ὁ Ἰορδάνης ἐν ποταμοῖς (11)· μαρτυρεῖ θάλασσα Τιβεριάδος ἐν θαλάσσαις (12). Μαρτυροῦσι τυφλοὶ, μαρτυροῦσι χωλοὶ (13)· μαρτυροῦσι νεκροὶ ἐγειρόμενοι. Δαίμονες μαρτυροῦσι λέγοντες· « Τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ ; » οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ » (14). Μαρτυροῦσιν ἄνεμοι

(1) Ματθ. Ε', 17. — Α' πρὸς Τιμόθ. Α', 14.
(2) Αὐτόθ. Γ', 17· καὶ ΙΖ'. 5.
(3) Αὐτόθ. Γ', 16· καὶ Λουκ. Γ', 22.
(4) Λουκ. Α', 26.
(5) Αὐτόθ. 38.
(6) Αὐτόθ. Β', 7.
(7) Ματθ. Β', 14, 15.
(8) Λουκ. Β', 29 — 31.
(9) Αὐτόθ. Β', 36 — 38.
(10) Ἰωάν. Α', 15.
(11) Ματθ. Γ', 13.
(12) Λουκ. Ε', 4 — 11· καὶ Ἰωάν. ς', 1 — 23.
(13) Ματθ. ΙΑ', 5.
(14) Μάρκ. Α', 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προστασσόμενοι καὶ φιμούμενοι (1)· πέντε ἄρτοι μαρτυροῦσιν εἰς [τὸ χορτάσαι] πεντακισχιλίους (2) πληθυνθέντες (3). Τὸ ξύλον τὸ ἅγιον τοῦ Σταυροῦ μαρτυρεῖ, μέχρι σήμερον παρ' ἡμῖν φαινόμενον, καὶ διὰ τῶν κατὰ πίστιν ἐξ αὐτοῦ λαμβανόντων ἐντεῦθεν τὴν οἰκουμένην πᾶσαν σχεδὸν ἤδη πληρῶσαν (4). Ὁ φοίνιξ ὁ ἐπὶ τῆς φάραγγος μαρτυρεῖ, τὰ βαΐα παρασχὼν παισὶ (5) τοῖς τότε εὐφημοῦσι (6)· τὸ Γεθσημανῆ μαρτυρεῖ, τὸν Ἰούδαν μονονουχὶ δεικνύον ἔτι τοῖς νοοῦσιν (7)· ὁ Γολγοθᾶς ὁ ἅγιος οὗτος ὁ ὑπερανεστηκὼς, μαρτυρεῖ φαινόμενος (8)· τὸ μνῆμα τῆς ἁγιότητος μαρτυρεῖ, καὶ ὁ λίθος ὁ μέχρι σήμερον κείμενος (9). Ἥλιος νῦν λάμπων μαρτυρεῖ, ὁ τότε κατὰ τὸν καιρὸν τοῦ σωτηριώδους πάθους ἐκλιπών (10)· τὸ σκότος μαρτυρεῖ, τὸ τότε γενόμενον ἀπὸ ἕκτης μέχρις ἐννάτης ὥρας (11)· τὸ φῶς μαρτυρεῖ τὸ ἀπὸ ἐννάτης ἕως ἑσπέρας ἐκλάμψαν. Τὸ ὄρος τῶν Ἐλαιῶν μαρτυρεῖ τὸ ἅγιον, ἀφ' οὗ περ ἀνῆλθε πρὸς τὸν Πατέρα· καὶ ὀμβροτόκοι νεφέλαι μαρτυροῦσι, δεξάμεναι τὸν δεσπότην (12). Καὶ οὐράνιοι δὲ πύλαι μαρτυροῦσι δεξάμεναι τὸν δεσπότην, περὶ ὧν εἶπεν ὁ ψαλμῳδός· « Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι » αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης » (13). Οἱ ποτὲ ἐχθροὶ μαρτυροῦσιν, ὧν εἷς ὁ μακάριος Παῦλός ἐστι, πρὸς ὀλίγον (14) μὲν ἐχθράνας, πολυχρονίως δὲ δουλεύσας. Ἀπόστολοι δώδε-

---

(1) Ματθ. Η', 26 — 27· καὶ Μάρκ. Δ', 39.

(2) Ἐν ἀμφοτέροις, ΒΤ καὶ Μ, εἰς πεντακισχιλίους· ἡ δὲ περσθήκη τὸ χορτάσαι, ἐξ ὑποσημειώσεως ἐν τῷ Μ.

(3) Ματθ. ΙΔ', 14 — 21.

(4) Ἐκ τοῦ ΒΤ. — Μ. ἐπλήρωσαν.

(5) Ἐκ τοῦ ΒΤ — Μ, πᾶσι.

(6) Ματθ. ΚΑ', 8. 15.

(7) Αὐτόθ. ΚΣ', 36·

(8) Αὐτ. ΚΖ', 33.

(9) Αὐτ. 60.

(10) Αὐτ. 45.

(11) Λουκ. ΚΓ', 44 — 45.

(12) Πράξ. Ἀποστόλ. Α', 9 — 12.

(13) Ψαλμ. ΚΓ', 9.

(14) Ἐκ τοῦ ΒΤ. — Μ, πρὸς ὀλίγων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κα μαρτυροῦσιν, οὐ λόγοις μόνον, ἀλλὰ καὶ βασάνοις, καὶ θανάτοις ἰδίοις κηρύξαντες τὴν ἀλήθειαν. Ἡ σκιὰ Πέτρου μαρτυρεῖ, θεραπεύσαντος ἐν ὀνόματι Χριστοῦ τοὺς ἀῤῥωστοῦντας (1)· τὰ σουδάρια καὶ τὰ σημικίνθια μαρτυροῦσι, θεραπεύοντα παραπλησίως τῇ δυνάμει τοῦ Χριστοῦ τότε διὰ Παύλου (2). Πέρσαι καὶ Γότθοι, καὶ πάντες οἱ ἐξ ἐθνῶν μαρτυροῦσιν, ὑπεραποθνήσκοντες τούτου, ὃν (3) σαρκὸς ὀφθαλμοῖς οὐκ ἐθεώρησαν. Οἱ διὰ τῶν πιστῶν μέχρι σήμερον ἀπελαυνόμενοι δαίμονες μαρτυροῦσι. Τοσοῦτοι, καὶ διάφοροι, καὶ πλείους εἰσὶ μάρτυρες· ἆρα ἀπιστεῖται λοιπὸν ὁ Χριστὸς (4) μαρτυρούμενος; Εἰ μὲν οὖν ἐστί τις πρότερον ἀπιστῶν, πιστευέτω νῦν· εἰ δὲ πρότερον ἦν πιστὸς, προσθήκην πίστεως λαμβανέτω μείζονα, πιστεύων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· καὶ γινωσκέτω τίνος ἔχει τὴν προσηγορίαν. Χριστιανὸς ἐκλήθης· φεῖσαι τοῦ ὀνόματος· μὴ διὰ σὲ βλασφημείσθω ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ· ἀλλὰ λαμψάτω τὰ καλὰ ἔργα σου μᾶλλον ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα οἱ βλέποντες ἄνθρωποι δοξάζωσιν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν τὸν Πατέρα τὸν ἐν τοῖς οὐρανοῖς (5)· ᾧ ἡ δόξα καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Πράξ. Ἀποστόλ. Ε', 15.
(2) Αὐτόθ. ΙΘ', 11 —12.
(3) Ἐκ τοῦ ΒΤ. — Μ, ὑπεραποθνήσκοντος τούτου, οὗ σαρκὸς κτλ.
(4) Ἐκ τοῦ ΒΤ. — Μ, λοιπὸν ὁ Κύριος
(5) Ματθ. Ε', 16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ ΙΑ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ ΤΟΝ ΥΙΟΝ (1) ΤΟΥ ΘΕΟΥ ΤΟΝ ΜΟΝΟΓΕΝΗ, ΤΟΝ ΕΚ ΤΟΥ ΠΑΤΡΟΣ ΓΕΝΝΗΘΕΝΤΑ ΠΡΟ ΠΑΝΤΩΝ ΤΩΝ ΑΙΩΝΩΝ, ΘΕΟΝ ΑΛΗΘΙΝΟΝ, ΔΙ ΟΥ ΤΑ ΠΑΝΤΑ ΕΓΕΝΕΤΟ· *καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἑβραίους· « Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ »Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, » ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. »* κτλ. (2)

α'. Ὅτι μὲν εἰς Ἰησοῦν Χριστὸν ἐλπίζομεν, αὐτάρκως κατὰ δύναμιν [ἡμῖν] εἴρηται, διὰ τῶν χθὲς ὑμῖν (3) παραδεδομένων. Οὐχ ἁπλῶς δὲ εἰς Χριστὸν Ἰησοῦν πιστευτέον, οὐδὲ ὡς εἰς ἕνα (4) τῶν πολλῶν καταχρηστικῶς καλουμένων χριστῶν παραδεκτέον. Ἐκεῖνοι μὲν γὰρ ἦσαν χριστοὶ τυπικοί· οὗτος δὲ Χριστὸς ἀληθής, οὐκ ἐξ ἀνθρώπων ἐκ προκοπῆς εἰς ἱερωσύνην ἀνελθών, ἀλλ' ἀεὶ τὸ τῆς ἱερωσύνης πατρόθεν ἔχων ἀξίωμα. Καὶ διὰ τοῦτο προασφαλιζομένη ἡ Πίστις, ἵνα μὴ τῶν ψιλῶν χριστῶν ὑποπτεύσωμεν ἕνα, προστίθησι τῇ τῆς πίστεως ἐπαγγελίᾳ, ὅτι πιστεύομεν *εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ*. Υἱὸν δὲ πάλιν ἀκούων, μὴ νομίσῃς θετὸν, ἀλλὰ φυσικὸν υἱὸν, υἱὸν μονογενῆ, ἀδελφὸν ἕτερον οὐκ ἔχοντα· διὰ τοῦτο γὰρ καλεῖται *μονογενὴς*, ὅτι εἰς τὸ τῆς θεότητος ἀξίωμα καὶ τὴν ἐκ πατρὸς γέννησιν, ἀδελφὸν οὐκ ἔχει. Υἱὸν δὲ τοῦ Θεοῦ καλοῦμεν αὐτὸν οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ γὰρ αὐτοῦ τοῦ Πατρὸς αὐτὸν Χριστὸν Υἱὸν ὀνομάσαντος. Ἀληθὴς δὲ προσηγορία, ἡ ἐκ πατέρων τοῖς τέκνοις ἐπιτιθεμένη. Ἐνηνθρώπησε τότε (5) ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀλλ' ὑπὸ τῶν πολλῶν ἠγνοεῖτο· διδάξαι δὲ βουλόμενος τὸ

---

(1) Μ, Χριστὸν τὸν υἱὸν κτλ.

(2) Πρὸς Ἑβρ. Α', 1.

(3) Ἐκ τοῦ ΒΤ. — Μ, ἡμῖν

(4) Γρ. ἴσ. ὡς ἕνα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγνοούμενον, συναγαγὼν τοὺς μαθητάς, ἠρώτα· « Τίνα με λέγουσιν » εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; » (1)· οὐ κενοδοξῶν, ἀλλὰ τὴν ἀλήθειαν αὐτοῖς δεῖξαι βουλόμενος· ἵνα μὴ Θεῷ Θεοῦ μονογενεῖ συνοικοῦντες, ὡς ἀνθρώπου τινὸς ψιλοῦ καταφρονήσωσιν. Εἰπόντων δὲ ἐκείνων, ὅτι « Οἱ μὲν Ἠλίαν, οἱ δὲ Ἱερεμίαν » (2), ἔφη πρὸς αὐτούς· Ἐκεῖνοι μὲν μὴ εἰδότες, συγγνωστοί· ὑμεῖς δὲ οἱ ἀπόστολοι, οἱ ἐπὶ τῷ ὀνόματί μου λεπροὺς καθαρίζοντες, καὶ δαιμόνια ἐκβάλλοντες, καὶ νεκροὺς ἐγείροντες, οὐκ ὀφείλετε τοῦτον ἀγνοεῖν, δι' ὃν ποιεῖτε τὰ θαυμάσια. Πάντων δὲ ἀποσιωπησάντων (ὑπὲρ ἄνθρωπον γὰρ ἦν τὸ μάθημα), Πέτρος ὁ πρωτοστάτης τῶν ἀποστόλων, καὶ τῆς Ἐκκλησίας κορυφαῖος κήρυξ, οὐχ εὐρεσιλογίᾳ χρησάμενος, οὐδ' ἀνθρωπίνῳ λογισμῷ πεισθείς, ἀλλὰ Πατρόθεν φωτισθεὶς τὴν διάνοιαν, φησὶ πρὸς αὐτόν· « Σὺ εἶ ὁ Χριστός »· οὐχ ἁπλῶς, ἀλλ' « ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος » (3). Καὶ μακαρισμὸς ἐπακολουθεῖ τῷ ῥήματι· ἦν γὰρ καὶ ἀληθῶς ὑπὲρ ἄνθρωπον· καὶ σφραγὶς ἐπὶ τῷ ῥηθέντι, ὅτι Πατὴρ ἦν ὁ ἀποκαλύψας. Λέγει γὰρ ὁ Σωτήρ· « Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ » αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς » (4). Ὁ τοίνυν γνωρίζων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, τῆς μακαριότητος μετέχει, ὁ δὲ ἀρνούμενος τὸν υἱὸν τοῦ Θεοῦ, δείλαιός ἐστι καὶ ἄθλιος.

ϛ'. Υἱὸν δὲ πάλιν ἀκούων, μὴ καταχρηστικῶς ἄκουε μόνον, ἀλλὰ υἱὸν ἀληθῶς, υἱὸν φυσικόν, ἄναρχον· οὐκ ἐκ δουλείας εἰς προκοπὴν υἱοθεσίας ἐλθόντα, ἀλλὰ υἱὸν ἀεὶ γεννηθέντα ἀπεριεργάστῳ καὶ ἀκαταλήπτῳ (5) τῇ γεννήσει. Καὶ πρωτότοκον (6) ὁμοίως ἀκούων, μὴ νομίσῃς εἶναι κατὰ τοὺς ἀνθρώπους. Οἱ μὲν γὰρ ἐν ἀνθρώποις πρωτότοκοι, καὶ ἄλλους ἔχουσιν ἀδελφούς· καί που γέγραπται· « Υἱὸς πρωτότοκός [μου] Ἰσραήλ » (7)· ἀλλ', ὡς ὁ Ῥουβήν, πρω-

(1) Ματθ. ιϛ', 13.
(2) Αὐτ. 14.
(3) Αὐτ. 16.
(4) Ματθ. ιτ', 17.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, καὶ ἀνελθόντα ἀκαταλήπτῳ κτλ.
(6) Πρὸς Ῥωμ. Η', 29· καὶ πρὸς Ἑβρ. Α', 6.
(7) Ἐξόδ. Δ', 22.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τόκος ἦν ἐκπεπτωκὼς ὁ Ἰσραήλ. Ἐκεῖνος μὲν γὰρ « Ἀνέβη ἐπὶ » τὴν κοίτην τοῦ πατρός » (1)· ὁ δὲ Ἰσραὴλ τὸν υἱὸν τοῦ Πατρὸς ἐκβαλὼν ἐκ τοῦ ἀμπελῶνος, ἐσταύρωσε (2). Καὶ πρὸς ἄλλους δέ φησιν ἡ Γραφή· « Υἱοί ἐστε Κυρίου τοῦ Θεοῦ ἡμῶν » (3)· καὶ ἀλλαχοῦ· « Ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες » (4). *Εἶπα*, οὐκ ἐγέννησα. Ἐκεῖνοι, ἐν τῷ εἰπεῖν τὸν Θεὸν, τὴν υἱοθεσίαν προσέλαβον, ἣν οὐκ εἶχον· οὗτος δὲ οὐκ ἄλλο τι ὢν, ἄλλο τι ἐγεννήθη· ἀλλὰ υἱὸς [τοῦ Πατρὸς] ἐξ ἀρχῆς ἐγεννήθη [ὑπεράνω πάσης ἀρχῆς καὶ αἰώνων τυγχάνων]· υἱὸς τοῦ Πατρὸς, [ἐν πᾶσιν] ὅμοιος τῷ γεγεννηκότι· [ἀΐδιος ἐξ ἀϊδίου Πατρὸς,] ζωὴ ἐκ ζωῆς γεγεννημένος (5), καὶ φῶς ἐκ φωτὸς, καὶ ἀλήθεια ἐξ ἀληθείας, καὶ σοφία ἐκ σοφίας, καὶ βασιλεὺς ἐκ βασιλέως, καὶ Θεὸς ἐκ Θεοῦ [, καὶ δύναμις ἐκ δυνάμεως]. Ἐὰν τοίνυν ἀκούσῃς τοῦ εὐαγγελίου λέγοντος· « Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ» (6), τὸ κατὰ σάρκα νόησον. Υἱὸς μὲν γὰρ Δαβὶδ ἐπὶ συντελείᾳ τῶν αἰώνων· Υἱὸς δὲ Θεοῦ πρὸ πάντων τῶν αἰώνων, ἀνάρχως. Κἀκεῖνο μὲν προσέλαβεν, ὅπερ οὐκ εἶχε· τοῦτο δὲ ὃ ἔχει, ἀϊδίως ἔχει γεννηθεὶς ἐκ Πατρός. Δύο ἔχει πατέρας, ἕνα τὸν Δαβὶδ κατὰ σάρκα, καὶ ἕνα τὸν Θεὸν Πατέρα θεϊκῶς. Ἀλλὰ τὸ μὲν κατὰ τὸν Δαβὶδ, καὶ χρόνῳ ὑποβάλλεται καὶ ψηλαφᾶται καὶ γενεαλογεῖται· τὸ δὲ κατὰ τὴν θεότητα, οὔτε χρόνῳ ὑποβάλλεται οὔτε τόπῳ, οὔτε γενεαλογεῖται· « Τὴν γὰρ γενεὰν αὐτοῦ τίς διηγήσεται; » (7)· « Πνεῦμα ὁ Θεός » (8). Ὁ πνεῦμα ὢν, πνευματικῶς ἐγέννησεν ὡς ἀσώματος ἀπεριέργαστον καὶ ἀκατάληπτον γέννησιν. Ὁ υἱὸς αὐτὸς λέγει περὶ τοῦ Πατρός· « Κύριος εἶπε πρός με· υἱός μου εἶ » σὺ, ἐγὼ σήμερον γεγέννηκά σε » (9)· τὸ δὲ *σήμερον*, οὐ πρό-

(1) Γενές. ΜΘ', 3—4.
(2) Ματθ. ΚΑ', 39.
(3) Δευτερον. ΙΔ', 1.
(4) Ψαλμ. ΠΑ', 6.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, γεγεννημένη.
(6) Ματθ. Α', 1.
(7) Ἡσ. ΝΓ', 8.
(8) Ἰωάν. Δ', 24.
(9) Ψαλμ. Β', 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σφατον, ἀλλ' ἀΐδιον· τὸ *σήμερον*, ἄχρονον, πρὸ πάντων τῶν αἰώνων· « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε » (1). Πίστευσον τοίνυν εἰς Ἰησοῦν Χριστὸν υἱὸν Θεοῦ ζῶντος· υἱὸν δὲ μονογενῆ, κατὰ τὸ εὐαγγέλιον τὸ λέγον· « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν » κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα ὁ πι- » στεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον » (2). Καὶ πάλιν· « Ὁ πιστεύων εἰς τὸν υἱὸν, οὐ κρίνεται, ἀλλὰ μεταβέ- » βηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν ». « Ὁ δὲ ἀπειθῶν τῷ υἱῷ » οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτὸν, ὅτι » οὐκ ἐπίστευσεν εἰς τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ » (3)· περὶ οὗ μαρτυρῶν ὁ Ἰωάννης ἔλεγε· « Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐ- » τοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρὸς· πλήρης χάριτος καὶ ἀλη- » θείας » (4)· ὃν τρέμοντες οἱ δαίμονες ἔλεγον· « Ἔα, τί ἡμῖν » καὶ σοὶ, Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος ; » (5). Υἱὸς τοίνυν τοῦ Θεοῦ ἐστι φύσει καὶ οὐ θέσει, γεννηθεὶς ἐκ Πατρός. Καὶ ὁ μὲν ἀγα- πῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ (6)· ὁ δὲ ἀθετῶν τὸν γεγεννημένον, ἀναπέμπει τὴν ὕβριν εἰς τὸν γε- γεννηκότα.

γ'. Γεννῶντα δὲ Θεὸν ὅταν (7) ἀκούσῃς, μὴ καταπέσῃς εἰς σώμα- τα, μὴ ῥυπαρὰν γέννησιν ὑπολάβῃς, ἵνα μὴ ἀσεβήσῃς· « Πνεῦμα ὁ » Θεὸς » (8), πνευματικὴ ἡ γέννησις· τὰ μὲν γὰρ σώματα γεννᾷ σώματα· καὶ χρεία τοῖς σώμασι (9) γεννωμένοις χρόνον με- σιτεύειν· μεσίτης δὲ τῆς ἐκ Πατρὸς υἱοῦ γεννήσεως χρόνος οὐκ ἔστι. Καὶ ὧδε μὲν γεννᾶται τὸ γεννώμενον ἀτελὲς, ὁ υἱὸς δὲ τοῦ Θεοῦ τέλειος ἐγεννήθη· ὅπερ γὰρ νῦν ἐστι, τοῦτο καὶ ἐξ ἀρχῆς ἐστι γεγεν- νημένος (10) ἀνάρχως. Ἡμεῖς γεννώμεθα, ἐξ ἀμαθείας νηπιώδους

(1) Ψαλμ. ΡΘ', 3.
(2) Ἰωάν. Γ', 16.
(3) Αὐτ. 18 καὶ 36· καὶ Ε', 24.
(4) Ἰωάν. Α', 14.
(5) Λουκ. Δ', 34· καὶ Μάρκ. Ε', 7.
(6) Α', Ἰωάν. Ε', 1.
(7) Ἐκ τοῦ ΒΤ.—M, ἐὰν (8) Ἰωάν. Δ', 24.
(9) Ἐκ τοῦ ΒΤ. — M, ἐκ χρείας τοῖς ἐν σώμασι κτλ.
(10) Αὐτόθεν. — M, γε γεννημένον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰς λογιότητα μεταβαίνοντες. Ἀτελὴς, ἄνθρωπε, ἡ σὴ γέννησις· ἐκ προκοπῆς γὰρ ἡ πρόσληψις. Ἐκεῖ δὲ οὕτω μὴ νόμιζε, μηδὲ ἀσθένειαν κατηγόρει τοῦ γεγεννηκότος. Εἰ γὰρ ἀτελὲς μὲν ἐγέννησε, χρόνῳ δὲ τοῦτο προσέλαβε τὸ τέλειον, ἀσθένειαν κατηγορεῖς τοῦ γεγεννηκότος· εἴ γε ὁ χρόνος (1) ὕστερον ἐχαρίσατο, κατὰ σὲ τοῦτο ἐξ ἀρχῆς [ὁ γεννήτωρ] οὐκ ἐχαρίσατο. Μὴ τοίνυν ἀνθρωπίνην εἶναι νομίσῃς τὴν γέννησιν· μηδὲ ὡς περ ἐγέννησεν Ἀβραὰμ τὸν Ἰσαάκ. Ἀβραὰμ γὰρ τὸν Ἰσαὰκ ἐγέννησεν· ἀλλ' οὐχ ὅν περ ἐβούλετο ἐγέννα, ἀλλ' ὅν περ ἄλλος ἐχαρίζετο. Τοῦ δὲ Θεοῦ καὶ Πατρὸς γεννῶντος, οὔτε ἄγνοιά ἐστιν οὔτε σκέψις ἐν μέσῳ. Τὸ γὰρ εἰπεῖν, ὅτι ἠγνόει τὸ γεννώμενον, ἀσέβεια μεγίστη· καὶ τὸ εἰπεῖν, ὅτι χρόνοις σκεψάμενος, ὕστερον πατὴρ ἐγένετο, τῆς αὐτῆς ἀσεβείας ἐστίν· οὐ γὰρ πρότερον ὢν [ὁ] Θεὸς ἅπαις, ὕστερον ἐν χρόνοις ἐγένετο (2) πατήρ· ἀλλ' ἀεὶ ἔχει τὸν υἱόν, γεννήσας αὐτὸν οὐχ ὡς ἄνθρωποι ἀνθρώπους, ἀλλ' ὡς αὐτὸς οἶδε [μόνος] ὁ γεννήσας αὐτὸν πρὸ πάντων τῶν αἰώνων Θεὸν ἀληθινόν. Θεὸς γὰρ ἀληθινὸς ὢν ὁ Πατὴρ, ὅμοιον ἑαυτῷ ἐγέννα τὸν υἱόν, Θεὸν ἀληθινόν, οὐχ ὡς διδάσκαλοι γεννῶσι μαθητὰς, οὐχ ὡς ὁ Παῦλός φησί τισιν· « Ἐν γὰρ Χριστῷ » Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα» (3)· ὧδε μὲν γὰρ ὁ μὴ κατὰ φύσιν υἱὸς ὢν, διὰ τῆς μαθητείας υἱὸς ἐγένετο· ἐκεῖ δὲ φυσικὸς υἱὸς, ἀληθὴς υἱός. Οὐχ ὡς ὑμεῖς, οἱ Φωτιζόμενοι, νῦν γίνεσθε υἱοὶ τοῦ Θεοῦ· γίνεσθε γὰρ καὶ ὑμεῖς υἱοὶ, ἀλλὰ θέσει κατὰ χάριν, ὡς γέγραπται· « Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐ- » ξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα » αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ » θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν » (4). Καὶ ἡμεῖς μὲν γεννώμεθα ἐξ *ὕδατος καὶ πνεύματος* (5)· οὐχ οὕτω δὲ ἐγεννήθη Χριστὸς ἐκ Πατρός. Κατὰ τὸν καιρὸν γὰρ τοῦ βαπτίσματος προσρωνῶν, καὶ λέγων « Οὗτός ἐστιν ὁ υἱός μου », οὐκ εἶπεν *οὗτος*

(1) Ἐκ τοῦ ΒΤ. — Μ, ἃ χρόνοις
(2) Ἐκ τοῦ ΒΤ. — Μ, ἐστί
(3) Α' πρὸς Κορινθ. Δ, 15.
(4) Ἰωάν. Α', 12—13.
(5) Αὐτ. Γ', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νῦν γέγονεν υἱός μου· ἀλλ' οὗτός ἐστιν ὁ υἱός μου (1), ἵνα δηλώσῃ, ὅτι καὶ πρὸ τῆς τοῦ βαπτίσματος ἐνεργείας υἱὸς ἦν. Ἐγέννησεν ὁ Πατὴρ τὸν Υἱὸν οὐχ ὡς ἐν ἀνθρώποις γεννᾷ νοῦς λόγον· ὁ μὲν γὰρ νοῦς ἐν ἡμῖν ἐνυπόστατός ἐστιν· ὁ δὲ λόγος, λαληθεὶς καὶ εἰς ἀέρα διαχυθείς, ἀπόλλυται. Ἡμεῖς δὲ οἴδαμεν τὸν Χριστὸν γεννηθέντα, λόγον οὐ προφορικόν, ἀλλὰ Λόγον ἐνυπόστατον [καὶ] ζῶντα, οὐ χείλεσι λαληθέντα [καὶ διαχυθέντα], ἀλλ' ἐκ Πατρὸς ἀϊδίως καὶ ἀνεκφράστως, καὶ ἐν ὑποστάσει γεννηθέντα. « Ἐν ἀρχῇ γὰρ » ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λό»γος» (2), ἐν δεξιᾷ καθεζόμενος (3). Λόγος, νοῶν τοῦ Πατρὸς τὸ βούλημα, καὶ δημιουργῶν τὰ πάντα τῷ ἐκείνου νεύματι. Λόγος, ὁ *καταβὰς καὶ ἀναβάς* (4)· ὁ γὰρ προφορικός, λαλούμενος (5) οὐ καταβαίνει οὐδὲ ἀναβαίνει. Λόγος λαλῶν καὶ λέγων· « Ἃ ἑώρακα » παρὰ τῷ πατρί μου, ταῦτα λαλῶ » (6). Λόγος ἐξουσιαστικός, καὶ βασιλεύων τῶν πάντων· « Πάντα γὰρ τῷ υἱῷ παρέδωκεν ὁ πατήρ» (7).

δ'. Ἐγέννησε τοίνυν αὐτὸν [ὁ Πατὴρ] οὐχ οὕτως, ὡς ἄν τις νοήσειεν ἀνθρώπων, ἀλλ' ὡς οἶδεν αὐτὸς μόνος. Οὐ γὰρ τὸ πῶς ἐγέννησεν εἰπεῖν ἐπαγγελλόμεθα, ἀλλὰ τὸ οὐχ οὕτως διαβεβαιούμεθα. Καὶ οὐχ ἡμεῖς ἀγνοοῦμεν μόνον τὴν ἐκ Πατρὸς τοῦ Υἱοῦ γέννησιν, ἀλλὰ καὶ πᾶσα γεννητὴ φύσις· « Ἐκδιήγησαι γῇ, ἐάν σοι φράσῃ » (8)· καὶ ἐὰν ἐξετάσῃς πάντα τὰ ὄντα ἐπὶ τῆς γῆς, οὐ δυνήσεται εἰπεῖν· ἡ γὰρ γῆ τοῦ οἰκείου κεραμέως καὶ πλάστου τὴν ὑπόστασιν λέγειν οὐ δύναται. Οὐ μόνον δὲ γῆ οὐκ οἶδεν, ἀλλ' οὐδὲ ἥλιος· τετάρτῃ γὰρ ἡμέρᾳ ὁ ἥλιος ἐκτίσθη, τὰ ἐν ταῖς πρὸ αὐτοῦ τρισὶ μὴ γινώσκων· ὁ δὲ τὰ ἐν τρισὶν ἡμέραις, ταῖς πρὸ αὐτοῦ, μὴ εἰδὼς, αὐτὸν τὸν ποιητὴν ἐξειπεῖν οὐ δυνήσεται. Οὐρανὸς τοῦτο οὐ διηγήσεται· νεύματι γὰρ Πατρὸς ὑπὸ τοῦ Χριστοῦ, Καὶ ὁ οὐρανὸς

(1) Ματθ. Γ', 17.
(2) Ἰωάν. Α', 1.
(3) Ψαλμ. ΡΘ', 1.
(4) Πρὸς Ἐφες. Δ', 30.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, ὁ γὰρ προφορικῶς λαλούμενος,
(6) Ἰωάν. Η', 38. (7) Ἰωάν. ΙΓ', 3.
(8) Ἰὼβ ΙΒ', 8.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ὡς καπνὸς ἐστερεώθη » (1)· οὐδὲ οἱ οὐρανοὶ τῶν οὐρανῶν διηγήσονται, οὐδὲ τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν τοῦτο διηγήσεται (2). Τί τοίνυν ἀθυμεῖς ἀγνοῶν, ἄνθρωπε, ὅπερ ἀγνοοῦσι καὶ οἱ οὐρανοί; Οὐ μόνον δὲ οἱ οὐρανοὶ τὴν γέννησιν ἀγνοοῦσιν, ἀλλὰ καὶ πᾶσα ἀγγελικὴ φύσις. Εἰ γάρ τις, εἴγε ἦν δυνατόν, ἀναβὰς εἰς πρῶτον οὐρανόν, καὶ τῶν ἐκεῖ ἀγγέλων κατανοήσας τὴν κατάστασιν, προσελθὼν ἐρωτήσειε πῶς ὁ Θεὸς ἐγέννησε τὸν ἑαυτοῦ υἱόν, ἐροῦσιν ἴσως· Ἔχομεν ὑπὲρ ἡμᾶς μείζονας ἀνωτέρους, ἐκείνους ἐρώτησον. Ἀνάβηθι πρὸς δεύτερον οὐρανόν, καὶ τρίτον· φθάσον, εἰ δύνῃ, πρὸς Θρόνους [καὶ] Κυριότητας, Ἀρχάς τε καὶ Ἐξουσίας· κἂν πρὸς ἐκείνους δέ τις φθάσειεν, ὅπερ ἀδύνατον, κἀκεῖνοι παραιτήσονται τὴν διήγησιν, οὐδὲ γὰρ (3) οἴδασι. Καὶ ἐγὼ τεθαύμακα ἀεὶ τῶν τολμηρῶν τὴν φιλοπραγμοσύνην, τῶν διὰ τῆς νομιζομένης εὐλαβείας εἰς ἀσέβειαν ἐκπιπτόντων. Θρόνους γὰρ καὶ Κυριότητας, τὰ Χριστοῦ ποιήματα, καὶ Ἀρχὰς καὶ Ἐξουσίας ἀγνοοῦντες, αὐτὸν τὸν ποιητὴν φιλοπραγμονεῖν ἐπιχειροῦσιν. Εἰπέ μοι πρῶτον, ὦ τολμηρότατε, τί διαφέρει Θρόνος Κυριότητος, καὶ τότε πολυπραγμόνει τὰ κατὰ Χριστόν. Εἰπέ μοι τί μέν ἐστιν Ἀρχή, τί δὲ Ἐξουσία, τί δὲ Δύναμις, τί δὲ (5) Ἄγγελος, καὶ τότε τὸν ποιητὴν πολυπραγμόνει· « Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο » (6). Ἀλλ' οὐ θέλεις ἐρωτῆσαι Θρόνους ἢ Κυριότητας, ἢ οὐ δύνασαι. Τί ἐστιν ἕτερον γινῶσκον τὰ *βάθη τοῦ Θεοῦ*, εἰ μὴ μόνον τὸ *Πνεῦμα τὸ ἅγιον* (7), τὸ λαλῆσαν τὰς θείας Γραφάς (8); ἀλλ' οὐδ' αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον περὶ τῆς ἐκ Πατρὸς τοῦ Υἱοῦ γεννήσεως ἐν ταῖς Γραφαῖς ἐλάλησε. Τί τοίνυν πολυπραγμονεῖς, ἃ μηδὲ τὸ Πνεῦμα τὸ ἅγιον ἔγραψεν ἐν ταῖς Γραφαῖς; Ὃ τὰ γεγραμμένα μὴ γινώσκων, τὰ μὴ γεγραμμένα πολυπραγμονεῖς; Πολλὰ ζητή-

(1) Ἡσ. ΝΑ', 6.
(2) Ψαλμ. ΡΜΗ', 4.
(3) Ἐκ τοῦ ΒΤ. — Μ, οὐ γὰρ
(4) Αὐτόθεν. — Μ, αὐτῶν
(5) Αὐτόθεν. — Μ, τίς δὲ
(6) Ἰωάν. Α', 3.
(7) Α' πρὸς Κορινθ. Β', 10.
(8) Β'. Πέτρ. Α', 21.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ματά ἐστιν ἐν ταῖς Θείαις Γραφαῖς· τὸ γεγραμμένον οὐ καταλαμβάνομεν, τί τὸ μὴ γεγραμμένον πολυπραγμονοῦμεν; Αὔταρκες ἡμῖν (1) εἰδέναι, ὅτι Θεὸς ἐγέννησεν υἱὸν ἕνα μόνον. Μὴ ἐπαισχυνθῇς ὁμολογῆσαι τὴν ἄγνοιαν, ἐπειδὴ μετὰ ἀγγέλων ἀγνοεῖς. Ὁ γεννήσας οἶδε μόνος τὸν γεννηθέντα· καὶ ὁ ἐξ αὐτοῦ γεγεννημένος οἶδε τὸν γεννήσαντα· ὁ γεννήσας οἶδε τί ἐγέννησε (2), καὶ τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ μαρτυρεῖ ἐν ταῖς Γραφαῖς, ὅτι Θεὸς ὁ γεννηθεὶς ἄναρχος (3)· « Τίς γὰρ ἔγνω ἀνθρώπων τὰ τοῦ ἀνθρώ-» που, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ » τοῦ Θεοῦ οὐδεὶς ἔγνω, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ » (4). « Ὡς » περ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ υἱῷ ἔδωκε » ζωὴν ἔχειν ἐν ἑαυτῷ » (5). Καὶ, « Ἵνα πάντες τιμῶσι τὸν » υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα » (6). Καὶ, « Ὡς περ ὁ Πατὴρ οὓς » θέλει ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ » (7). Οὔτε ὁ γεννήσας ἐζημιώθη τι, οὔτε λείπει τι τῷ γεννηθέντι (οἶδα πολλάκις ταῦτα εἰρηκὼς, ἀλλὰ πολλάκις ταῦτα εἴρηται ὑπὲρ τῆς ὑμῶν ἀσφαλείας). Οὔτε ὁ γεννήσας ἔχει Πατέρα, οὔτε ὁ γεννηθεὶς ἀδελφὸν ἔχει· οὔτε ὁ γεννήσας εἰς υἱὸν μετεβλήθη, οὔτε ὁ γεννηθεὶς πατὴρ ἐγένετο. Ἐξ ἑνὸς μόνου Πατρὸς εἷς μονογενὴς υἱός· οὔτε δύο ἀγέννητοι, οὔτε δύο μονογενεῖς· ἀλλ' εἷς ἐστι πατὴρ ἀγέννητος (ἀγέννητος γὰρ ἐστιν ὁ πατέρα μὴ ἔχων)· καὶ εἷς ἐστιν υἱὸς ἀϊδίως ἐκ πατρὸς γεγεννημένος· οὐ χρόνοις γεγεννημένος, ἀλλὰ πρὸ αἰώνων γεννηθείς· οὐκ ἐκ προκοπῆς αὐξηθείς, ἀλλὰ τοῦτο γεννηθείς, ὅπερ ἐστὶ νῦν.

ε. Πιστεύομεν τοίνυν *εἰς τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, Θεὸν ἀληθινόν.* Ὁ γὰρ ἀληθὴς Θεὸς οὐ γεννᾷ ψευδῆ, καθὼς εἴρηται· οὐδὲ σκεψάμενος, ὕστερον ἐγέννησεν· ἀλλ' ἀϊδίως ἐγέννησε, καὶ πολὺ μᾶλλον τάχιον τῶν ἡμετέρων ῥημάτων, ἢ νοημάτων, ἐγέννησεν. Ἡμεῖς μὲν γὰρ ἐν

(1) Ἐκ τοῦ ΒΤ. — Μ, ὑμῖν

(2) Ἐν τῷ Μ, ὑποσημειοῦται ἀναγνωστέον εἶναι « τίνα ἐγέννησε ».

(3) Ἐν τῷ περισελίδῳ ΒΤ, σημειοῦται ἀναγνωστέον εἶναι « ἀνάρχως. »

(4) Α' πρὸς Κορινθ. Β', 11. (5) Ἰωάν. Ε', 26.

(6) Ἰωάν. Ε', 23. (7) Αὐτ. 21.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χρόνοις λαλοῦντες, χρόνον ἀναλίσκομεν· ἐπὶ δὲ τῆς θείας δυνάμεως, ἄχρονος ἡ γέννησις. Καὶ καθὼς εἴρηται πολλάκις, οὐκ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸν υἱὸν παρήγαγεν, οὐδὲ τὸν μὴ ὄντα εἰς υἱοθεσίαν ἤγαγεν· ἀλλ' ἀΐδιος ὢν ὁ Πατὴρ, ἀϊδίως ἐγέννησε καὶ ἀνεκφράστως Υἱὸν ἕνα μόνον, ἀδελφὸν οὐκ ἔχοντα. Οὔτε δύο εἰσὶν ἀρχαί· ἀλλὰ κεφαλὴ τοῦ υἱοῦ ὁ Πατὴρ (1), μία ἡ ἀρχή. Πατὴρ γὰρ υἱὸν ἐγέννησε Θεὸν ἀληθινὸν, Ἐμμανουὴλ προσαγορευόμενον (2)· ὁ δὲ Ἐμμανουὴλ *μεθ' ἡμῶν ὁ Θεὸς* ἑρμηνεύεται (3). Καὶ θέλεις γνῶναι ὅτι Θεός ἐστιν ὁ ἐκ Πατρὸς γεννηθείς, καὶ ὕστερον ἐνανθρωπήσας; ἄκουε τοῦ προφήτου λέγοντος· « Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε » πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, » καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ τοῦτο ἐπὶ τῆς γῆς » ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη » (4). Βλέπεις Θεὸν μετὰ τὴν Μωσέως νομοθεσίαν ἐνανθρωπήσαντα; Δέξαι καὶ δευτέραν μαρτυρίαν τῆς Χριστοῦ θεότητος τὴν ἀρτίως ἀνεγνωσμένην· « Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος » (5). Ἵνα γὰρ μὴ, διὰ τὴν ἔνσαρκον τὴν ἐνταῦθα γενομένην παρουσίαν, νομισθῇ μετὰ ταῦτα εἰς προκοπὴν ἐλθεῖν θεότητος, λέγει σαφῶς· « Διὰ » τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ » τοὺς μετόχους σου » (6). Βλέπεις Χριστὸν Θεὸν ὑπὸ Πατρὸς Θεοῦ χριόμενον (7); Θέλεις δέξασθαι καὶ τρίτην μαρτυρίαν τῆς Χριστοῦ θεότητος; ἄκουε Ἡσαΐου λέγοντος· « Ἐκοπίασεν Αἴγυ» πτος καὶ ἐμπορία Αἰθιόπων »· καὶ μετ' ὀλίγα· « Καὶ ἐν σοὶ » προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν » σοῦ. Σὺ γὰρ εἶ ὁ Θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ Σω» τήρ » (8). Βλέπεις Θεὸν [τὸν] υἱὸν, ἔχοντα ἐν ἑαυτῷ Θεὸν τὸν

(1) Α' πρὸς Κορινθ. ΙΑ', 3.
(2) Ἡσ. Ζ', 24.
(3) Ματθ. Α', 23.
(4) Βαρούχ Γ', 36—38.
(5) Πρὸς Ἑβρ. Α', 8—9· καὶ Ψαλμ. ΜΔ', 7.
(6) Ψαλμ. ΜΔ', 8.
(7) Ἐκ τοῦ ΒΤ. — Μ, βλέπεις Χριστὸν ὑπὸ Πατρὸς χριόμενον Θεόν; (8) Ἡσ. ΜΕ', 14 καὶ 15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πατέρα (1)· μονονουχὶ τὸ αὐτὸ λέγοντα, ὅπερ ἐν εὐαγγελίοις εἴρηκεν· « Ὁ Πατὴρ ἐν ἐμοὶ, κἀγὼ ἐν τῷ Πατρί » (2). Οὐκ εἴρηκεν, *ὁ πατὴρ εἰμι ἐγὼ*, ἀλλ' *ὁ πατὴρ ἐν ἐμοὶ*, *κἀγὼ ἐν τῷ πατρί*· καὶ πάλιν οὐκ εἶπεν *ἐγὼ καὶ ὁ πατὴρ ἕν εἰμι*· ἀλλ' « Ἐγὼ καὶ ὁ » πατὴρ ἓν ἐσμέν » (3)· ἵνα μήτε ἀπαλλοτριώσωμεν, μήτε συναλοιφὴν υἱοπατορίας ἐργασώμεθα. *Ἕν*, διὰ τὸ κατὰ τὴν θεότητα ἀξίωμα· ἐπειδὴ Θεὸς Θεὸν ἐγέννησεν. *Ἕν*, διὰ τὸ κατὰ τὴν βασιλείαν· οὐ γὰρ ἄλλων βασιλεύει πατὴρ, ἄλλων δὲ υἱὸς (κατὰ τὸν Ἀβεσαλὼμ ἀνταίρων τῷ πατρί)· ἀλλ' ὧν βασιλεύει ὁ πατὴρ, τούτων βασιλεύει καὶ ὁ υἱός. *Ἕν*, διὰ τὸ μηδεμίαν εἶναι διαφωνίαν, ἢ διάστασιν· οὐ γὰρ ἄλλα βουλήματα Πατρὸς, ἄλλα δὲ Υἱοῦ. *Ἕν*, διὰ τὸ μὴ εἶναι ἄλλα Χριστοῦ δημιουργήματα, καὶ ἄλλα Πατρός· μία γὰρ ἡ πάντων δημιουργία, τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ πεποιηκότος· « Ὅτι αὐτὸς » εἶπε, καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν» φησὶν ὁ ψαλμῳδός (4). Ὁ γὰρ λέγων, λέγει τῷ ἀκούοντι· καὶ ὁ ἐντελλόμενος, ἐντέλλεται τῷ συμπαρόντι.

ς'. Θεὸς τοίνυν ἀληθινὸς Υἱὸς, ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα, οὐκ εἰς Πατέρα μεταβληθείς· οὐ γὰρ Πατὴρ ἐνηνθρώπησεν, ἀλλὰ Υἱός· λεγέσθω γὰρ ἐλευθερίως ἡ ἀλήθεια. Οὐ πατὴρ ἔπαθεν ὑπὲρ ἡμῶν, ἀλλὰ πατὴρ ἀπέστειλε τὸν ὑπὲρ ἡμῶν παθόντα. Μήτε λέγωμέν ποτε τὸ, *Ἦν, ὅτε οὐκ ἦν ὁ Υἱός*· μήτε υἱοπατορίαν καταδεξώμεθα· ἀλλ' ὁδῷ βασιλικῇ πορευθῶμεν, μὴ ἐκκλίνωμεν μήτε ἀριστερᾷ, μήτε δεξιᾷ. Μήτε, διὰ τὸ νομίζειν τιμᾶν τὸν υἱὸν, Πατέρα αὐτὸν ἀναγορεύσωμεν· μήτε, διὰ τὸ τιμᾶν τὸν Πατέρα νομίζειν, ἕν τι τῶν δημιουργημάτων τὸν Υἱὸν ὑποπτεύσωμεν. Ἀλλ' εἷς πατὴρ δι' ἑνὸς υἱοῦ προσκυνείσθω, καὶ μὴ μεριζέσθω ἡ προσκύνησις. Εἷς υἱὸς καταγγελλέσθω, πρὸ τῶν αἰώνων ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμενος· τὸ συγκαθέζεσθαι, οὐ χρόνοις μετὰ τὸ πάθος λαβὼν ἐκ προκοπῆς, ἀλλ' ἀϊδίως κεκτημένος. « Ὁ ἑωρακὼς τὸν υἱὸν, ἑώρα-

(1) Ἐκ τοῦ ΒΤ.—Μ, Βλέπεις Θεὸν, υἱὸν ἔχοντα ἐν ἑαυτῷ; Θεὸν τὸν Πατέρα μονονουχὶ κτλ.

(2) Ἰωάν. ΙΔ, 10, 11· καὶ ΙΖ', 21.

(3) Αὐτόθ. Ι', 30.

(4) Ψαλμ. ΡΜΗ', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» κε τὸν Πατέρα » (1)· ὅμοιος γὰρ ἐν πᾶσιν ὁ υἱὸς τῷ γεγεννηκότι· ζωὴ ἐκ ζωῆς γεννηθείς, καὶ φῶς ἐκ φωτὸς, δύναμις ἐκ δυνάμεως, Θεὸς ἐκ Θεοῦ· καὶ ἀπαράλλακτοι τῆς θεότητος οἱ χαρακτῆρές εἰσιν ἐν τῷ Υἱῷ· καὶ ὁ καταξιωθεὶς ἰδεῖν υἱοῦ θεότητα, ἔρχεται εἰς ἀπόλαυσιν τοῦ γεγεννηκότος. Οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ μονογενοῦς υἱοῦ· « Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ » ἔγνωκάς με, Φίλιππε ; ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα » (2). Καὶ ἵνα εἴπω συντομώτερον, μήτε χωρίζωμεν, μήτε συναλοιφὴν ἐργαζώμεθα· καὶ μήτε ἀλλότριόν ποτε [τοῦ Πατρὸς] εἴπῃς τὸν Υἱὸν, μήτε καταδέξῃ τοὺς λέγοντας τὸν Πατέρα, ποτὲ μὲν Πατέρα, ποτὲ δὲ Υἱὸν εἶναι· ἀλλότρια γὰρ καὶ ἀσεβῆ ταῦτα, καὶ οὐκ Ἐκκλησίας τὰ διδάγματα· ἀλλ' ὁ πατὴρ γεννήσας τὸν Υἱὸν, ἔμεινε Πατὴρ, καὶ οὐκ ἠλλοίωται. Σοφίαν ἐγέννησεν, ἀλλ' οὐκ αὐτὸς ἄσοφος ἐγένετο· καὶ δύναμιν γεννήσας, οὐκ ἠσθένησε. Θεὸν γεννήσας, οὐκ αὐτὸς τῆς θεότητος ἐστερήθη, καὶ οὔτε τι αὐτὸς ἀπώλεσε μειωθείς, ἢ ἀλλοιωθείς· οὔτε ὁ γεννηθεὶς ἔχει τι λεῖπον. Τέλειος ὁ γεννήσας, τέλειον τὸ γεννηθέν· Θεὸς ὁ γεννήσας, Θεὸς ὁ γεννηθείς. Θεὸς μὲν τῶν πάντων, Θεὸν δὲ ἑαυτοῦ τὸν Πατέρα ἐπιγραφόμενος· οὐ γὰρ ἐπαισχύνεται λέγων· « Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πα- » τέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν » (3). Ἀλλ' ἵνα μὴ νομίσῃς ὅτι ὁμοίως τοῦ Υἱοῦ καὶ τῶν κτισμάτων ἐστὶ πατὴρ, ὑποδιέστειλεν [ἐν] τοῖς ἑξῆς· οὐ γὰρ εἶπεν· *Ἀναβαίνω πρὸς τὸν Πατέρα ἡμῶν*, ἵνα μὴ κοινωνία γένηται τῶν ποιημάτων πρὸς τὸν μονογενῆ· ἀλλὰ *Πατέρα μου, καὶ Πατέρα ὑμῶν* εἶπεν· ἄλλως ἐμοῦ, κατὰ φύσιν· [καὶ] ἄλλως ὑμῶν, κατὰ θέσιν. Καὶ πάλιν *πρὸς τὸν Θεόν μου καὶ Θεὸν ὑμῶν*· ἄλλως ἐμοῦ, ὡς υἱοῦ γνησίου καὶ μονογενοῦς· καὶ ἄλλως ὑμῶν, ὡς δημιουργημάτων. Θεὸς τοίνυν ἀληθινός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, πρὸ πάντων τῶν αἰώνων ἀνεκδιηγήτως γεννηθείς· πολλάκις γὰρ λέγω τὸ αὐτὸ πρὸς ὑμᾶς, ἵνα ἐντυπωθῇ ὑμῶν τοῦτο τῇ διανοίᾳ.

---

(1) Ἰωάν. ΙΔ', 9.
(2) Αὐτόθι.
(3) Ἰωάν. Κ', 17.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζ'. Καὶ ὅτι μὲν ὁ Θεὸς υἱὸν ἔχει, τοῦτο πίστευε· τὸ δὲ πῶς, μὴ πολυπραγμόνει· ζητῶν γὰρ οὐχ εὑρήσεις. Μὴ ἐξύψου σεαυτόν, ἵνα μὴ πέσῃς· « Ἃ προσετάγη σοι, ταῦτα διανοοῦ μόνα » (1). Εἰπέ μοι πρῶτον, τίς ἐστιν ὁ γεννήσας, καὶ τότε μάνθανε ὃ ἐγέννησεν. Εἰ δὲ φύσιν οὐ δύνασαι νοῆσαι τοῦ γεγεννηκότος, τοῦ γεγενημένου τὸν τρόπον μὴ πολυπραγμόνει. Αὐτάρκες σοι πρὸς εὐσέβειαν εἰδέναι, καθὼς εἴπαμεν, ὅτι ἕνα υἱὸν ὁ Θεὸς ἔχει μόνον, ἕνα φυσικῶς γεγεννημένον· οὐχ ὅτε ἐγεννήθη ἐν Βηθλεὲμ τοῦ εἶναι ἀρξάμενον, ἀλλὰ *πρὸ πάντων τῶν αἰώνων*. Ἄκουε γὰρ Μιχαίου τοῦ προφήτου λέγοντος· « Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, μὴ » ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξε- » λεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ· » καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος » (2). Μὴ οὖν πρόσεχε τῷ νῦν ἐκ τῆς Βηθλεὲμ, ἀλλὰ προσκύνει τὸν ἀϊδίως ἐκ Πατρὸς γεννηθέντα. Μὴ χρονικὴν ἀρχὴν τοῦ Υἱοῦ καταδέξῃ τινὸς λέγοντος, ἀλλὰ ἄχρονον ἀρχὴν γίνωσκε τὸν Πατέρα· ἀρχὴ γὰρ υἱοῦ ἄχρονος, ἀκατάληπτος, ἄναρχος, ὁ Πατήρ (3)· πηγὴ τοῦ τῆς δικαιοσύνης ποταμοῦ, τοῦ Μονογενοῦς, ὁ Πατὴρ, ὁ γεννήσας αὐτὸν καθὼς οἶδεν αὐτὸς μόνος. Καὶ θέλεις γνῶναι, ὅτι καὶ αἰώνιός ἐστι βασιλεὺς ὁ κύριος ἡμῶν (4) Ἰησοῦς Χριστός; ἄκουε πάλιν αὐτοῦ λέγοντος· « Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ » τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη » (5). Εἶτα, σκληρῶς τοῦτο καταδεξαμένων τῶν Ἰουδαίων, τὸ ἐκείνοις ἔτι σκληρότερον λέγει· « Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι » (6). Καὶ πάλιν πρὸς τὸν Πατέρα λέγει· « Καὶ νῦν δόξασόν με σὺ, Πάτερ, παρὰ » σεαυτῷ, τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί » (7). Σαφῶς γὰρ εἴρηκεν, ὅτι πρὶν τὸν κόσμον γενέσθαι, ἐγὼ εἶχον

(1) Σοφ. Σειράχ Γ', 22.

(2) Μιχ. Ε', 2.

(3) Ἐκ τοῦ ΒΤ ἡ στίξις. — Μ, Ἀρχὴ γὰρ υἱοῦ ἄχρονος, ἀκατάληπτος. Ἄναρχος ὁ Πατήρ, πηγὴ κτλ.

(4) Αὐτόθεν. — Μ, ὑμῶν

(5) Ἰωάν. Η', 56.

(6) Αὐτ. 58.

(7) Ἰωάν. ΙΖ', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν παρὰ σοὶ δόξαν. Καὶ πάλιν « Ὅτι ἠγάπησάς με πρὸ καταβο-» λῆς κόσμου » (1) λέγων, σαφῶς φησιν ὅτι ἀΐδιον ἔχω τὴν παρὰ σοὶ δόξαν.

ή. Πιςεύωμεν (2) τοίνυν *εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, Θεὸν ἀληθινὸν, πρὸ πάντων τῶν αἰώνων, δι' οὗ τὰ πάντα ἐγένετο.* Εἴτε γὰρ Θρόνοι, εἴτε Κυριότητες, εἴτε Ἀρχαὶ, εἴτε Ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ ἐγένετο, καὶ οὐδὲν τῶν γεννητῶν ὑπεξήρηται τῆς ἐξουσίας αὐτοῦ (3). Φιμούσθω πᾶσα αἵρεσις διαφόρους ποιητὰς καὶ κοσμοποιοὺς εἰσάγουσα. Φιμούσθω βλασφημοῦσα γλῶσσα τὸν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ. Φιμούσθωσαν οἱ λέγοντες τὸν ἥλιον εἶναι τὸν Χριστόν· ἡλίου γάρ ἐστι δημιουργὸς, οὐχ ὁ ἥλιος ὁ φαινόμενος. Φιμούσθωσαν οἱ λέγοντες Ἀγγέλων δημιούργημα τὸν κόσμον, οἱ τὸ τοῦ μονογενοῦς ἀξίωμα παραρπάζειν βουλόμενοι· εἴτε γὰρ ὁρατὰ, εἴτε ἀόρατα, εἴτε Θρόνοι, εἴτε Κυριότητες, εἴτε τι ὀνομαζόμενον, πάντα διὰ τοῦ Χριστοῦ ἐγένετο (4). Βασιλεύει τῶν ὑπ' αὐτοῦ πεποιημένων· οὐκ ἀλλοτρίαν αἰχμαλωσίαν ἁρπάσας, ἀλλὰ ἰδίων δημιουργημάτων βασιλεύων, καθὼς ὁ εὐαγγελιστὴς εἴρηκεν Ἰωάννης· « Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ » χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν » (5)· πάντα δι' αὐτοῦ ἐγένετο, τοῦ Πατρὸς δι' Υἱοῦ ἐργαζομένου. Καὶ βούλομαι μέντοι εἰπεῖν καὶ ὑπόδειγμα τῶν λεγομένων, ἀλλ' οἶδα αὐτὸ ἀσθενές· ποῖον γὰρ ἔσται [τῶν] ὁρατῶν ἀκριβὲς ὑπόδειγμα τῆς θείας καὶ ἀοράτου δυνάμεως; ἀλλ' ὅμως λεγέσθω ὡς ἀσθενὲς, παρὰ ἀσθενῶν πρὸς ἀσθενεῖς. Ὡς περ γὰρ ἄν τις βασιλεὺς, βασιλέα υἱὸν ἔχων, βουλόμενος κατασκευάσαι πόλιν, ὑπόθοιτο τῷ υἱῷ συμβασιλεύοντι τὴν κατασκευὴν τῆς πόλεως· ὁ δὲ τὸ παράδειγμα λαβὼν, εἰς τέλος ἄγει τὸ νοηθέν· οὕτω Πατρὸς βουληθέντος τὰ πάντα κατασκευᾶσθαι, τῷ τοῦ πατρὸς νεύματι ὁ υἱὸς τὰ πάντα ἐδημιούργησεν· ἵνα τὸ

(1) Ἰωάν. ΙΖ', 24.
(2) Ἐκ τοῦ ΒΤ. — Μ, π ι σ τ ε ύ ο μ ε ν
(3) Πρὸς Κολοσ. Α', 16—17.
(4) Πρὸς Κολοσ. Α', 16· καὶ πρὸς Ἐφεσ. Α', 21.
(5) Ἰωάν. Α', 3.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν νεῦμα τηρῇ τῷ πατρὶ τὴν αὐθεντικὴν ἐξουσίαν, καὶ ὁ υἱὸς δὲ πάλιν ἔχῃ ἐξουσίαν τῶν ἰδίων δημιουργημάτων· καὶ μήτε Πατὴρ ἀπαλλοτριωθῇ τῆς δεσποτείας τῶν ἰδίων δημιουργημάτων, μήτε ὁ Υἱὸς τῶν ὑπ' ἄλλου δημιουργηθέντων (1) βασιλεύῃ, ἀλλὰ τῶν ὑπ' αὐτοῦ. Οὐ γὰρ Ἄγγελοι, καθὼς εἴρηται, τὸν κόσμον ἐδημιούργησαν, ἀλλὰ Υἱὸς μονογενὴς, πρὸ πάντων τῶν αἰώνων γεγεννημένος, καθὼς εἴρηται, *δι' οὗ τὰ πάντα ἐγένετο*, μηδενὸς ὑπεξῃρημένου τῆς ὑπ' αὐτοῦ ποιήσεως. Καὶ ταῦτα μὲν ἡμῖν τέως τῇ τοῦ Χριστοῦ χάριτι λελέχθω.

θ'. Ἀναδραμόντες δὲ ἐπὶ τὴν τῆς πίστεως ἐπαγγελίαν, καταπαύσωμεν ἐν τῷ παρόντι τὸν λόγον. Πάντα ἐποίησεν ὁ Χριστὸς, κἂν Ἀγγέλους λέγῃς, κἂν Ἀρχαγγέλους, κἂν Κυριότητας, κἂν Θρόνους. Οὐχ ὅτι ὁ Πατὴρ ἠτόνει περὶ τὴν τῶν δημιουργημάτων αὐτουργίαν, ἀλλ' ὅτι βασιλεύειν τῶν ὑπ' αὐτοῦ πεποιημένων τὸν Υἱὸν ἠβουλήθη, αὐτὸς αὐτῷ παρέχων τῶν κατασκευαζομένων τὴν ὑφήγησιν. Τιμῶν γὰρ τὸν ἑαυτοῦ Πατέρα, ὁ Μονογενὴς φησιν· « Οὐ » δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν » Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁ» μοίως ποιεῖ » (2)· καὶ πάλιν· « Ὁ Πατήρ μου ἕως ἄρτι ἐργά» ζεται, κἀγὼ ἐργάζομαι » (3), οὐδεμιᾶς οὔσης ἐν τοῖς ἐργαζομένοις ἐναντιότητος· « Τὰ γὰρ ἐμὰ πάντα σά ἐστι· καὶ τὰ σὰ, ἐ» μὰ » (4), φησὶν ἐν εὐαγγελίοις ὁ Κύριος. Καὶ τοῦτό ἐστιν ἐπιγνῶναι σαφῶς ἐκ τῆς παλαιᾶς καὶ καινῆς Διαθήκης. Ὁ γὰρ λέγων· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίω» σιν » (5), πάντως ὅτι τινὶ παρόντι προσδιελέγετο. Σαφέστατα δὲ μᾶλλον ὁ ψαλμῳδὸς εἴρηκεν· « Αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν· » αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν » (6)· ὡς μὲν τοῦ Πατρὸς ἐντελλομένου καὶ λέγοντος, τοῦ δὲ Υἱοῦ νεύματι [αὐτοῦ] τὰ πάντα δη-

(1) Ἐκ τοῦ ΒΤ.—Μ, δ η μ ι ο υ ρ γ η μ ά τ ω ν
(2) Ἰωάν. Ε', 19.
(3) Αὐτ. 17.
(4) Ἰωάν. ΙΖ', 10.
(5) Γενέσ. Α', 26.
(6) Ψαλμ. ΡΜΗ', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μιουργοῦντος. Καὶ τοῦτο μυστικῶς ὁ Ἰὼβ ἔλεγεν· « Ὁ τανύσας » τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης » (1)· δηλῶν τοῖς νοοῦσιν, ὅτι ὁ διὰ τῆς παρουσίας περιπατῶν ἐπὶ τῆς θαλάσσης, οὗτος ἦν ὁ πρὸ τούτου τῶν οὐρανῶν ποιητής. Καὶ πάλιν ὁ Κύριός φησιν· « Ἢ σὺ λαβὼν γῆν πηλὸν, ἔπλασας ζῶον, » καὶ λαλητὸν αὐτὸ ἔθου ἐπὶ γῆς; » (2), εἶτα ἐξῆς· (3) « Ἀνοί- » γονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόν- » τες σε ἔπτηξαν; » (4) δηλῶν, ὅτι ὁ εἰς ᾅδου κατελθὼν διὰ φι- λανθρωπίαν, οὗτος ἐξ ἀρχῆς ἐκ πηλοῦ κατεσκεύασε τὸν ἄνθρωπον. Ἔστι τοίνυν ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς, καὶ τοῦ κό- σμου ποιητής· « Ἐν γὰρ τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐ- » γένετο· » καὶ « Εἰς τὰ ἴδια ἦλθε », καθὼς ἡμᾶς διδάσκει τὸ εὐαγγέλιον (5). Οὐ μόνον δὲ τῶν φαινομένων, ἀλλὰ καὶ τῶν μὴ φαινομένων, νεύματι Πατρὸς, ποιητής ἐστιν ὁ Χριστός· « Ἐν αὐτῷ » γὰρ ἐκτίσθη τὰ πάντα, κατὰ τὸν Ἀπόστολον, τὰ ἐν τοῖς οὐρα- » νοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· εἴτε Θρό- » νοι, εἴτε Κυριότητες, εἴτε Ἀρχαὶ, εἴτε Ἐξουσίαι· τὰ πάντα » δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων, » καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε » (6). Κἂν τοὺς αἰῶνας αὐ- τοὺς εἴπῃς, καὶ τούτων νεύματι τοῦ Πατρός ἐστι ποιητὴς Ἰησοῦς ὁ Χριστός· « Ἐπ' ἐσχάτων γὰρ τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν » ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας » ἐποίησεν » (7)· ᾧ ἡ δόξα, τιμὴ, κράτος, σὺν [τῷ Πατρὶ καὶ τῷ] ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Ἰὼβ Θ', 8.
(2) Αὐτ. ΑΠ', 14.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ τὰ ἑξῆς.
(4) Ἰὼβ ΑΗ', 17.
(5) Ἰωάν. Α', 10, 11.
(6) Πρὸς Κολοσ. Α', 16, 17.
(7) Πρὸς Ἑβρ. Α', 1—2.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ ΙΒ΄. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ ΣΑΡΚΩΘΕΝΤΑ ΚΑΙ ΕΝΑΝΘΡΩΠΗΣΑΝΤΑ· *καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· « Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέ- » γων· Αἴτησαι σεαυτῷ σημεῖον » κτλ. « Ἰδοὺ ἡ » παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται » υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμ- » μανουὴλ » κτλ.* (1).

ἀ. ΑΓΝΕΙΑΣ σύντροφοι, καὶ σωφροσύνης μαθηταὶ, [τὸν] ἐκ Παρθένου γεννηθέντα Θεὸν, ἁγνείας μεστοῖς χείλεσιν ἀνυμνήσωμεν. Οἱ τοῦ νοητοῦ προβάτου τῶν κρεῶν μεταλαβεῖν καταξιούμενοι, κεφαλὴν μετὰ τῶν ποδῶν μεταλάβωμεν (2)· κεφαλῆς μὲν τῆς θεότητος νοουμένης, ποδῶν δὲ τῆς ἀνθρωπότητος ἐκλαμβανομένης. Οἱ τῶν ἁγίων εὐαγγελίων ἀκροαταὶ, Ἰωάννῃ τῷ θεολόγῳ πεισθῶμεν. Ὁ γὰρ εἰπὼν, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν » Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος », ἐπήγαγε λέγων· « Καὶ ὁ Λόγος » σὰρξ ἐγένετο » (3). Οὔτε γὰρ τὸν ψιλὸν ἄνθρωπον προσκυνεῖν, ὅσιον· οὔτε Θεὸν μόνον λέγειν χωρὶς τῆς ἀνθρωπότητος, εὐσεβές. Εἰ γὰρ Θεὸς ὁ Χριστὸς, ὥς περ οὖν καὶ ἔστι, μὴ ἀνέλαβε δὲ τὴν ἀνθρωπότητα, τῆς σωτηρίας ἀλλότριοι καθεστήκαμεν. Προσκυνείσθω μὲν ὡς Θεὸς (4), πιστευέσθω δὲ ὅτι καὶ ἐνηνθρώπησεν. Οὔτε γὰρ τὸ λέγειν ἄνθρωπον ἄνευ θεότητος, ἐπωφελές· οὔτε τὴν ἀνθρωπότητα μὴ συνομολογεῖν τῇ θεότητι, σωτήριον. Ὁμολογήσωμεν τοῦ βασιλέως καὶ ἰατροῦ τὴν σωτηρίαν καὶ τὴν παρουσίαν· ὁ γὰρ βασιλεὺς Ἰησοῦς ἰατρεύειν μέλλων, λέντιον ἀνθρωπότητος περιζωσάμενος (5) ἐθεράπευσε τὸ νοσοῦν (6). Ὁ τέλειος τῶν νηπίων διδάσκαλος συνενηπίασε τοῖς νηπίοις, ἵνα σοφίσῃ τοὺς ἄφρονας (7). Ὁ ἐπουράνιος ἄρτος κατῆλθεν ἐπὶ τῆς γῆς, ἵνα

(1) Ἡσ. Ζ΄, 10, 14.
(2) Ἐξόδ. ΙΒ΄, 9.
(3) Ἰωάν. Α΄, 1, 14.
(4) Ἐκ τοῦ ΒΤ.— Μ, μὲν οὖν ὁ Θεός,
(5) Ἰωάν. ΙΓ΄, 4.
(6) Ἐκ τοῦ ΒΤ. — Μ, τὸν νοσοῦντα.
(7) Παροιμ. Α΄, 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θρέψῃ τοὺς λιμώσσοντας (1)· Ἰουδαίων δὲ παῖδες, τὸν μὲν ἐλθόντα ἀθετοῦντες, τὸν δὲ κακῶς ἐρχόμενον προσδοκῶντες, τὸν μὲν ἀληθῆ Χριστὸν παρητήσαντο (2), τὸν δὲ πλάνον οἱ πλανηθέντες ἐκδέχονται. Ἀληθοῦς καὶ ἐν τούτῳ τοῦ Σωτῆρος εὑρισκομένου, τοῦ εἰπόντος· « Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, » καὶ οὐ λαμβάνετέ με· ἐὰν δὲ ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ » ἰδίῳ, ἐκεῖνον λήψεσθε » (3). Καλὸν δὲ καὶ ἐπερώτησιν προσενέγκαι (4) τοῖς Ἰουδαίοις· ἀληθὴς ὁ προφήτης Ἡσαΐας, ὁ λέγων ὅτι Ἐμμανουὴλ ἐκ Παρθένου γεννηθήσεται (5), ἢ ψευδής ; Εἰ μὲν γὰρ ὡς ψευδοῦς κατηγοροῦσιν, οὐδὲν θαυμαστόν· ἔθος γὰρ αὐτοῖς οὐ μόνον ὡς ψευδεῖς κατηγορεῖν, ἀλλὰ καὶ λιθάζειν τοὺς προφήτας· εἰ δὲ ἀληθὴς ὁ προφήτης, δείξατε τὸν Ἐμμανουήλ. Καὶ πότερον, ὁ ἔρχεσθαι μέλλων, ὁ ὑφ' ὑμῶν προσδοκώμενος, ἐκ παρθένου τίκτεται, ἢ οὔ ; εἰ μὲν γὰρ ἐκ παρθένου μὴ γεννᾶται, ψεῦδος κατηγορεῖτε τοῦ προφήτου· εἰ δὲ ἐπὶ τοῦ μέλλοντος τοῦτο προσδοκᾶτε, τί τὸ ἤδη γενόμενον παραιτεῖσθε ;

ϛ'. Ἰουδαῖοι μὲν οὖν πλανάσθωσαν, ἐπειδὴ θέλουσιν· ἡ δὲ Ἐκκλησία τοῦ Θεοῦ δοξαζέσθω. Ἡμεῖς γὰρ παραδεχόμεθα [Θεὸν] Λόγον ἐνανθρωπήσαντα κατὰ ἀλήθειαν, οὐκ ἐκ θελήματος ἀνδρὸς καὶ γυναικός, ὡς αἱρετικοὶ λέγουσιν, ἀλλ' ἐκ *Παρθένου καὶ Πνεύματος ἁγίου*, κατὰ τὸ Εὐαγγέλιον, *ἐνανθρωπήσαντα*, οὐ φαντασίᾳ ἀλλὰ ἀληθείᾳ. Καὶ ὅτι ἀληθῶς ἐκ Παρθένου ἐνηνθρώπησε, περίμενε τὸν καιρὸν τῆς διδασκαλίας νῦν, καὶ λήψῃ τὰς ἀποδείξεις· πολύπλοκος γάρ ἐστιν ἡ τῶν αἱρετικῶν πλάνη. Καὶ οἱ μὲν μηδόλως αὐτὸν ἐκ παρθένου γεγεννῆσθαι εἰρήκασιν· οἱ δὲ γεγεννῆσθαι μέν, οὐκ ἐκ παρθένου δὲ, ἀλλ' ἐκ γυναικὸς ἀνδρὶ συνοικούσης· οἱ δὲ λέγουσιν, οὐ Θεὸν ἐνηνθρωπηκέναι τὸν Χριστὸν, ἀλλ' ἄνθρωπόν τινα τεθεοποιῆσθαι· ἐτόλμησαν γὰρ εἰπεῖν, ὅτι οὐχ ὁ πρὸ ὢν Λόγος, οὗτος ἐνηνθρώπησεν· ἀλλὰ ἄνθρωπός τις προκόψας, οὗτος ἐστεφανώθη. Σὺ δὲ μνημόνευσον τῶν χθὲς περὶ τῆς θεότητος εἰρημένων. Πίστευσον, ὅτι αὐτὸς ἐκεῖνος

(1) Ἰωάν. Γ', 31.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, παραιτήσαντες.
(3) Ἰωάν. Ε', 43.
(4) Ἐκ τοῦ ΒΤ.— Μ, ἐπενέγκαι.
(5) Ἡσ. Ζ', 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ τοῦ Θεοῦ μονογενὴς Υἱός, οὗτος ἐκ Παρθένου πάλιν ἐγεννήθη. Ἰωάννῃ τῷ εὐαγγελιστῇ πείσθητι, λέγοντι· « Καὶ ὁ λόγος σὰρξ ἐγένετο, »καὶ ἐσκήνωσεν ἐν ἡμῖν» (1). Ὁ μὲν γὰρ Λόγος αἰώνιος, πρὸ πάντων τῶν αἰώνων ἐκ Πατρὸς γεννηθείς· τὴν δὲ σάρκα προσφάτως ἀνέλαβε δι' ἡμᾶς. Ἀλλὰ ἀντιλέγουσι πολλοὶ καὶ λέγουσι· Τί τοσοῦτον ἦν αἴτιον, ὥστε Θεὸν εἰς ἀνθρωπότητα καταβῆναι; καὶ εἰ ὅλως Θεοῦ φύσις ἐστὶν ἀνθρώποις συναναστρέφειν (2); καὶ εἰ δυνατόν ἐστι παρθένον τίκτειν ἄνευ ἀνδρός; Πολλῆς δὲ ἀντιλογίας οὔσης, καὶ πολυειδοῦς τῆς μάχης, φέρε, τῇ τοῦ Χριστοῦ χάριτι καὶ ταῖς τῶν παρόντων εὐχαῖς, ἕκαστον διαλύσωμεν.

γ'. Καὶ πρῶτόν γε ἡμῖν ζητείσθω, τίνος ἕνεκεν κατέβη ὁ Ἰησοῦς. Καὶ μὴ ταῖς ἐμαῖς εὑρεσιλογίαις πρόσεχε· δυνατὸν γὰρ ἴσως κατασοφισθῆναι· ἀλλ' ἐὰν μὴ προφητῶν περὶ ἑκάστου πράγματος δέξῃ μαρτυρίαν, μὴ πίστευε τοῖς λεγομένοις. Ἐὰν μὴ καὶ περὶ τῆς παρθένου, καὶ τοῦ τόπου, καὶ τοῦ χρόνου, καὶ τοῦ τρόπου μάθῃς ἐκ τῶν θείων Γραφῶν, μὴ παραδέξῃ παρὰ ἀνθρώπου μαρτυρίαν. Τὸν μὲν γὰρ παρόντα καὶ διδάσκοντα, δυνατόν ἐστι καὶ ὑποπτεῦσαι· τὸν δὲ πρὸ χιλίων καὶ πλειόνων ἐτῶν προφητεύσαντα, τίς ὑποπτεύσει νοῦν ἔχων; Εἰ τοίνυν ζητεῖς τῆς Χριστοῦ παρουσίας τὸ αἴτιον, ἀνάδραμε ἐπὶ τὸ πρῶτον τῶν Γραφῶν βιβλίον. Ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεὸς τὸν κόσμον (3)· ἀλλ' ὁ κόσμος διὰ τὸν ἄνθρωπον. Ἥλιος μὲν γὰρ λαμπροτάταις αὐγαῖς ἀποστίλβων· ἀλλὰ διὰ τὸ ἀνθρώπῳ φαίνειν ἐγένετο. Καὶ πάντα δὲ τὰ ζῶα, διὰ τὸ δουλεύειν ἡμῖν κατέστη· βοτάναι καὶ δένδρα διὰ τὴν ἡμετέραν ἀπόλαυσιν ἐκτίσθη. Πάντα καλὰ τὰ δημιουργήματα (4), ἀλλὰ τούτων οὐδὲν εἰκὼν Θεοῦ, μόνος δὲ ἄνθρωπος. Ἥλιος, προστάγματι μόνῳ· ἄνθρωπος δὲ χερσὶ θείαις ἐπλάσθη· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν » (5). Εἰκὼν ξυλίνη ἐπιγείου βασιλέως τιμᾶται· πόσῳ γε μᾶλλον

(1) Ἰωάν. Α', 14.
(2) Βαρούχ Γ', 38.
(3) Γενέσ. Α', 3 κ' ἑπόμ.
(4) Αὐτόθ. 31.
(5) Αὐτόθ. 26.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰκὼν λογικὴ Θεοῦ; Ἀλλὰ τοῦτο τὸ μέγιστον τῶν δημιουργημάτων, ἐν παραδείσῳ χορεῦον, φθόνος ἐξέβαλε διαβολικός (1). Ἐπέχαιρεν ὁ ἐχθρὸς πεπτωκότι τῷ φθονηθέντι· ἆρα ἐβούλου μένειν χαίροντα τὸν ἐχθρόν; Οὗτος μὴ τολμήσας διὰ τὸ ἰσχυρὸν προσελθεῖν τῷ ἀνδρὶ, προσῆλθεν ὡς ἀσθενεστέρᾳ τῇ γυναικὶ ἔτι παρθένῳ οὔσῃ· μετὰ γὰρ τὴν ἀπόπτωσιν ἐκ παραδείσου, τότε « ἔγνω » Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ» (2). Δεύτεροι γεγόνασι διάδοχοι τῆς ἀνθρώπων γενεᾶς Κάϊν καὶ Ἄβελ· [καὶ] Κάϊν ἀνθρωποκτόνος πρῶτος (3). Κατακλυσμὸς ὕστερον ἐπεχύθη, διὰ τὴν τῶν ἀνθρώπων πολλὴν πονηρίαν (4). Πῦρ οὐρανόθεν κατῆλθεν ἐπὶ Σοδομιτῶν, διὰ τὴν παρανομίαν (5). Ἐξελέξατο μετὰ χρόνους ὁ Θεὸς τὸν Ἰσραήλ· ἀλλὰ καὶ οὗτος διεστράφη, καὶ ἐτραυματίσθη τὸ γένος τὸ ἐκλεκτόν. Μωσῆς γὰρ ἐν ὄρει Θεῷ παρειστήκει, καὶ ἀντὶ Θεοῦ μόσχος ὑπὸ τοῦ λαοῦ προσεκυνεῖτο (6). Ἐπὶ τοῦ νομοθέτου Μωσέως τοῦ εἰπόντος, « Μὴ μοιχεύσῃς » (7), ἀνὴρ εἰς κάμινον εἰσελθὼν ἀκολασταίνειν ἐτόλμησεν (8). Ἀπεστάλησαν Προφῆται μετὰ Μωσέα θεραπεῦσαι τὸν Ἰσραήλ· ἀλλ' ἰατρεύοντες ἀπεκλαίοντο, μὴ περιγινόμενοι τοῦ πάθους, ὡς λέγειν αὐτῶν τινα· « Οἴ» μοι, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀν» θρώποις οὐχ ὑπάρχει » (9)· καὶ πάλιν· « Πάντες ἐξέκλιναν ἅμα » ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑ» νός » (10)· καὶ πάλιν· « Ἀρὰ, καὶ κλοπὴ, καὶ μοιχεία, καὶ φόνος » ἐκκέχυται ἐπὶ τῆς γῆς » (11)· « Τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυ» γατέρας αὐτῶν ἔθυσαν δαιμονίοις » (12)· οἰωνίζοντο, καὶ ἐφαρ-

(1) Σοφ. Σολομ. Β', 24.
(2) Γενέσ. Δ', 1.
(3) Αὐτόθ. 8, 9.
(4) Γενέσ. Ϛ', 13.
(5) Γενέσ. ΙΘ', 24—25.
(6) Ἐξόδ. ΛΒ', 1 κ' ἑπόμ.
(7) Ἐξόδ. Κ', 14.
(8) Ἀριθ. ΚΕ', 6—8.
(9) Μιχ. Ζ', 2.
(10) Ψαλμ. ΙΓ', 3.
(11) Ὡσηὲ Δ', 2.
(12) Ψαλμ. ΡΕ', 37.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μακεύοντο, καὶ ἐκληδονίζοντο. Καὶ πάλιν· « Τὰ ἱμάτια αὐτῶν δε-
» σμεύοντες σχοινίοις, παραπετάσματα ἐποίουν, ἐχόμενα τοῦ θυ-
» σιαστηρίου » (1).

δ'. Μέγιστον ἦν τὸ τραῦμα τῆς ἀνθρωπότητος, « Ἀπὸ ποδῶν
» ἕως κεφαλῆς, οὐκ ἦν ἐν αὐτῷ ὁλοκληρία· οὐκ ἦν μάλαγμα ἐπι-
» θεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους » (2). Εἶτα, οἱ προφῆται
ἀποκλαιόμενοι καὶ κάμνοντες, ἔλεγον· « Τίς δώσει ἐκ Σιὼν τὸ σω-
» τήριον; » (3)· καὶ πάλιν· « Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δε-
» ξιᾶς σου καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ· καὶ
» οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ » (4). Καὶ ἄλλος τῶν προφητῶν πα-
ρεκάλει λέγων· « Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι » (5). Ὑ-
περβαίνει τὴν ἡμετέραν ἰατρείαν τὰ τῆς ἀνθρωπότητος τραύματα·
« Τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέ-
» σκαψαν » (6)· ἀδιόρθωτον ἡμῖν τὸ κακὸν, σοῦ δεῖται διορθω-
τοῦ. Ἐπήκουσε τῆς δεήσεως τῶν προφητῶν ὁ Κύριος· ὁ Πατὴρ οὐχ
ὑπερεῖδεν ἡμῶν τὸ γένος ἀπολλυμένον· ἐξαπέστειλε τὸν Υἱὸν αὐ-
τοῦ τὸν Κύριον οὐρανόθεν ἰατρόν· καὶ λέγει τις τῶν προφητῶν·
« Κύριος ὃν ὑμεῖς ζητεῖτε, ἔρχεται » (7)· καὶ ἐξαίφνης ἥξει. Ποῦ;
εἰς τὸν ναὸν ἑαυτοῦ ὁ Κύριος, ἔνθα αὐτὸν ἐλιθάσατε (8). Εἶτα
τοῦτο ἀκούσας ἄλλος τῶν προφητῶν, λέγει πρὸς αὐτόν· Θεοῦ σωτη-
ρίαν λέγων, ἡσυχίᾳ λαλεῖς; Θεοῦ παρουσίαν πρὸς σωτηρίαν (9)
εὐαγγελιζόμενος, ἐν κρυπτῷ λαλεῖς; « Ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι
» ὁ εὐαγγελιζόμενος Σιών· εἰπὸν ταῖς πόλεσιν Ἰούδα » (10). Τί
εἴπω; « Ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται »
(11). Αὐτὸς πάλιν ὁ Κύριος εἴρηκεν· « Ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατα-

(1) Ἀμὼς Β', 8.
(2) Ἡσ. Α', 6.
(3) Ψαλμ. ΙΓ', 7.
(4) Ψαλμ. ΟΘ', 15.
(5) Ψαλμ. ΡΜΓ', 5.
(6) Γ'. Βασιλ. ΙΘ', 10.
(7) Μαλαχ. Γ', 1.
(8) Ἰωάν. Η', 59.
(9) Ἐκ τοῦ ΒΤ.— Μ, Θεοῦ παρουσίαν λέγων πρὸς σωτηρίαν κτλ.
(10) Ἡσ. Μ', 9.
(11) Αὐτ. 10ι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

»σκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος· καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον» (1). Ἰσραηλῖται τὴν δι' ἐμοῦ σωτηρίαν παρητήσαντο· «Ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη, καὶ τὰς γλώσσας» (2). « Εἰς γὰρ τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον » (3). Ἔρχῃ, καὶ τί χαρίζῃ τοῖς ἔθνεσιν; «*Ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη, καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον*». Ἐκ γὰρ τοῦ ἐμοῦ ἀγῶνος τοῦ ἐν τῷ σταυρῷ (4), σφραγῖδα βασιλικὴν ἑκάστῳ δίδωμι τῶν ἐμῶν στρατιωτῶν ἔχειν ἐπὶ μετώπου. Καὶ ἄλλος τῶν προφητῶν ἔλεγε· « Καὶ ἔκλινεν οὐρανούς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ » τοὺς πόδας αὐτοῦ » (5)· ἠγνοεῖτο γὰρ [ἀνθρώποις] ἡ ἐξ οὐρανῶν κατάβασις. Εἶτα Σολομὼν ἀκούων τοῦ πατρὸς αὐτοῦ Δαβὶδ ταῦτα λέγοντος, καὶ θαυμαστὸν οἶκον οἰκοδομήσας, καὶ προβλέπων τὸν εἰς αὐτὸν ἐρχόμενον, ἀποθαυμάζων λέγει· « Εἰ ἀληθῶς » κατοικήσει Θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς; » (6). Ναί, φησὶ (7) προλαβὼν ὁ Δαβὶδ ἐν τῷ ἐπιγεγραμμένῳ εἰς Σολομῶντα ψαλμῷ, ἐν ᾧ ἐστι· « [Καταβήσεται] ὡς ὑετὸς ἐπὶ πόκον » (8)· *ὑετὸς* μὲν, διὰ τὸ ἐπουράνιον· *ἐπὶ πόκον* δὲ, διὰ τὴν ἀνθρωπότητα. Ὑετὸς γὰρ ἐπὶ πόκον καταβαίνων, ἀψοφητὶ καταβαίνει· ὡς, ἀγνοουμένου [τοῦ] μυστηρίου τῆς γεννήσεως, τοὺς μάγους λέγειν· « Ποῦ » ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; » (9), καὶ τὸν Ἡρῴδην ταρασσόμενον ἐξετάζειν περὶ τοῦ γεγεννημένου καὶ λέγειν· « Ποῦ ὁ Χριστὸς γεννᾶται; » (10). Τίς ἐστιν οὗτος ὁ καταβαίνων; φησὶν ἐξῆς· « Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης, » γενεὰς γενεῶν » (11). Καὶ πάλιν ἄλλος τῶν προφητῶν λέγει·

(1) Ζαχαρ. Β', 10—11.
(2) Ἡσ. ΞϚ', 18—19.
(3) Ἰωάν. Α', 11
(4) Ἐκ τοῦ ΒΤ.— Μ, τοῦ ἐν τῷ σωτηρίῳ,
(5) Ψαλμ. ΙΖ', 10.
(6) Γ'. Βασιλ. Η', 27.
(7) Ἐκ τοῦ ΒΤ.— Μ, Καὶ φησὶ,
(8) Ψαλμ. ΟΑ', 6.
(9) Ματθ. Β', 2.
(10) Αὐτ. 4.
(11) Ψαλμ. ΟΑ', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Χαῖρε σφόδρα θύγατερ Σιών, κήρυσσε θύγατερ Ἱερουσαλήμ· » ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων » (1). Πολλοὶ βασιλεῖς· περὶ τίνος λέγεις, ὦ προφῆτα ; Δὸς ἡμῖν σημεῖον, ὃ μὴ ἔχουσιν [ἄλλοι] βασιλεῖς. Ἐὰν εἴπῃς πορφυροφόρον βασιλέα, προείληπται τὸ ἀξίωμα τοῦ σχήματος· ἐὰν εἴπῃς, ὑπὸ στρατιωτῶν δορυφορούμενον, καὶ ἐφ' ἅρμασι χρυσοκολλήτοις καθεζόμενον, προείληπται παρ' ἄλλων καὶ τοῦτο. Δὸς ἡμῖν σημεῖον ἰδιάζον τοῦ βασιλέως, οὗ τὴν παρουσίαν (2) καταγγέλλεις. Ὁ δὲ προφήτης ἀποκρίνεται, καὶ λέγει· « Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος » καὶ σώζων· αὐτὸς πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ » πῶλον νέον », οὐκ ἐπὶ ἅρμασιν. Ἔχεις μονογενὲς σημεῖον τοῦ παραγενομένου βασιλέως. Μόνος βασιλέων Ἰησοῦς, ἐπὶ πῶλον ἐκάθισεν ἀσαγῆ (3), μετ' εὐφημιῶν ὡς βασιλεὺς εἰς τὴν Ἱερουσαλὴμ εἰσερχόμενος. Καὶ τί ποιεῖ οὗτος ἐλθὼν ὁ βασιλεύς ; « Καὶ σὺ ἐν » αἵματι διαθήκης ἐξαπέστειλας [τοὺς] δεσμίους σου ἐκ λάκκου » οὐκ ἔχοντος ὕδωρ » (4). Ἀλλ' ἐνεχώρει μὲν, καὶ ἐπὶ πῶλον καθεσθῆναι· δὸς ἡμῖν σημεῖον μᾶλλον, ποῦ στήσεται ὁ εἰσερχόμενος βασιλεύς· καὶ τὸ σημεῖον μὴ μακρὰν δὸς τῆς πόλεως, ἵνα μὴ ἀγνοήσωμεν· ἐγγὺς δὲ ἡμῖν δὸς τὸ σημεῖον ὀφθαλμοφανὲς, ἵνα καὶ ἐν τῇ πόλει ὄντες τὸν τόπον θεωρήσωμεν. Ὁ δὲ προφήτης πάλιν ἀποκρίνεται λέγων· « Καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ » ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν, τὸ κατέναντι Ἱερου» σαλὴμ ἐξ ἀνατολῶν » (5). Ἆρ' οὐκ ἔνδον ἑστώς τις ἐπὶ τῆς πόλεως, θεωρεῖ τὸν τόπον ; Ἔχομεν δύο σημεῖα· καὶ τρίτον ἐπιθυμοῦμεν μαθεῖν. Εἰπὲ τί ποιεῖ παραγενόμενος ὁ Κύριος ; Φησὶν ἄλλος προφήτης· « Ἰδοὺ ὁ Θεὸς ἡμῶν »· καὶ ἑξῆς· « Αὐτὸς ἥξει » καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα » κωφῶν ἀκούσονται. Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρα» νὴ ἔσται γλῶσσα μογιλάλων » (6). Λεγέσθω δὲ ἡμῖν καὶ ἄλ-

(1) Ζαχ. Θ', 9.
(2) Ἐκ τοῦ ΒΤ. — Μ, βασιλείαν. (3) Λύτόθεν. — Μ, ἀσιγῇ,
(4) Ζαχαρ. Θ', 11.
(5) Ζαχαρ. ΙΔ', 4.
(6) Ἡσ. ΛΕ', 4—6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λη μαρτυρία. Κύριον λέγεις ἐρχόμενον, ὦ προφῆτα, σημεῖα δὲ ὅσα μηδέποτε γεγένηται ποιοῦντα· ποῖον σαρὲς καὶ ἕτερον λέγεις; « Αὐτὸς Κύριος εἰς κρίσιν ἔρχεται μετὰ τῶν πρεσβυτέρων τοῦ » λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ » (1). Σημεῖον ἐξαίρετον· Δεσπότης ὑπὸ δούλων πρεσβυτέρων κρινόμενος, καὶ ἀνεχόμενος.

ε. Ταῦτα ἀναγινώσκοντες Ἰουδαῖοι οὐκ ἀκούουσιν· ἔβυσαν γὰρ τὰ ὦτα τῆς καρδίας, ἵνα μὴ ἀκούσωσιν. Ἀλλ' ἡμεῖς πιστεύωμεν εἰς Ἰησοῦν Χριστὸν ἐν σαρκὶ παραγενόμενον καὶ ἐνανθρωπήσαντα· ἐπειδὴ ἄλλως οὐκ ἐχωροῦμεν. Ἐπειδὴ γὰρ ἡμεῖς, καθ' ὃ ἦν ἐκεῖνος, ἐμβλέπειν ἢ ἀπολαῦσαι οὐκ ἠδυνάμεθα, ἐγένετο ἐκεῖνος ὅπερ ἡμεῖς, ἵνα οὕτως ἀπολαῦσαι καταξιωθῶμεν. Εἰ γὰρ ἥλιον, τὸν ἐν τετάρτῃ ἡμέρᾳ γενόμενον, ἐντελῶς ἰδεῖν οὐ δυνάμεθα, Θεὸν ἆρα τὸν ἐκείνου ποιητὴν ἰδεῖν δυνάμεθα; Ἐν πυρὶ κατέβη ὁ Κύριος ἐπὶ ὄρους Σινᾶ, καὶ οὐκ ἤνεγκεν ὁ λαός, ἀλλ' « Εἶπαν πρὸς » Μωσῆν· λάλησον σὺ ἡμῖν καὶ ἀκουσόμεθα, καὶ μὴ λαλείτω πρὸς » ἡμᾶς ὁ Θεός, μή ποτε ἀποθάνωμεν » (2). Καὶ πάλιν· « Τίς γὰρ » πᾶσα σὰρξ, ἥτις ἤκουσε φωνὴν Θεοῦ ζῶντος, λαλοῦντος ἐκ μέ» σου τοῦ πυρὸς, καὶ ζήσεται; » (3). Εἰ τὸ ἀκοῦσαι φωνὴν Θεοῦ λαλοῦντος, θανάτου παραίτιον· τὸ αὐτὸν Θεὸν ἰδεῖν, πῶς οὐ θανάτου πρόξενον; Καὶ τί θαυμάζεις; καὶ Μωσῆς αὐτός φησιν· « Ἔκφοβός εἰμι καὶ ἔντρομος » (4). Τί οὖν ἤθελες; τὸν ἐλθόντα ἐπὶ σωτηρίᾳ, πρόξενον ἀπωλείας γενέσθαι διὰ τὸ μὴ φέρειν τοὺς ἀνθρώπους, ἢ συμμετρῆσαι τὴν χάριν; Δανιὴλ οὐκ ἤνεγκεν ὀπτασίαν ἀγγέλου· καὶ σὺ δεσπότου τῶν ἀγγέλων θέαν ἐγχωρεῖς; Γαβριὴλ ἐφάνη καὶ πέπτωκε Δανιήλ· καὶ ποταπὸς ἦν ὁ φαινόμενος, ἢ ποίῳ σχήματι; « Τὸ πρόσωπον αὐτοῦ ὡς ἀστραπὴ ἦν » · οὐχ ὡς ὁ ἥλιος· « Καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ, ὡσεὶ λαμπάδες πυρός » · οὐχ ὡς κάμινος (5) πυρός· « καὶ ἡ φωνὴ τῶν λόγων αὐτοῦ, ὡς φωνὴ ὄχλου » οὐχ ὡς δώδεκα λεγεώνων ἀγγέλων· καὶ ὅμως ἔπε-

(1) Ἡσ. Γ', 14.
(2) Ἐξόδ. Κ', 19.
(3) Δευτερον. Ε', 26.
(4) Πρὸς Ἑβρ. ΙΒ', 21.
(5) Ἐκ τῶν ΒΤ.— Μ, καμίνου

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σεν ὁ προφήτης· καὶ προσέρχεται [ὁ] ἄγγελος λέγων· « Μὴ φοβοῦ Δανιὴλ », ἀνάστηθι· εὔθυμος γενοῦ· εἰσηκούσθησαν οἱ λόγοι σου· καί φησιν ὁ Δανιήλ· « Ἀνέστην ἔντρομος », καὶ οὐδὲ οὕτως ἀπεκρίνατο, ἕως ὅτε ἥψατο αὐτοῦ ὁμοίωσις χειρὸς ἀνθρώπου. Καὶ ὅτε μετεβλήθη εἰς ὀπτασίαν ἀνθρώπου ὁ φανείς, τότε λαλεῖ ὁ Δανιήλ· καὶ τί φησι; « Κύριε ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός » μου ἐν ἐμοί· καὶ οὐ στήσεται ἐν ἐμοὶ ἰσχύς, καὶ πνοὴ οὐχ ὑπε» λείφθη ἐν ἐμοί. » (1). Εἰ ἄγγελος φαινόμενος ἐξεῖλε τὴν φωνὴν τοῦ προφήτου καὶ τὴν ἰσχύν, [τὸ] τὸν Θεὸν φανῆναι συνεχώρει τὴν πνοήν; καὶ ἕως ὅτου, λέγει ἡ Γραφή, *ἥψατό μου ὡς ὅρασις ἀνθρώπου*, οὐκ ἐθάρσησε Δανιήλ. Πείρας τοίνυν τῆς ἀσθενείας τῆς ἡμετέρας δειχθείσης, ἀνέλαβεν ὁ Κύριος τοῦτο, ὅπερ ἐπεζήτει ὁ ἄνθρωπος. Ἐπειδὴ γὰρ παρ' ὁμοιοπροσώπου ἐζήτει ἀκούειν ὁ ἄνθρωπος, ἀνέλαβε τὸ ὁμοιοπαθὲς ὁ Σωτήρ, ἵν' εὐμαρέστερον παιδευθῶσιν οἱ ἄνθρωποι.

ς'. Δέξαι δὲ καὶ ἄλλην αἰτίαν. Παρεγένετο Χριστὸς, ἵνα βαπτισθῇ, καὶ ἁγιάσῃ τὸ βάπτισμα· παρεγένετο, ἵνα θαυματουργήσῃ, *περιπατῶν ἐπὶ τῶν ὑδάτων τῆς θαλάσσης* (2). Ἐπεὶ οὖν πρὸ τῆς ἐνσάρκου παρουσίας, *ἡ θάλασσα εἶδε καὶ ἔφυγε, καὶ ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω* (3), ἀνέλαβε τὸ σῶμα ὁ Κύριος (4), ἵνα ἰδοῦσα ἡ θάλασσα ἀνάσχηται, καὶ ὁ Ἰορδάνης ἀφόβως αὐτὸν ὑποδέξηται· μία μὲν δὴ αὕτη αἰτία· ἔστι δὲ καὶ δευτέρα. Διὰ παρθένου τῆς Εὔας ἦλθεν ὁ θάνατος· ἔδει διὰ παρθένου, μᾶλλον δὲ ἐκ παρθένου, φανῆναι τὴν ζωήν· ἵνα ὥς περ ἐκείνην ὄφις ἠπάτησεν, οὕτω καὶ ταύτην Γαβριὴλ εὐαγγελίσηται. Καταλιπόντες ἄνθρωποι Θεὸν, ἐδημιούργησαν ἀνθρωπόμορφα ξόανα· ἀνθρωπομόρφου τοίνυν ὡς Θεοῦ ψευδῶς προσκυνουμένου, Θεὸς ἀληθῶς ἄνθρωπος ἐγένετο, ἵνα λυθῇ τὸ ψεῦδος. Ὀργάνῳ τῇ σαρκὶ καθ' ἡμῶν ἐκέχρητο ὁ διάβολος· καὶ τοῦτο γινώσκων ὁ Παῦλος λέγει· « Βλέπω δὲ ἕτερον νόμον » ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου,

(1) Δαν. Ι', 6 κ' ἑπόμ.
(2) Ματθ. ΙΔ', 25.
(3) Ψαλμ. ΡΙΓ', 3.
(4) Ἐκ τοῦ ΒΤ.— Μ. ὁ Ἰησοῦς ὁ Κύριος,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» καὶ αἰχμαλωτίζοντά με » (1), καὶ τὰ ἑξῆς. Δι' ὧν οὖν ὅπλων ὁ διάβολος ἡμᾶς κατηγωνίζετο, διὰ τούτων αὐτῶν ἐσώθημεν. Ἀνέλαβε τὸ ὅμοιον ἡμῶν ἐξ ἡμῶν ὁ Κύριος, ἵνα τὴν ἀνθρωπότητα σώσῃ. Ἀνέλαβε τὸ ὅμοιον ἡμῶν, ἵνα τῷ λείποντι μείζονα δῷ τὴν χάριν· ἵνα ἡ ἀνθρωπότης ἡ ἁμαρτωλὸς Θεοῦ γένηται κοινωνός· « Ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χά- » ρις » (2). Ἔδει παθεῖν ὑπὲρ ἡμῶν τὸν Κύριον· ἀλλ' οὐκ ἂν ἐτόλμησε προσελθεῖν ὁ διάβολος, εἰ ἤδει τοῦτον· « Εἰ γὰρ ἔ- » γνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν » (3). Δέλεαρ τοίνυν τοῦ θανάτου γέγονε τὸ σῶμα, ἵνα ἐλπίσας καταπιεῖν ὁ δράκων ἐξεμέσῃ καὶ τοὺς ἤδη καταποθέντας. « Κατέ- » πιε γὰρ ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δά- » κρυον ἀπὸ προσώπου παντός » (4). Μήτι μάτην Χριστὸς ἐνηνθρώπησε; μήτι εὑρεσιλογίαι εἰσὶν αἱ διδασκαλίαι, καὶ ἀνθρώ- πινα σοφίσματα; οὐχ αἱ θεῖαι Γραφαί εἰσιν ἡμῶν ἡ σωτηρία; οὐχὶ προφητῶν αἱ προρρήσεις; Τήρει τοίνυν ταύτην μοι τὴν πα- ρακαταθήκην ἄσειστον, καὶ μηδείς σε μετακινησάτω. Πίστευε Θεὸν ἄνθρωπον γενόμενον. Ἀλλ' ὅτι μὲν ἐνανθρωπῆσαι δυνατὸν ἦν, ἀ- ποδέδεικται· εἰ δὲ μᾶλλον ἀπιστοῦσιν Ἰουδαῖοι, προτείνωμεν αὐ- τοῖς· Τί ξένον καταγγέλλομεν (5), Θεὸν ἐνανθρωπῆσαι λέγοντες, ὑμῶν λεγόντων, ὅτι Ἀβραὰμ τὸν Κύριον ὑπεδέξατο (6); Τί ξέ- νον καταγγέλλομεν, τοῦ Ἰακὼβ λέγοντος· « Εἶδον γὰρ Θεόν, » πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή » (7); Ὁ παρὰ τῷ Ἀβραὰμ φαγὼν Κύριος καὶ παρ' ἡμῖν ἔφαγε· τί οὖν ξένον καταγγέλλομεν; Ἀλλὰ καὶ μάρτυρας δύο παρέχομεν, τοὺς ἐν ὄ- ρει Σινᾷ τῷ Κυρίῳ παραστάντας· Μωσῆς ἦν ἐν ὀπῇ τῆς πέτρας (8)·

---

(1) Πρὸς Ῥωμ. Ζ', 23.
(2) Αὐτόθ. Ε', 20.
(3) Α' πρὸς Κορινθ. Β', 8.
(4) Ἡσ. ΚΕ', 8.
(5) Ἐκ τοῦ ΒΤ. — Μ, καταγγέλλομεν αὐτοῖς,
(6) Γενέσ. ΙΗ', 3.
(7) Γενέσ. ΑΒ', 30.
(8) Ἐξόδ. ΑΓ', 22,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ Ἠλίας ἐν ὀπῇ τότε τῆς πέτρας (1). Ἐκεῖνοι μεταμορφουμένῳ συμπαρόντες ἐν ὄρει Θαβὼρ, ἔλεγον τοῖς μαθηταῖς τὴν ἔξοδον, « Ἦν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ » (2). Ἀλλ' ὅτι μὲν ἐνανθρωπῆσαι δυνατὸν ἦν, ἀποδέδεικται, καθὼς προεῖπον· καὶ καταλελείφθω τὸ λοιπὸν τῶν ἀποδείξεων τοῖς σπουδαίοις εἰς ἀνάλεξιν.

ζ'. Ἐπηγγείλατο δὲ ὑμῖν ὁ λόγος εὑρεῖν καὶ τὸν χρόνον [τῆς] ἐπιδημίας τοῦ Σωτῆρος, καὶ τὸν τόπον· καὶ δεῖ μὴ ψεύδους καταγνωσθέντας ἀναχωρεῖν, μᾶλλον δὲ τοὺς τῆς ἐκκλησίας νεήλυδας ἀσφαλισμένους ἀποπέμψαι. Ζητήσωμεν τοίνυν τὸν χρόνον πότε ὁ Κύριος παρεγένετο· ἐπειδὴ πρόσφατος ἡ παρουσία, καὶ ἀντιλέγεται· καὶ ἐπειδὴ « Χριστὸς Ἰησοῦς χθὲς καὶ σήμερον ὁ αὐτὸς ὢν » καὶ εἰς τοὺς αἰῶνας » (3). Μωσῆς τοίνυν λέγει ὁ προφήτης· « Προφήτην ἡμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, » ὡς ἐμέ » (4). Τετηρήσθω δὲ τέως τὸ ὡς ἐμὲ, ἐν οἰκείοις τόποις (5) ἐξεταζόμενον. Ἀλλὰ πότε ὁ προφήτης οὗτος ἔρχεται ὁ προσδοκώμενος ; Ἀνάδραμέ φησιν ἐπὶ τὰ ὑπ' ἐμοῦ γεγραμμένα· πολυπραγμόνησον τὴν τοῦ Ἰακὼβ τῷ Ἰούδᾳ ῥηθεῖσαν προφητείαν· « Ἰούδα, σὲ αἰνέσειαν οἱ ἀδελφοί σου », καὶ τὰ ἑξῆς, ἵνα μὴ ἅπαντα λέγωμεν· « Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος » ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς » προσδοκία » (οὐκ Ἰουδαίων, ἀλλὰ) « ἐθνῶν » (6). Σημεῖον οὖν ἔδωκε τῆς Χριστοῦ παρουσίας τὸ παύσασθαι τὴν ἀρχὴν τῶν Ἰουδαίων. Εἰ μὴ νῦν ὑπὸ Ῥωμαίους εἰσὶν, οὔπω ἦλθεν ὁ Χριστός· εἰ ἔχουσι τὸν ἐκ γένους Ἰούδα καὶ τοῦ Δαβὶδ, οὔπω ἦλθεν ὁ προσδοκώμενος· αἰσχύνομαι γὰρ λέγειν αὐτῶν τὰ πρόσφατα περὶ τῶν καλουμένων παρ' αὐτοῖς νῦν Πατριαρχῶν πράγματα, καὶ τί τὸ τούτων γένος, καὶ τίς ἡ μήτηρ· καταλιμπάνω δὲ τοῖς εἰδόσιν. Ἀλλ' οὗτος ὁ ἐρχόμενος προσδοκία ἐθνῶν, ποῖον πάλιν ἆρα ση-

(1) Γ'. Βασιλ. ΙΘ', 13.
(2) Λουκ. Θ', 30—31.
(3) Πρὸς Ἑβρ. ΙΓ', 8.
(4) Δευτερον. ΙΗ', 15· καὶ Πράξ. Ἀποστ. Ζ', 37.
(5) Μ, μετὰ συνδέσμου· ἐν οἰκείοις δὲ τόποις,
(6) Γενέσ. ΜΘ', 8 καὶ 10.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μεῖον ἔχει ; φησὶν ἐξῆς· « Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον (1) » αὐτοῦ » (2). Βλέπεις ἐκεῖνον τὸν πῶλον τὸν ὑπὸ τοῦ Ζαχαρίου (3) καταγγελθέντα σαφῶς ; Ἀλλὰ ζητεῖς πάλιν καὶ ἄλλην τοῦ χρόνου μαρτυρίαν ; « Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ· » ἐγὼ σήμερον γεγέννηκά σε » (4)· καὶ μετ' ὀλίγα· « Ποιμανεῖς « αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ » (5). Εἴρηταί μοι καὶ πρότερον, ὅτι ῥάβδος σιδηρᾶ καλεῖται σαφῶς ἡ Ῥωμαίων βασιλεία· περὶ δὲ ταύτης ἔτι τὸ λεῖπον ἀπὸ τοῦ Δανιὴλ ὑπομνήσωμεν. Διηγούμενος γὰρ καὶ συγκρίνων τῷ Ναβουχοδονόσορ τὴν εἰκόνα τοῦ ἀνδριάντος, λέγει καὶ τὴν περὶ αὐτοῦ πᾶσαν ὀπτασίαν· καὶ λίθον ἄνευ χειρῶν ἐξ ὄρους τμηθέντα, οὐκ ἐξ ἀνθρωπίνης κατασκευῆς συστάντα, περικρατήσειν τῆς οἰκουμένης ἁπάσης (6). Καὶ λευκότατά φησιν οὕτω· « Καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλειῶν ἐκείνων, ἀναστήσει ὁ » Θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τὸν αἰῶνα οὐ διαφθαρήσε- » ται· καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσε- ται » (7).

ἡ. Ἀλλ' ἔτι ζητοῦμεν λευκότερον τῆς παρουσίας τῶν χρόνων τὴν ἀπόδειξιν. Δύσπιστος γὰρ ὢν ὁ ἄνθρωπος, ἐὰν μὴ καὶ αὐτὰ τὰ ἔτη σαφῶς εἰς ψῆφον λάβῃ, τοῖς λεγομένοις οὐ πιστεύει. Τίς οὖν ὁ καιρὸς καὶ ποῖός ἐστιν ὁ χρόνος ; Ὅτε ἐκλειπόντων τῶν ἐξ Ἰούδα βασιλέων, λοιπὸν ἀλλόφυλος ὁ Ἡρώδης βασιλεύει. Λέγει τοίνυν ὁ πρὸς τὸν Δανιὴλ ὁμιλῶν ἄγγελος (σὺ δέ μοι νῦν σημείωσαι τὰ λεγόμενα)· « Καὶ γνώσῃ καὶ συνήσῃ· ἀπὸ ἐξόδου λόγου » τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομηθῆναι Ἱερουσαλὴμ, ἕως Χρι- » στοῦ ἡγουμένου, ἑβδομάδες ἑπτὰ, καὶ ἑβδομάδες ἑξήκοντα δύο » (8). Ἑξήκοντα τοίνυν καὶ ἐννέα ἑβδομάδες τῶν ἐτῶν, συνάγουσιν ἔτη τετρακόσια ὀγδοήκοντα τρία. Εἶπεν οὖν, ὅτι μετὰ

(1) Μ, τὴν ὄνον
(2) Γενέσ. ΜΘ', 11.
(3) Ζαχαρ. Θ', 9.
(4) Ψαλμ. Β', 7.
(5) Αὐτόθ. 9.
(6) Δαν. Β', 27, 43.
(7) Αὐτόθ. 44.
(8) Δαν. Θ', 25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ οἰκοδομηθῆναι Ἱερουσαλὴμ, τετρακοσίων ὀγδοήκοντα τριῶν ἐτῶν (1) διελθόντων, καὶ τῶν ἀρχόντων ἐκλιπόντων, τότε ἔρχεταί τις ἀλλόφυλος βασιλεὺς, ἐφ' οὗ γεννᾶται ὁ Χριστός. Δαρεῖος τοίνυν ὁ Μῆδος ᾠκοδόμησεν, ἕκτῳ μὲν ἔτει τῆς αὐτοῦ βασιλείας (2), πρώτῳ δὲ ἔτει τῆς καθ' Ἕλληνας ἑξηκοστῆς καὶ ἕκτης Ὀλυμπιάδος. Ὀλυμπιὰς δὲ παρ' Ἕλλησι καλεῖται ὁ κατὰ τέσσαρα ἔτη συντελούμενος ἀγὼν, διὰ τὴν κατὰ τετραετίαν τῶν τοῦ ἡλίου δρόμων, ἐκ τῶν κατ' ἔτος τριῶν ὡρῶν (3) συντελουμένην ἡμέραν. Ἡρώδης δὲ βασιλεύει ἐν τῇ ἑκατοστῇ ὀγδοηκοστῇ ἕκτῃ Ὀλυμπιάδι, τετάρτῳ ἔτει ταύτης· ἀπὸ τοίνυν [τῆς] ἑξηκοστῆς ἕκτης, εἰς τὴν ἑκατοστὴν ὀγδοηκοστὴν ἕκτην, γίνονται μεταξὺ ἑκατὸν εἴκοσιν Ὀυλμπιάδες, καὶ ὀλίγον τι. Συνάγονται τοίνυν τῶν ἑκατὸν εἴκοσιν Ὀλυμπιάδων ἔτη τετρακόσια ὀγδοήκοντα· τὰ γὰρ [ἕτερα] τρία ἔτη λοιπὸν, ἴσως ἐν τῷ μεταξὺ τοῦ πρώτου καὶ τοῦ τετάρτου ἀναλαμβάνεται. Καὶ ἔχεις τὴν ἀπόδειξιν, κατὰ τὴν Γραφὴν [τὴν] λέγουσαν· « Ἀπὸ ἐξόδου τοῦ λόγου τοῦ ἀποκριθῆ- » ναι, καὶ τοῦ οἰκοδομηθῆναι τὴν Ἱερουσαλὴμ, ἕως Χριστοῦ ἡ- » γουμένου, ἑβδομάδες ἑπτὰ, καὶ ἑβδομάδες ἑξήκοντα δύο » (4). Τῶν μὲν οὖν χρόνων ταύτην τέως ἔχεις τὴν ἀπόδειξιν, καὶ ἄλλων οὐσῶν ἑρμηνειῶν διαφόρων, περὶ τῶν προειρημένων ἐν τῷ Δανιὴλ ἑβδομάδων τῶν ἐτῶν. Ἐπαγγελίας δὲ (5) [τὸν τόπον λοιπὸν ἄκουε, Μιχαίου λέγοντος·] « Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, » μὴ ὀλιγοστὸς εἶ, τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι » ἐξελεύσεται ἡγούμενος, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ· » καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος » (6).

θ'. [Οὐμὴν ἀλλὰ] περὶ τῶν τόπων (7) Ἱεροσολυμίτης ὢν, προλαβὼν οἶδας καὶ τὸ ἐν ἑκατοστῷ τριακοστῷ πρώτῳ ψαλμῷ γεγραμμένον· « Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις

(1) Ἐκ τοῦ ΒΤ.—Μ. τετρακόσια ὀγδοήκοντα τρία ἐτῶν κλτ.
(2) Ὁ Ἱερεὺς Ζ', 5.
(3) Ἐκ τοῦ ΒΤ. —Μ, τριτῶν ὡρῶν.
(4) Δαν. Θ', 25.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, Ἐπαγγέλλει δὲ καὶ αὐτὸς τὸ, « Καὶ σὺ Βηθλεὲμ κτλ. (6) Μιχ. Ε'. 2.
(7) Ἐκ τοῦ ΒΤ. — Μ, Περὶ δὲ τῶν τόπων κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» τοῦ δρυμοῦ » (1). Πρὸ ὀλίγων γὰρ ἐτῶν δρυμώδης ἦν ὁ τόπος. Ἤκουσας πάλιν τοῦ Ἀββακοὺμ λέγοντος πρὸς τὸν Κύριον. « Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ· ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ » (2). Καὶ τί τὸ σημεῖόν ἐστιν, ὦ προφῆτα, τοῦ ἐρχομένου Κυρίου; Ὁ δέ φησιν ἑξῆς· « Ἐν μέσῳ δύο ζώων » γνωσθήσῃ »· τοῦτο πρὸς τὸν Κύριον λέγων σαφῶς, ὅτι παραγενόμενος ἔνσαρκος, ζῇς καὶ τελευτᾷς· καὶ ἀναστὰς ἐκ νεκρῶν, ζῇς πάλιν. Καὶ ἐκ ποίου μέρους τοῦ περὶ τὴν Ἱερουσαλὴμ ἔρχεται; ἐξ ἀνατολῶν, ἢ δυσμῶν, ἢ βοῤῥᾶ, ἢ νότου; εἰπὲ ἡμῖν ἀκριβῶς. Ὁ δὲ ἀποκρίνεται σαφέστατα, καί φησιν· « Ὁ Θεὸς ἀπὸ Θαιμὰν » ἥξει » (Θαιμὰν δὲ ἑρμηνεύεται νότος)· « καὶ ὁ ἅγιος ἐξ ὄρους » Φαρὰν κατασκίου, δασέος » (3)· ὅπερ συμφώνως εἶπεν ὁ ψαλμῳδός· « Εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ » (4). Λοιπὸν ζητοῦμεν ἐκ τίνος ἔρχεται, καὶ πῶς ἔρχεται; τοῦτο δὲ ἡμῖν Ἠσαΐας λέγει· « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται » υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ » (5). Καὶ ἀντιλέγουσιν Ἰουδαῖοι τούτοις· ἔθος γὰρ αὐτοῖς ἐστιν ἄνωθεν, τῇ ἀληθείᾳ κακῶς ἀντιπίπτειν· καὶ λέγουσιν [ὅτι] οὐ γέγραπται ἡ *παρθένος*, ἀλλ' ἡ νεᾶνις. Ἐγὼ δὲ τῷ λεχθέντι συμπεριφερόμενος, καὶ οὕτως εὑρίσκω τὴν ἀλήθειαν. Ἐρωτητέον γὰρ αὐτοὺς, παρθένος βιαζομένη, πότε βοᾷ, μετὰ τὴν φθορὰν, ἢ πρὸ τῆς φθορᾶς, ἐκκαλουμένη τοὺς βοηθούς; Ἐὰν τοίνυν ἀλλαχοῦ λέγῃ ἡ Γραφή· « Ἐβόησεν ἡ νεᾶνις, καὶ οὐκ ἦν ὁ βοηθῶν αὐτῇ » (6)· ἆρα οὐ περὶ παρθένου λέγει; Ἵνα δὲ σαφέστερον μάθῃς, ὅτι καὶ ἡ παρθένος ἐν τῇ θείᾳ Γραφῇ νεᾶνις καλεῖται, ἄκουε τοῦ βιβλίου τῶν Βασιλειῶν περὶ τῆς Ἀβισὰγ τῆς Σωμανίτιδος (7) λέγοντος· « Καὶ » ἦν ἡ νεᾶνις καλὴ σφόδρα » (8)· τὸ δὲ παρθένον αὐτὴν ἐκλεχθεῖσαν ἐνηνέχθαι πρὸς Δαβὶδ, ὡμολόγηται.

---

(1) Ψαλ. ΡΛΑ', 6.
(2) Προσευχ. Ἀββακοὺμ 2.
(3) Προσευχ. Ἀββακ. 3.
(4) Ψαλμ. ΡΛΑ', 6.
(5) Ἠσ. Ζ', 14.
(6) Δευτερον. ΚΒ', 27.
(7) Ἐν ἀμφοτέροις (ΒΤ. καὶ Μ) Ἀβισὰκ τῆς Σουναμίτιδος.
(8) Γ'. Βασιλ. Α', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ί. Ἀλλὰ λέγουσιν [οἱ] Ἰουδαῖοι πάλιν· τῷ Ἄχαζ ἐρρέθη τοῦτο περὶ Ἐζεκίου. Οὐκοῦν ἀνάγνωμεν τὴν Γραφήν· « Αἴτησαι σεαυτῷ » σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος » (1). Καὶ μάλιστα μὲν τὸ σημεῖον παράδοξον εἶναι ὀφείλει· σημεῖον γὰρ, τὸ *ὕδωρ τὸ ἐκ πέτρας* (2)· τὸ *ῥαγῆναι θάλασσαν* (3)· τὸ *ἥλιον ὑποστρέψαι* (4), καὶ τὰ τοιαῦτα. Τὰ δὲ λεχθησόμενα φανερώτερον ἔχει τὸν πρὸς Ἰουδαίους ἔλεγχον. Οἶδα πολλὰ λέγων, καὶ κεκμηκότας τοὺς ἀκροωμένους· ἀλλὰ ἀνέχεσθε τῶν λόγων τοῦ πλήθους, ἐπειδὴ διὰ Χριστὸν ταῦτα (5) κινεῖται, καὶ οὐκ ἔστι περὶ τῶν τυχόντων λόγων. Βασιλεύοντος τοίνυν τοῦ Ἄχαζ, τοῦ Ἡσαΐου τοῦτο εἰρηκότος· Ἓξ καὶ δέκα ἔτη τοῦ Ἄχαζ βασιλεύσαντος μόνα, καὶ τῆς πρὸς αὐτὸν προφητείας ἐν τούτοις ῥηθείσης, ἐλέγχει τὴν ἀντίῤῥησιν Ἰουδαίων ὁ διαδεξάμενος βασιλεὺς Ἐζεκίας ὁ τοῦ Ἄχαζ υἱός, ἐν τῷ βασιλεύειν ὢν ἐτῶν εἰκοσιπέντε (6). Τῆς προφητείας γὰρ ἐν ἑκκαίδεκα ἔτεσι περιληφθείσης, προγεννηθεὶς ἦν, ὑπὸ τοῦ Ἄχαζ, πρὸ τῆς προφητείας ἐννέα ἔτη. Τί τοίνυν περὶ τοῦ ἤδη γεννηθέντος καὶ πρὸ τῆς βασιλείας τοῦ Ἄχαζ πατρὸς, ἀναγκαῖον ἦν λέγειν τὴν προφητείαν; οὐ γὰρ εἶπεν ὅτι ἔλαβεν, ἀλλ' ὅτι *λήψεται ἡ παρθένος*, προγνωστικῶς εἰπών. Ἀλλ' ὅτι μὲν ἐκ παρθένου γεννᾶται ὁ Κύριος, σαφῶς ἔγνωμεν· ἐκ ποίου δὲ γένους ἦν ἡ παρθένος δεικτέον· « Ὤμοσε Κύριος τῷ » Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ἐκ καρποῦ τῆς » κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου » (7)· καὶ πάλιν « Θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ » (8)· καὶ ἐξῆς· « Ἅπαξ » ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι· τὸ σπέρμα αὐ» τοῦ εἰς τὸν αἰῶνα μενεῖ· καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναν-

(1) Ἡσ. Ζ', 14.
(2) Ἐξόδ. ΙΖ', 6.
(3) Αὐτόθ. Ιδ', 21—22.
(4) Δ' Βασιλ. Κ', 9—12.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, αὐτά
(6) Δ' Βασιλ. ΙΗ', 2.
(7) Ψαλμ. ΡΛΑ', 11.
(8) Ψαλ. ΠΗ', 30.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» τίον μου, καὶ ὡς σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα » (1). Ὁρᾷς ὅτι περὶ Χριστοῦ, καὶ οὐ περὶ Σολομῶντος ὁ λόγος· οὐ γὰρ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἔμεινεν. Εἰ δέ τις ἀντιλέγῃ, διὰ τὸ μὴ κεκαθηκέναι τὸν Χριστὸν ἐπὶ τὸν ξύλινον θρόνον τοῦ Δαβὶδ, προσοίσωμεν (2) ἐκεῖνο τὸ ῥητόν· « Ἐπὶ τῆς καθέδρας Μωσέως ἐκά-» θισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι » (3)· οὐ γὰρ τὴν ξυλίνην καθέδραν, ἀλλὰ τῆς διδασκαλίας σημαίνει τὴν ἐξουσίαν· οὕτως οὖν καὶ θρόνον Δαβὶδ μοι ζήτει (4), μὴ τὸν ξύλινον θρόνον, ἀλλὰ τὴν βασιλείαν αὐτήν. Καί μοι μάρτυρας λάβε τοὺς παῖδας τοὺς ἐπιφωνήσαντας· « Ὡσαννὰ τῷ υἱῷ Δαβὶδ, εὐλογημένος ὁ βασι-» λεὺς τοῦ Ἰσραήλ » (5). Καὶ οἱ τυφλοὶ δὲ λέγουσιν· « Υἱὲ Δα-» βὶδ, ἐλέησον ἡμᾶς » (6)· καὶ ὁ Γαβριὴλ μαρτυρεῖ σαφῶς πρὸς τὴν Μαριὰμ λέγων· « Καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον » Δαβὶδ τοῦ πατρὸς αὐτοῦ » (7)· καὶ ὁ Παῦλός φησι· « Μνημο-» νεύετε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος » Δαβὶδ, κατὰ τὸ εὐαγγέλιόν μου » (8)· καὶ ἐν ἀρχῇ τῆς πρὸς Ῥωμαίους φησί· « Τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρ-» κα » (9). Καταδέχου τοίνυν τὸν ἐκ Δαβὶδ γεγεννημένον, πειθόμενος τῇ προφητείᾳ τῇ λεγούσῃ· « Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐ-» κείνῃ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐ-» τῷ ἔθνη ἐλπιοῦσιν » (10).

ιά. Ἀλλὰ διαπονοῦνται οἱ Ἰουδαῖοι διὰ ταῦτα. Προῄδει καὶ τοῦτο Ἡσαΐας, λέγων· « Καὶ θελήσουσιν, εἰ ἐγένοντο πυρίκαυ-» στοι, ὅτι παιδίον ἐγεννήθη ἡμῖν »· (οὐ γὰρ αὐτοῖς) « Υἱὸς, καὶ » ἐδόθη ἡμῖν » (11). Σημείωσαι δὲ, ὅτι πρῶτον ἦν υἱὸς Θεοῦ, εἶ-

(1) Ψαλμ. ΠΗ', 36—37.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, προοίσωμεν.
(3) Ματθ. ΚΓ', 2.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, Δαβὶδ μὴ ζήτει,
(5) Ματθ. ΚΑ', 9· καὶ Ἰωάν. ΙΒ', 13.
(6) Ματθ. Θ', 27.
(7) Λουκ. Α', 32.
(8) Β'. πρὸς Τιμόθ. Β', 8.
(9) Πρὸς Ῥωμ. Α', 3.
(10) Ἡσ. ΙΑ', 10.
(11) Ἡσ. Θ', 5—6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τα ἐδόθη ἡμῖν. Καὶ μετ' ὀλίγα φησί· « Καὶ τῆς εἰρήνης αὐτοῦ » οὐκ ἔστιν ὅριον » (1). Ὅρια Ῥωμαίων ἐστί· τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ βασιλείας ὅριον οὐκ ἔστιν. Ὅρια Περσῶν καὶ Μήδων ἐστί· τοῦ δὲ Υἱοῦ ὅριον οὐκ ἔστιν. Εἶτα ἑξῆς· « Ἐπὶ τὸν θρόνον Δαβὶδ » καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτήν » (2). Ἐκ τοῦ Δαβὶδ τοίνυν ἦν ἡ ἁγία παρθένος. Ἔπρεπε γὰρ τῷ ἀγνοτάτῳ καὶ διδασκάλῳ τῆς ἁγνείας, ἐξ ἁγνῶν ἐξελήλυθέναι παστάδων. Εἰ γὰρ ὁ τῷ Ἰησοῦ καλῶς ἱερατεύων ἀπέχεται γυναικός, αὐτὸς ὁ Ἰησοῦς (3) πῶς ἔμελλεν ἐξ ἀνδρὸς καὶ γυναικὸς ἔρχεσθαι; « Ὅτι » σὺ εἶ, » φησὶν ἐν ψαλμοῖς, « ὁ ἐκσπάσας με ἐκ γαστρός » (4). Πρόσεχε ἀκριβῶς τῷ, *ὁ ἐκσπάσας με ἐκ γαστρὸς*, σημαίνοντι τὸ χωρὶς ἀνδρὸς, ἐκ παρθένου γαστρὸς καὶ σαρκὸς αὐτὸν ἐκσπασθέντα γεγεννῆσθαι· τῶν γὰρ ἀπὸ γαμικῆς ἀκολουθίας γεννωμένων ἕτερος ὁ τρόπος. Οὐκ ἐπαισχύνεται δὲ ἐκ μελῶν τοιούτων ἀναλαμβάνειν σάρκα ὁ τῶν μελῶν [αὐτῶν] πλάστης. Καὶ τίς ἄρα τοῦτο ἡμῖν φησι; Λέγει πρὸς Ἱερεμίαν ὁ Κύριος· « Πρὸ τοῦ με » πλάσαι σε, ἐκ κοιλίας ἐπίσταμαί σε· καὶ πρὸ τοῦ σε ἐξελθεῖν » ἐκ μήτρας, ἡγίασά σε » (5). Ὁ οὖν ἐν τῷ πλάττειν ἀνθρώπους ἐφαπτόμενος καὶ μὴ ἐπαισχυνόμενος, ἆρα ἐν τῷ πλάττεσθαι τὴν ἁγίαν σάρκα, τὸ καταπέτασμα τῆς θεότητος, δι' ἑαυτὸν ἐπῃσχύνετο; Θεός ἐστιν ὁ ἐν γαστρὶ καὶ μέχρι νῦν δημιουργῶν τὰ βρέφη, καθὼς ἐν τῷ Ἰὼβ γέγραπται· « Ἡ οὐχὶ ὡς περ γάλα με ἤ- » μελξας; ἐτύρωσας δέ με ἴσα τυρῷ; δέρμα καὶ κρέας με ἐνέδυ- » σας, ὀστέοις δὲ καὶ νεύροις ἔνειράς με » (6). Οὐδὲν μιαρόν ἐστιν ἐν ἀνθρωπίνῃ κατασκευῇ, ἐὰν μὴ μολύνῃ μοιχείαις καὶ ἀκολασίᾳ ταύτην. Ὁ πλάσας τὸν Ἀδὰμ, ἔπλασε καὶ τὴν Εὔαν· καὶ χερσὶ θείαις τὸ ἄρσεν καὶ τὸ θῆλυ πέπλασται. Οὐδὲν τῶν ἐν σώματι μελῶν ἐστι μιαρὸν ἐξ ἀρχῆς πλασθέν. Φιμούσθωσαν γὰρ οἱ αἱρε-

(1) Ἡσ. Θ', 7.
(2) Αὐτόθι.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, ὁ τῷ υἱῷ καλῶς .... γυναικὸς, αὐτὸς ὁ υἱὸς πῶς κτλ.
(4) Ψαλμ. ΚΑ', 10.
(5) Ἱερεμ. Α', 5.
(6) Ἰὼβ Ι', 10—11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τικοὶ πάντες οἱ κατηγοροῦντες τῶν σωμάτων, μᾶλλον δὲ αὐτοῦ τοῦ πλάσαντος. Ἡμεῖς δὲ μνημονεύωμεν (1) Παύλου λέγοντος· «Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύ»ματός ἐστι;» (2). Καὶ πάλιν ὁ προφήτης προείρηκεν ἐκ προσώπου Ἰησοῦ· «Σὰρξ μου ἐξ αὐτῶν» (3). Καὶ ἀλλαχοῦ γέγραπται· «Διὰ »τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης». Καὶ τί τὸ σημεῖον; ἐξῆς φησι· «Τέξεται, καὶ οἱ λοιποὶ τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέ»ψουσι» (4). Καὶ τίνα τὰ μνῆστρα τῆς παρθένου, τῆς ἁγίας νύμφης; «Καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει» (5)· καὶ Ἐλισάβετ λαλοῦσα πρὸς αὐτὴν ὁμοίως λέγει· «Καὶ μακαρία ἡ πιστεύ»σασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυ»ρίου» (6).

ιθ'. Ἀλλὰ διασύρουσιν ἡμᾶς Ἕλληνές τε καὶ Ἰουδαῖοι· καὶ φασὶν, ὅτι ἀδύνατον ἦν τὸν Χριστὸν ἐκ παρθένου γεννηθῆναι. Ἕλληνας μὲν ἐκ τῶν παρ' αὐτοῖς μύθων ἐπιστομίσωμεν. Οἱ γὰρ λέγοντες λίθους ῥιπτομένους εἰς ἀνθρώπους μεταβάλλεσθαι, πῶς τὸ παρθένον τεκεῖν, λέγετε ἀδύνατον εἶναι; Οἱ ἐξ ἐγκεφάλου θυγατέρα τετέχθαι μυθολογοῦντες, πῶς ἐκ παρθενικῆς γαστρὸς τετέχθαι υἱὸν λέγετε εἶναι ἀδύνατον; Οἱ ἐκ μηροῦ τοῦ παρ' ὑμῖν Διὸς κυοφορηθῆναι ψευδῶς λέγοντες Διόνυσον, πῶς ἀθετεῖτε τὸ ἡμέτερον ἀληθές; Οἶδα λέγων ἀνάξια τῆς παρούσης ἀκροάσεως· ἀλλ' ἵνα εὐκαίρως σὺ τοὺς Ἕλληνας ὠνειδίσῃς, ταῦτα προσηνέγκαμεν, ἐκ τῶν παρ' αὐτοῖς μύθων τὰ πρὸς αὐτοὺς λέγοντες. Πρὸς δὲ τοὺς ἐκ περιτομῆς, οὕτως ἀπάντησον ἐρωτήσας. Ποῖόν ἐστι δύσκολον, στεῖραν πρεσβῦτιν τῶν ἐθίμων ἐκλιπόντων τεκεῖν, ἢ παρθένον νεάζουσαν γεννῆσαι; Στεῖρα ἦν Σάῤῥα (7), καὶ ἐκλιπόντων τῶν γυναικείων (8), τέτοκε παρὰ φύσιν. Οὐκοῦν, εἰ τὸ στεῖ-

(1) Ἐκ τοῦ ΒΤ.—Μ, μνημονεύοντες
(2) Α' πρὸς Κορινθ. Γ', 19.
(3) Ὡσηὲ Θ', 12.
(4) Μιχ. Ε', 3.
(5) Ὡσηὲ Β', 20.
(6) Λουκ. Α', 45.
(7) Γενέσ. ΙΑ', 30.
(8) Γενέσ. ΙΗ', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ραν γεννῆσαι, παρὰ φύσιν· καὶ τὸ παρθένον γεννῆσαι. Ἢ τὰ δύο τοίνυν ἀθέτησον, ἢ τὰ δύο κατάδεξαι. Ὁ γὰρ Θεὸς αὐτός ἐστιν, ὁ κἀκεῖνα ποιήσας καὶ τοῦτο κατασκευάσας. Οὐ γὰρ τολμήσεις εἰπεῖν, ὅτι ἐκεῖ δυνατόν ἐστι Θεῷ, καὶ ὧδε ἀδύνατον. Καὶ πάλιν· ποία φύσις χεὶρ ἀνθρώπου μεταβληθῆναι ἐν μιᾷ ὥρᾳ πρὸς ἕτερον εἶδος, καὶ πάλιν ἀποκαταστῆναι ; πῶς τοίνυν ἡ Μωσέως χεὶρ ὡς χιὼν ἐλευκάνθη, καὶ ἅμα πάλιν ἀποκατεστάθη (1) ; Ἀλλὰ λέγεις (2) ὅτι Θεὸς θελήσας, μετέβαλεν. Ἐκεῖ Θεὸς θελήσας δύναται, καὶ ὧδε ἆρα οὐ δύναται ; Κἀκεῖνο σημεῖον (3) ἦν πρὸς Αἰγυπτίους μόνον, τοῦτο δὲ σημεῖον ἦν τῇ οἰκουμένῃ δωρούμενον. Ὦ Ἰουδαῖοι, ποῖον δέ ἐστι μᾶλλον δυσκολώτερον ; παρθένον γεννῆσαι, ἢ ῥάβδον εἰς ζῶον ψυχωθῆναι; Ὁμολογεῖτε ὅτι ἐπὶ Μωσέως, εὐθυτάτη ῥάβδος ὀφιοειδὴς γενομένη, φοβερὰ ἦν τῷ ῥίψαντι· καὶ ὁ πρὸ τούτου κατέχων τὴν ῥάβδον, ἔφυγε ταύτην ὡς δράκοντα (4)· δράκων γὰρ ἦν τῇ ἀληθείᾳ· ἔφυγε δὲ, οὐ φοβηθεὶς ἃ κατεῖχεν, ἀλλὰ ἀγωνιάσας τὸν μεταβεβληκότα. Ὀδόντας εἶχεν ἡ ῥάβδος καὶ δρακοντείους ὀφθαλμούς. Ἐκ ῥάβδου τοίνυν ὀφθαλμοὶ βλέποντες ἐκφύονται, καὶ ἐκ παρθενικῆς γαστρὸς παιδίον οὐ γεννᾶται, Θεοῦ θέλοντος ; Σιωπῶ γὰρ ὅτι καὶ ἡ ῥάβδος ἡ Ἀαρὼν, ὅπερ τὰ (5) λοιπὰ δένδρα δι' ἐνιαυτῶν ποιεῖ πλειόνων, τοῦτο διὰ μιᾶς νυκτὸς ἐποίησε (6). Τίς γὰρ οὐκ οἶδεν, ὅτι ῥάβδος ἀπολέσασα τὸν ῥλοιὸν, οὔτ' ἂν μεταξὺ ποταμῶν τεθῇ, φύσει ποτέ ; Ἀλλ' ἐπειδὴ Θεὸς οὐ φύσεσιν ἀκολουθεῖ δένδρων, ἀλλὰ φύσεώς ἐστι ποιητὴς, ἡ ἄκαρπος καὶ ξηρὰ καὶ ἄῤῥλοιος ῥάβδος ἤνθησε καὶ ἐβλάστησε, καὶ κάρυα ἐκαρποφόρησεν. Ὁ οὖν τῇ ῥάβδῳ, διὰ τὸν τυπικὸν ἀρχιερέα, καρπὸν ὑπὲρ φύσιν χαρισάμενος, ἆρα τῇ παρθένῳ, διὰ τὸν ἀληθινὸν ἀρχιερέα, τὸ τεκεῖν οὐκ ἐχαρίζετο ;

ιγ'. Καλὰ ταῦτα ὑπομνηστικὰ τῶν λόγων· ἀλλ' ἔτι ἀντιλέγουσιν Ἰουδαῖοι, καὶ οὐ πείθονται τοῖς περὶ ῥάβδου λόγοις, ἐὰν μὴ ὁ-

(1) Ἐξόδ. Δ', 6—7.
(2) Ἐκ τοῦ BT. — M, λέγει
(3) Αὐτόθεν — M, κἀκεῖνο μόνον σημεῖον ἦν πρὸς Αἰγυπτίους μόνον,
(4) Ἐξόδ. Δ', 3—4.
(5) Ἐκ τοῦ BT. — M, ὅπερ καὶ τὰ
(6) Ἀριθ. IZ', 8.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μοίοις παραδόξοις καὶ παρὰ φύσιν πεισθῶσι τοκετοῖς. Ἐξέτασον (1) τοίνυν αὐτοὺς οὕτως. Ἡ Εὔα ἐξ ἀρχῆς ἐκ τίνος ἐγεννήθη; ποία μήτηρ συνείληφεν ἐκείνην τὴν ἀμήτορα; λέγει δὲ ἡ Γραφὴ, ὅτι ἐκ πλευρᾶς γέγονε τοῦ Ἀδάμ (2). Ἆρα οὖν ἡ μὲν Εὔα ἐκ πλευρᾶς ἄρσενος χωρὶς μητρὸς γεννᾶται· ἐκ δὲ παρθενικῆς γαστρὸς, χωρὶς ἀνδρὸς παιδίον οὐ γεννᾶται; Ἐχρεωστεῖτο τοῖς ἀνδράσι παρὰ τοῦ θήλεος γένους ἡ χάρις. Ἡ γὰρ Εὔα ἐκ τοῦ Ἀδὰμ ἐγεννήθη, καὶ οὐκ ἐκ μητρὸς συλληφθεῖσα, ἀλλ' ἐκ μόνου τοῦ ἀνδρὸς ὥς περ ἀποτεχθεῖσα. Ἀπέδωκεν οὖν ἡ Μαρία τῆς χάριτος τὸ χρέος, οὐκ ἐξ ἀνδρὸς, ἀλλ' ἐξ αὐτῆς μόνης ἀχράντως, ἐκ Πνεύματος ἁγίου, δυνάμει Θεοῦ γεννήσασα. Λάβωμεν δὲ ἔτι τὸ τούτου μεῖζον. Τὸ μὲν γὰρ ἐκ σωμάτων σώματα γεννηθῆναι, εἰ καὶ παράδοξον, ἀλλ' ὅμως καὶ δυνατόν· τὸ δὲ, τὸν χοῦν τῆς γῆς ἄνθρωπον γενέσθαι, τοῦτο θαυμαστότερον. Τὸ, πηλὸν συγκεχυμένον ὀφθαλμῶν χιτῶνας λαβεῖν καὶ λαμπηδόνας, τοῦτο θαυμαστότερον. Τὸ, ἐκ μονοειδοῦς χοὸς γεννᾶσθαι καὶ ὀστέων καρτερότητα, καὶ πνεύμονος ἀπαλότητα, καὶ λοιπὰς διαφόρους ἰδέας μελῶν, τοῦτο θαυμαστόν. Τὸ, πηλὸν ψυχωθέντα περιέρχεσθαι τὴν οἰκουμένην αὐτοκινήτως, καὶ οἰκοδομεῖν, τοῦτο θαυμαστόν. Τὸ, πηλὸν διδάσκειν, καὶ λαλεῖν (3), καὶ τεκτονεύειν, καὶ βασιλεύειν, τοῦτο θαυμαστόν. Ὦ τοίνυν ἀμαθέστατοι Ἰουδαῖοι, πόθεν Ἀδὰμ ἐγένετο; οὐχ ὁ Θεὸς χοῦν λαβὼν ἀπὸ τῆς γῆς (4), ἔπλασε τὸ πλάσμα τοῦτο τὸ θαυμάσιον; Εἶτα, πηλὸς μὲν εἰς ὀφθαλμὸν μεταβάλλεται, καὶ παρθένος υἱὸν οὐ γεννᾷ; Τὸ ὡς ἐν ἀνθρώποις ἀδύνατον μᾶλλον γίνεται, καὶ τὸ ἐγχωροῦν ἄρα οὐ γίνεται;

ιδ'. Τούτων μνημονεύωμεν, ἀδελφοὶ· τοῖς ὀργάνοις τούτοις ἀμυντηρίοις χρησώμεθα. Μὴ ἀνεχώμεθα τῶν αἱρετικῶν, τῶν κατὰ φαντασίαν τὴν παρουσίαν διδασκόντων. Καταπτύσωμεν καὶ τῶν λεγόντων ἐξ ἀνδρὸς καὶ γυναικὸς εἶναι τὴν γέννησιν [τοῦ Σωτῆρος]· τῶν τολμησάντων εἰπεῖν, ὅτι ἦν ἐκ τοῦ Ἰωσὴφ καὶ τῆς Μαρίας,

(1) Ἐκ τοῦ ΒΤ. — Μ, Ἐξετάζω
(2) Γενέσ. Β', 22.
(3) Ἰὼβ ΑΗ', 14.
(4) Γενέσ. Β', 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διὰ τὸ γεγεγράφθαι· « Καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ » (1). Μνημονεύσωμεν γὰρ τοῦ Ἰακὼβ, τοῦ πρὶν λαβεῖν τὴν Ῥαχὴλ λέγοντος τῷ Λάβαν· « Ἀπόδος μοι τὴν γυναῖκά μου » (2). Ὡς περ γὰρ ἐκείνη πρὸ τῆς γαμικῆς καταστάσεως, τῷ μόνον ἐπαγγελίαν εἶναι, γυνὴ τοῦ Ἰακὼβ ὠνομάζετο· οὕτω καὶ ἡ Μαρία, τῷ μνηστευθῆναι, γυνὴ τοῦ Ἰωσὴφ ὠνομάζετο. Καὶ βλέπε τοῦ Εὐαγγελίου τὴν ἀκρίβειαν, λέγοντος (3)· « Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ, ἀπε- » στάλη ὁ ἄγγελος Γαβριὴλ ἀπὸ τοῦ Θεοῦ, εἰς πόλιν τῆς Γαλι- » λαίας ᾗ ὄνομα Ναζαρὲτ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρί, » ᾧ ὄνομα Ἰωσὴφ » (4), καὶ ἑξῆς. Καὶ πάλιν, ὅτε ἡ ἀπογραφὴ ἦν, καὶ ἀνέβη Ἰωσὴφ ἀπογράψασθαι, τί λέγει ἡ Γραφή; « Ἀνέβη δὲ » καὶ Ἰώσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ » μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ » (5)· ἔγκυος μὲν γὰρ ἦν. Οὐκ εἶπε δὲ ὅτι, τῇ γυναικὶ αὐτοῦ, ἀλλὰ, *τῇ μεμνηστευμένῃ αὐτῷ*. « Ἐξαπέστειλε γὰρ ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ,» φησὶν ὁ Παῦλος, οὐ γενόμενον ἐξ ἀνδρὸς καὶ γυναικὸς, ἀλλὰ « γενόμενον ἐκ γυναικὸς» μόνον, τοῦτ' ἔστιν ἐκ παρθένου (6). Τὸ γὰρ γυναῖκα καὶ τὴν παρθένον καλεῖσθαι, προαπεδείξαμεν. Ἐκ παρθένου γὰρ ἐγεννήθη ὁ παρθενοποιὸς τῶν ψυχῶν. Ἀλλὰ θαυμάζεις τὸ γενόμενον. Ἐθαύμαζε τοῦτο καὶ αὕτη ἡ γεννήσασα. Λέγει γὰρ πρὸς τὸν Γαβριὴλ, « Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;» (7)· ὁ δὲ φησι, « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψί- » στου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται » υἱὸς Θεοῦ» (8). Ἄχραντος καὶ ἀρρύπαρος ἡ γέννησις· ὅπου γὰρ πνεῖ Πνεῦμα ἅγιον, ἐκεῖ περιῄρηται πᾶς μολυσμός. Ἄρρυπος ἡ ἔνσαρκος γέννησις τοῦ μονογενοῦς ἐκ τῆς παρθένου. Κἂν ἀντιλέγωσιν οἱ αἱρετικοὶ πρὸς τὴν ἀλήθειαν, ἐλέγξει αὐτοὺς τὸ Πνεῦμα

(1) Ματθ. Α', 24.
(2) Γενέσ. ΚΘ', 21.
(3) Ἐκ τοῦ ΒΤ. — Μ, λέγουσαν·
(4) Λουκ. Α', 26.
(5) Λουκ. Β', 4—5.
(6) Πρὸς Γαλάτ. Δ', 4.
(7) Λουκ. Α', 34.
(8) Λουκ. Α', 35.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ ἅγιον· ἁγανακτήσει ἡ δύναμις τοῦ Ὑψίστου ἡ ἐπισκιάσασα· ἀντικαταστήσεται Γαβριὴλ ἀντιπρόσωπος ἐν ἡμέρᾳ κρίσεως· καταισχυνεῖ αὐτοὺς ὁ τῆς φάτνης τόπος, ὁ δεξάμενος τὸν δεσπότην (1). Ποιμένες (2) μαρτυρήσουσιν, οἱ τότε εὐαγγελισθέντες· καὶ ἡ στρατιὰ τῶν ἀγγέλων τῶν αἰνούντων καὶ ὑμνούντων, καὶ εἰπόντων· « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις » εὐδοκία » (3). Ὁ ναὸς, εἰς ὃν τότε ἀνηνέχθη τῇ τεσσαρακοστῇ ἡμέρᾳ (4)· τὰ ζεύγη τῶν τρυγόνων, τὰ ὑπὲρ αὐτοῦ προσενεχθέντα (5)· καὶ ὁ τότε ἐναγκαλισάμενος αὐτὸν Συμεὼν, καὶ ἡ παροῦσα προφῆτις Ἄννα (6). Θεοῦ τοίνυν μαρτυροῦντος, καὶ Πνεύματος ἁγίου συμμαρτυροῦντος, καὶ Χριστοῦ λέγοντος· « Τί με ζητεῖτε » ἀποκτεῖναι, ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; » (7)· ῥιμούσθωσαν οἱ αἱρετικοὶ, οἱ ἀντιλέγοντες τῇ ἀνθρωπότητι. Ἀντιλέγουσι γὰρ τῷ λέγοντι· « Ψηλαφήσατέ με, καὶ ἴδετε ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα » (8). Προσκυνείσθω ὁ ἐκ παρθένου γεννηθεὶς Κύριος, καὶ γνωριζέτωσαν αἱ παρθένοι τῆς οἰκείας πολιτείας τὸν στέφανον. Γνωριζέτω καὶ τῶν μοναζόντων τὸ τάγμα τῆς ἁγνείας τὸ ἐπίδοξον· οὐ γὰρ ἀπεστερήμεθα τοῦ τῆς ἁγνείας ἀξιώματος. Ἐν γαστρὶ μὲν παρθένου γέγονεν ὁ τοῦ Σωτῆρος ἐννεαμηνιαῖος χρόνος (9)· ἀνὴρ δὲ γέγονεν ὁ Κύριος τριάκοντα καὶ τρία ἔτη. Ὥστε εἰ σεμνύνεται παρθένος διὰ τὸν ἐννεαμηνιαῖον χρόνον, πολὺ μᾶλλον ἡμεῖς διὰ τὸ πολυετὲς τῶν χρόνων.

ιέ. Πάντες δὲ τὸν τῆς ἁγνείας δρόμον τοῦ Θεοῦ χάριτι δράμωμεν, «Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων» (10), οὐκ ἀκολασίας μετιόντες, ἀλλ' αἰνοῦντες τὸ ὄνομα τοῦ Χριστοῦ.

(1) Λουκ. Β', 7.
(2) Μ. ποιμένες γάρ
(3) Λουκ. Β', 14.
(4) Αὐτόθ. 22.
(5) Αὐτόθ. 24.
(6) Αὐτόθ. 29 καὶ 36.
(7) Ἰωάν. Ζ', 20, καὶ Η', 40.
(8) Δουκ. ΚΔ', 39.
(9) Μ, ἐνάρθρως· ὁ χρόνος.
(10) Ψαλμ. ΡΜΗ', 13.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μὴ ἀγνοήσωμεν τῆς ἀγνείας τὸ ἔνδοξον· ἀγγελικὸς γάρ ἐστιν ὁ στέφανος, καὶ ὑπὲρ ἄνθρωπον τὸ κατόρθωμα. Φεισώμεθα τῶν σωμάτων, τῶν μελλόντων λάμπειν ὡς ὁ ἥλιος (1). Μὴ διὰ μικρὰν ἡδονὴν, τὸ τηλικοῦτον καὶ τοσοῦτον σῶμα μολύνωμεν. Μικρὰ μὲν γὰρ καὶ πρὸς ὥραν ἡ ἁμαρτία, πολυετὴς δὲ καὶ αἰώνιος ἡ αἰσχύνη. Ἄγγελοι περιπατοῦντες ἐπὶ γῆς εἰσιν, οἱ τῆς ἀγνείας ἐργάται. Αἱ παρθένοι μετὰ Μαρίας τῆς παρθένου ἔχουσι τὸ μέρος. Ἐξοριζέσθω πᾶς καλλωπισμὸς, καὶ πᾶν ἀτηρὸν βλέμμα, καὶ πᾶς περίπατος περισεσυρμένος, καὶ πᾶσα στολὴ, καὶ θυμίαμα ἡδονῆς δελεαστικόν· θυμίαμα δὲ ἐν πᾶσιν ἔστω ἡ προσευχὴ (2) τῆς εὐωδίας, καὶ ἡ τῶν ἀγαθῶν πράξεων, καὶ ὁ τῶν σωμάτων ἁγιασμός· ἵνα ὁ ἐκ Παρθένου γεννηθεὶς Κύριος εἴπῃ καὶ περὶ (3) ἡμῶν ἀνδρῶν τε τῶν ἀγνευόντων, καὶ γυναικῶν τῶν στεφανουμένων· « Ἐνοικήσω » ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοί » ἔσονταί μοι λαός » (4)· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΓ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ ΣΤΑΥΡΩΘΕΝΤΑ ΚΑΙ ΤΑΦΕΝΤΑ· *καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· « Κύ-*
» ριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων
» Κυρίου τίνι ἀπεκαλύφθη; » κτλ. « Ὡς πρόβα-
» τον ἐπὶ σφαγὴν ἤχθη » κτλ. (5).

Α'. ΚΑΥΧΗΜΑ μὲν τῆς καθολικῆς Ἐκκλησίας πᾶσα πρᾶξις Χριστοῦ· καύχημα δὲ τῶν καυχημάτων ὁ σταυρός. Καὶ τοῦτο γινώσκων ὁ Παῦλός φησιν· « Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ » σταυρῷ τοῦ Χριστοῦ » (6). Θαυμαστὸν μὲν γὰρ ἦν τὸ καὶ

(1) Ματθ. ΙΓ', 43.
(2) Ψαλμ. ΡΜ', 2.
(3) Ἐκ τοῦ ΒΤ. — Μ, ὑπὲρ
(4) Β' πρὸς Κορινθ. Ϛ', 16. καὶ Λευϊτ. ΚϚ', 12.
(5) Ἡσ. ΝΓ', 1—7.
(6) Πρὸς Γαλάτ. Ϛ', 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τυφλὸν ἐκ γενετῆς ἐν τῷ Σιλωὰμ ἀναβλέψαι (1)· ἀλλὰ τί πρὸς τοὺς τυφλοὺς τῆς οἰκουμένης; Μέγα μὲν καὶ ὑπὲρ φύσιν τὸ τὸν Λάζαρον τετραήμερον ἀναστῆναι (2)· ἀλλὰ μέχρις ἐκείνου [μόνου] ἦν ἡ χάρις· τί δὲ πρὸς τοὺς ἐν τῇ οἰκουμένῃ ταῖς ἁμαρτίαις νενεκρωμένους (3); Θαυμαστὸν τὸ πηγάσαι τροφὴν πέντε ἄρτους εἰς τοὺς πεντακισχιλίους (4)· ἀλλὰ τί πρὸς τοὺς λιμώσσοντας ἐν ἀγνωσίᾳ κατὰ πᾶσαν τὴν οἰκουμένην (5); Θαυμαστὸν τὸ λυθῆναι τὴν δέκα καὶ ὀκτὼ ἔτη (6) δεδεμένην ὑπὸ τοῦ Σατανᾶ (7)· ἀλλὰ τί πρὸς ἡμᾶς [πάντας] τοὺς ταῖς σειραῖς τῶν ἁμαρτιῶν ἡμῶν καταδεδεμένους (8); Ὁ δὲ τοῦ σταυροῦ στέφανος ἐρωταγώγησε μὲν τοὺς ἐν ἀγνωσίᾳ τυφλοὺς, ἔλυσε δὲ πάντας τοὺς ὑπὸ τῆς ἁμαρτίας κατεχομένους, καὶ κόσμον ὅλον ἀνθρώπων ἐλυτρώσατο. Καὶ μὴ θαυμάσῃς εἰ κόσμος ὅλος ἐλυτρώθη. Οὐ γὰρ ἦν ἄνθρωπος ψιλὸς, ἀλλὰ υἱὸς Θεοῦ μονογενὴς, ὁ ὑπεραποθνήσκων. Καίτοιγε ἴσχυσεν ἑνὸς ἀνδρὸς τοῦ Ἀδὰμ ἡ ἁμαρτία θάνατον ἐνέγκαι τῷ κόσμῳ· « Εἰ δὲ τῷ παραπτώματι τοῦ ἑνὸς, θάνατος » ἐβασίλευσεν εἰς τὸν κόσμον » (9), πῶς οὐχὶ μᾶλλον τῇ δικαιοσύνῃ τοῦ ἑνὸς ἡ ζωὴ βασιλεύσει; Καὶ εἰ τότε διὰ τὸ ξύλον τῆς βρώσεως ἐξεβλήθησαν ἐκ παραδείσου (10), ἆρα, διὰ τὸ ξύλον Ἰησοῦ, νῦν εὐκοπώτερον οἱ πιστεύοντες εἰς παράδεισον οὐκ εἰσελεύσονται; Εἰ ὁ πρωτόπλαστος ἀπὸ γῆς ἤνεγκεν οἰκουμενικὸν θάνατον, ὁ πλάσας αὐτὸν ἀπὸ τῆς γῆς ἆρα οὐ φέρει ζωὴν αἰώνιον, αὐτὸς ὢν ἡ ζωή; (11) Εἰ Φινεὲς ζηλώσας, [καὶ ἀνελὼν] τὸν αἰσχροποιὸν, κατέπαυσε τοῦ Θεοῦ τὴν ὀργὴν (12), Ἰησοῦς οὐκ ἄλλον

(1) Ἰωάν. Θ', 7.
(2) Ἰωάν. ΙΑ', 39—44.
(3) Πρὸς Ἐφεσ. Β', 1.
(4) Ματθ. ΙΔ', 21.
(5) Ἀμὼς Η', 11.
(6) Ἐκ τοῦ ΒΤ. — Μ, τὴν ἔχουσαν δέκα καὶ ὀκτὼ ἔτη δεδεμένην κτλ.
(7) Λουκ. ΙΓ', 11—13.
(8) Παροιμ. Ε', 22.
(9) Πρὸς Ῥωμ. Ε', 17.
(10) Γενέσ. Γ', 22—23.
(11) Ἰωάν. ΙΔ', 6.
(12) Ἀριθ. ΚΕ', 7 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνελὼν, ἀλλ' ἑαυτὸν ἀντίλυτρον παραδοὺς (1), ἆρα τὴν ὀργὴν οὐ λύει τὴν κατὰ [τῶν] ἀνθρώπων;

6'. Μὴ τοίνυν ἐπαισχυνώμεθα τῷ σταυρῷ τοῦ Σωτῆρος, ἀλλὰ μᾶλλον ἐγκαυχώμεθα. Ὁ γὰρ λόγος τοῦ σταυροῦ, Ἰουδαίοις μέν ἐστι σκάνδαλον, ἔθνεσι δὲ μωρία, ἡμῖν δὲ σωτηρία. Καὶ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί· τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις Θεοῦ ἐστιν (2). Οὐ γὰρ ἦν ψιλὸς ἄνθρωπος, καθὼς εἴρηται, ὁ ὑπεραποθνήσκων, ἀλλὰ υἱὸς Θεοῦ, Θεὸς ἐνανθρωπήσας. Εἶτα, τὸ μὲν ἐπὶ Μωσέως πρόβατον μακρὰν ἀπήλασε τὸν ὀλεθρεύοντα (3)· τὸ δὲ τοῦ Θεοῦ πρόβατον, τὸ αἶρον τὴν ἁμαρτίαν τοῦ κόσμου (4), πολὺ μᾶλλον οὐκ ἠλευθέρου τῶν ἁμαρτιῶν; Ἀλλὰ τὸ μὲν αἷμα τοῦ ἀλόγου προβάτου τὴν σωτηρίαν παρεῖχε, τὸ δὲ τοῦ Μονογενοῦς πολὺ μᾶλλον οὐ σώζει; Εἴ τις ἀπιστεῖ τῇ δυνάμει τοῦ σταυρωθέντος, ἐξεταζέτω τοὺς δαίμονας· εἴ τις οὐ πιστεύει τοῖς λόγοις, πιστευέτω τοῖς φαινομένοις. Πολλοὶ κατὰ τὴν οἰκουμένην ἐσταυρώθησαν, ἀλλ' οὐδένα πτήσσουσιν οἱ δαίμονες· [τοῦ δὲ ὑπὲρ ἡμῶν σταυρωθέντος Χριστοῦ, καὶ τὸ σημεῖον ἰδόντες μόνον τοῦ σταυροῦ πτήσσουσιν οἱ δαίμονες] ἐπειδὴ, οἱ μὲν δι' οἰκείας ἁμαρτίας ἀπέθανον· ὁ δὲ ὑπὲρ ἁμαρτιῶν ἀλλοτρίων· « Ἁμαρτίαν γὰρ οὐκ ἐποίη-» σεν· οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμενος » οὐκ ἀντελοιδόρει » (5). Οὐ Πέτρος ἦν ὁ τοῦτο λέγων, ἐπεὶ ἂν ὑπωπτεύθη χαρίζεσθαι τῷ διδασκάλῳ· ἀλλ' Ἡσαΐας ἐστὶν ὁ λέγων, ὁ σαρκὶ μὲν μὴ συμπαρών, πνεύματι δὲ τὴν ἔνσαρκον ἐπιδημίαν προθεωρήσας. Καὶ τί μοι μάρτυρα νῦν φέρειν μόνον προφήτην; λάμβανε μάρτυρα Πιλάτον αὐτὸν τὸν καταδικάσαντα, λέγοντα· « Οὐδὲν αἴτιον εὑρίσκω ἐν τῷ ἀνθρώπῳ τούτῳ » (6). Διδοὺς δὲ τοῦτον ἔκδοτον, ἀπονιψάμενός τε τὰς χεῖρας, « Ἀθῷος, » φησὶν, εἰμὶ ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου » (7). Ἔστι

(1) Α' πρὸς Τιμοθ. Β', 6.
(2) Α' πρὸς Κορινθ. Α', 18, 23, 24.
(3) Ἐξόδ. ΙΒ', 23.
(4) Ἰωάν. Α', 29.
(5) Α' Πέτρ. Β', 22. — Ἡσ. ΝΓ', 9.
(6) Λουκ. ΚΓ', 4, 14.
(7) Ματθ. ΚΖ', 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἄλλος μάρτυς τῆς ἀναμαρτησίας τοῦ Ἰησοῦ, ὁ πρωτοστάτης τοῦ παραδείσου λῃστής, ἐπιτιμῶν τῷ πλησίον καὶ λέγων· « Ἡ-» μεῖς ἄξια ὧν ἐπράξαμεν ἀπολαμβάνομεν, οὗτος δὲ οὐδὲν κακὸν » ἐποίησε » (1)· παρῆμεν γὰρ ἐγώ τε καὶ σὺ τῇ κρίσει. Ἔπαθεν οὖν Ἰησοῦς κατὰ ἀλήθειαν ὑπὲρ πάντων ἀνθρώπων· οὐ γὰρ δόκησις ὁ σαυρὸς, ἐπεὶ δόκησις καὶ ἡ λύτρωσις (2). [Οὐ φαντασιώδης ὁ θά-νατος, ἐπεὶ καὶ μυθώδης ἡ σωτηρία.] Εἰ φαντασιώδης ὁ θάνατος, ἀληθεῖς οἱ λέγοντες· « Ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος ἔλεγεν » ἔτι ζῶν [, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι] » (3). Τὸ μὲν οὖν πάθος ἀληθές· ἀληθῶς γὰρ ἐσταυρώθη, καὶ οὐκ ἐπαισχυνόμεθα· ἐσταυ-ρώθη, καὶ οὐκ ἀρνούμεθα· ἀλλὰ μᾶλλον καυχῶμαι λέγων. Κἂν γὰρ ἀρνήσωμαι νῦν, ἐλέγχει με οὗτος ὁ Γολγοθᾶς, οὗ πλησίον νῦν πάν-τες πάρεσμεν. Ἐλέγχει με τοῦ σταυροῦ τὸ ξύλον, τὸ κατὰ μικρὸν ἐντεῦθεν πάσῃ τῇ οἰκουμένῃ λοιπὸν διαδοθέν. Ὁμολογῶ τὸν σταυρὸν, ἐπειδὴ οἶδα τὴν ἀνάστασιν. Εἰ γὰρ σταυρωθεὶς ἀπέμει-νεν, οὐκ ἂν ἴσως ὡμολόγησα· συνέκρυψα γὰρ τάχα ἐμῷ διδασκά-λῳ. Ἀναστάσεως δὲ τὸν σταυρὸν διαδεξαμένης, οὐκ ἐπαισχύνομαι διηγούμενος.

γ΄. Πᾶσι μὲν οὖν ὁμοίως ἔνσαρκος ὢν, ἐσταυρώθη· ἀλλ' οὐ διὰ τὰς ὁμοίας ἁμαρτίας. Οὐ γὰρ διὰ φιλοχρηματίαν ἦχθη εἰς θάνατον· ἀκτημοσύνης γὰρ ἦν διδάσκαλος. Οὐδὲ δι' ἐπιθυμίαν κατεδικά-σθη· αὐτὸς γὰρ λέγει σαρῶς· « Ὃς ἐὰν ἐμβλέψῃ γυναικὶ, πρὸς τὸ » ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν» (4). Οὐ κατὰ προπέτειαν πλήξας, ἢ τύψας· ἔστρεφε γὰρ καὶ τὴν ἄλλην σιαγόνα τῷ τύ-πτοντι (5). Οὐ τοῦ νόμου καταφρονήσας, ἦν γὰρ τοῦ νόμου πλη-ρωτής (6). Οὐ προφήτην λοιδορήσας, αὐτὸς γὰρ ἦν ὁ ὑπὸ τῶν προφητῶν κηρυσσόμενος (7). Οὐκ ἀποστερήσας μισθὸν, ἀμισθὶ γὰρ καὶ δωρεὰν ἐθεράπευεν. Οὐ λόγοις ἁμαρτῶν, οὐ πράξεσιν, οὐκ ἐν-

(1) Λουκ. ΚΓ΄, 41.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, οὐ δὲ δόκησις ἡ λύτρωσις.
(3) Ματθ. ΚΖ΄, 63.
(4) Ματθ. Ε΄, 28.
(5) Αὐτόθ. 39.
(6) Αὐτόθ. 17.
(7) Ἰωάν. Α΄. 19 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θυμήσεσιν· «Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει (1)· ὁ ἑλθὼν ἐπὶ τὸ πάθος, οὐκ ἄκων, ἀλλ' ἑκών. Κἄν τις παραιτούμενος εἴπῃ καὶ νῦν· « Ἵλεώς σοι Κύριε », λέξει (2) πάλιν· « Ὕπαγε ὀπίσω μου Σατανᾶ » (3). Καὶ θέλεις γε πεισθῆναι, ὅτι ἑκὼν ἦλθεν ἐπὶ τὸ πάθος; Οἱ λοιποὶ μὲν ἄκοντες ἀποθνήσκουσιν, οἱ ἀγνοοῦντες (4)· οὗτος δὲ προέλεγε περὶ τοῦ πάθους· «Ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὸ σταυρωθῆναι (5). Οἶδας δὲ διὰ τί τὸν θάνατον οὐκ ἔφυγεν ὁ φιλάνθρωπος; ἵνα μὴ ὅλως ταῖς ἁμαρτίαις ἀπολῆται ὁ κόσμος· «Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ υἱὸς τοῦ ἀνθρώπου, »καὶ σταυρωθήσεται » (6). Καὶ πάλιν· «Ἐστήριξε τὸ πρόσωπον »αὐτοῦ, εἰς Ἱερουσαλὴμ πορεύεσθαι » (7). Καὶ θέλεις γνῶναι σαφῶς, ὅτι δόξα ἐστὶ τῷ Ἰησοῦ ὁ σταυρός; αὐτοῦ ἄκουε λέγοντος, καὶ μὴ ἐμοῦ. Προεδίδου ὁ Ἰούδας ἀγνώμων γενόμενος πρὸς τὸν οἰκοδεσπότην· ἀρτίως ἐξελθὼν ἀπὸ τραπέζης, καὶ ποτήριον εὐλογίας πιὼν, ἀντὶ πόματος σωτηρίας, αἷμα δίκαιον ἐκχέαι ἤθελεν (8)· « Ὁ ἐσθίων ἄρτους αὐτοῦ, ἐμεγάλυνεν ἐπ' αὐτὸν πτερνισμόν » (9). Ἀρτίως αἱ χεῖρες τὰς εὐλογίας ἐδέχοντο, καὶ ἀρτίως διὰ τὸ ἀργύριον τῆς προδοσίας τὸν θάνατον κατεσκεύαζε. Καὶ ἐλεγχθεὶς, καὶ ἀκούσας τὸ, *Σὺ εἶπας* (10), πάλιν ἐξῆλθεν. Εἶτα ἔλεγεν ὁ Ἰησοῦς· « Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου » (11). Βλέπεις πῶς δόξαν οἰκείαν οἶδε τὸν σταυρόν; Εἶτα, Ἡσαΐας μὲν πρισθεὶς οὐκ αἰσχύνεται, Χριστὸς δὲ ὑπὲρ κόσμου τελευτῶν αἰσχυνθήσεται; *Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου.* Οὐχ ὅτι πρότερον οὐκ εἶχε τὴν δόξαν· δεδοξασμένος γὰρ ἦν τῇ δόξῃ τῇ *πρὸ καταβολῆς κόσμου* (12)· ἀλλ' ἐδοξάζετο μὲν ὡς

(1) Α' Πέτρ. Β', 22—23.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, λέγει.
(3) Ματθ. Ιϛ', 22—23.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ἢ ἀγνοοῦντες.
(5) Ματθ. Κϛ', 2.
(6) Ματθ. Κ', 18.
(7) Λουκ. Θ', 51.
(8) Ἐκ τοῦ ΒΤ. ἀντὶ τοῦ ἐν τῷ Μ, ἐκχέαι ἤλθεν.
(9) Ψαλμ. Μ', 10.
(10) Ματθ. Κϛ', 25.
(11) Ἰωάν. ΙΓ', 30—31.
(12) Ἰωάν. ΙΖ', 5, 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Θεὸς ἀεί· νῦν δὲ ἐδοξάζετο, τῆς ὑπομονῆς φορέσας τὸν στέφανον. Οὐκ ἀναγκαστῶς ἀφῆκε τὴν ζωὴν, οὐδὲ βιοσφαγῶς ἀνῃρέθη· ἀλλ' [ἑκουσίως.] Ἄκουε τί λέγει· « Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν » μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν » (1). Βουλόμενος, συγχωρῶ τοῖς ἐχθροῖς· εἰ γὰρ μὴ ἐβουλόμην, οὐκ ἐγίνετο. Ἦλθε τοίνυν ἐκ προαιρέσεως ἐπὶ τὸ πάθος, χαίρων ἐπὶ τῷ κατορθώματι, μειδιῶν ἐπὶ τῷ στεφάνῳ, εὐφραινόμενος ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ· οὐκ ἐπαισχυνόμενος τὸν σταυρὸν, ἔσωζε γὰρ τὴν οἰκουμένην. Οὐ γὰρ ἦν ἄνθρωπος εὐτελὴς ὁ πάσχων, ἀλλὰ Θεὸς ἐνανθρωπήσας, καὶ τὸν τῆς ὑπομονῆς ἀγωνιζόμενος ἆθλον.

δ'. Ἀλλ' ἀντιλέγουσιν οἱ Ἰουδαῖοι, οἱ πάντοτε εἰς ἀντίῤῥησιν ἕτοιμοι, καὶ ὀκνηροὶ πρὸς πίστιν· ὡς διὰ τοῦτο λέγειν νῦν τὸν ἀναγνωσθέντα προφήτην· « Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; » (2). Πέρσαι πιστεύουσι, καὶ Ἑβραῖοι οὐ πιστεύουσιν. « Ὄψονται, οἷς οὐκ » ἀνηγγέλη περὶ αὐτοῦ· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι » (3)· καὶ οἱ μελετῶντες, ἀθετήσουσιν ἃ μελετῶσιν. Ἀντιῤῥέγγονται πρὸς ἡμᾶς (4), καὶ ταῦτα λέγουσι. Κύριος ἄρα πάσχει; κατίσχυον γὰρ ἀνθρώπιναι χεῖρες τῆς κυριότητος; Ἀνάγνωτε τοὺς Θρήνους· θρηνῶν γὰρ ὑμᾶς (5), ἐν Θρήνοις τὰ ἄξια θρήνων ἔγραψεν Ἱερεμίας. Εἶδεν ὑμῶν τὴν ἀπώλειαν· ἐθεώρησε τὴν ἀπόπτωσιν· ἐθρήνει τὴν Ἱερουσαλὴμ τὴν τότε· ἡ νῦν μὲν γὰρ οὐ θρηνηθήσεται. Ἡ μὲν γὰρ ἐσταύρωσεν, ἡ δὲ νῦν προσκυνεῖ τὸν Χριστόν. Θρηνῶν τοίνυν λέγει· « Πνεῦμα προσώπου ἡμῶν Χριστὸς Κύριος, συνελήφθη ἐν ταῖς δια- » φθοραῖς ἡμῶν » (6). Μὴ τοίνυν ἐγὼ εὐρεσιλογῶ; ἰδοὺ μαρτυρεῖ Χριστὸν Κύριον ὑπὸ ἀνθρώπων συλλαμβανόμενον. Καὶ τί τὸ ἀπὸ τούτου ἀποβησόμενον; εἰπέ μοι, ὦ προφῆτα. Ὁ δέ φησιν· « Οὗ εἴ- » πομεν, ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν » (7). Οὐκ ἔτι γὰρ ἐν τῷ Ἰσραὴλ, ἀλλ' ἐν τοῖς ἔθνεσιν ἐμπολιτεύεσθαι τῆς ζωῆς αἰνίσσεται τὴν χάριν. Πολλῆς δὲ τῆς ἀντιῤῥήσεως ὑπ' αὐτῶν γενομένης, φέρε ταῖς ὑμετέραις εὐχαῖς, καθὼς ἂν ἐνδιδῷ τὸ βραχὺ

(1) Ἰωάν. Ι', 18. (2) Ἡσ. ΝΓ', 1.
(3) Πρὸς Ῥωμ. ΙΕ', 21. καὶ Ἡσ. ΝΒ', 15.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, πρὸς ὑμᾶς,
(5) Αὐτόθεν.—Μ, ὑμᾶς,
(6) Θρῆν. Δ', 20. (7) Θρῆν. Δ', 20.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς ὥρας, τῇ τοῦ Κυρίου χάριτι περὶ τοῦ πάθους μαρτυρίας ὀλίγας παραθώμεθα. Πάντα γάρ ἐστι τὰ περὶ Χριστοῦ ἔγγραφα, καὶ οὐδὲν ἀμφίβολον· οὐδὲν γὰρ ἀμάρτυρον. Πάντα ἐν στήλαις προφητικαῖς ἀναγέγραπται· οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐκ Πνεύματος ἁγίου γεγραμμένα σαφῶς. Ἐπεὶ οὖν ἤκουσας τοῦ Εὐαγγελίου τὰ περὶ τοῦ Ἰούδα λέγοντος, ἆρα οὐκ ὀφείλεις δέξασθαι τὴν μαρτυρίαν; Ἤκουσας ὅτι ἐνύγη λόγχῃ τὴν πλευράν (1)· οὐκ ὀφείλεις ἰδεῖν εἰ καὶ τοῦτο γέγραπται; Ἤκουσας ὅτι ἐν κήπῳ ἐσαυρώθη (2)· οὐκ ὀφείλεις ἰδεῖν εἰ καὶ τοῦτο γέγραπται; Ἤκουσας ὅτι τριάκοντα ἀργυρίοις ἐπράθη (3)· οὐκ ὀφείλεις μαθεῖν τὸν εἰπόντα τοῦτο προφήτην (4); Ἤκουσας ὅτι ἐποτίσθη ὄξος· μάθε καὶ τοῦτο ποῦ γέγραπται (5). Ἤκουσας ὅτι ἐν πέτρᾳ ἀπετέθη τὸ σῶμα, καὶ λίθος ἐπετέθη (6)· οὐκ ὀφείλεις λαβεῖν καὶ ταύτην ἐκ τοῦ προφήτου τὴν μαρτυρίαν; Ἤκουσας ὅτι λῃσταῖς συνεσταυρώθη (7)· οὐκ ὀφείλεις ἰδεῖν, εἰ καὶ τοῦτο γέγραπται; Ἤκουσας ὅτι ἐτάφη (8)· οὐκ ὀφείλεις ἰδεῖν, εἰ ἀσφαλῶς [που] τὰ περὶ ταφῆς ἀναγέγραπται; Ἤκουσας ὅτι ἀνέστη (9)· οὐκ ὀφείλεις ἰδεῖν, μὴ παίζομέν σε ταῦτα διδάσκοντες; « Ὁ γὰρ λόγος ἡμῶν καὶ τὸ κήρυγμα ἡμῶν, οὐκ ἐν » πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις» (10). Οὐ σοφιστικαὶ κατασκευαὶ κινοῦνται νῦν, ἐπεὶ διαλύονται· οὐ λόγοι λόγους (11) νικῶσιν, ἐπεὶ παραλύονται· ἀλλὰ *κηρύσσομεν Χριστὸν ἐσταυρωμένον* (12), ἐκ προφητῶν ἤδη τούτου προκηρυχθέντος. Σὺ δέ μοι δεξάμενος τὰς μαρτυρίας, ἐνσφράγισαι τῇ καρδίᾳ ταύτας. Πολλῶν δὲ οὐσῶν, καὶ τοῦ χρόνου λοιπὸν τῆς ὥρας εἰς ὀλίγον περιγραφομένου, ὀλίγας, ὡς ἐγχωρεῖ, τὰς κυριωτέρας ἄκουσον νῦν. Λαβὼν δὲ τὰς ἀφορμὰς, γενοῦ φιλόπονος καὶ ἐκζήτησον τὰς λειπούσας· « Μὴ γὰρ ἔστω σοι

(1) Ἰωάν. ΙΘ', 34.
(2) Αὐτ. 41.
(3) Ματθ. ΚΖ', 3, 9 καὶ 10.
(4) Ζαχαρ. ΙΑ', 12—13.
(5) Μάρκ. ΙΕ', 36.
(6) Ματθ. ΚΖ', 60.
(7) Αὐτόθ. 38.
(8) Αὐτόθ. 59—60.—Ἡσ. ΝΓ', 9.
(9) Δουκ. ΚΔ', 34.
(10) Α' πρὸς Κορινθ. Β', 4.
(11) Ἐκ τοῦ ΒΤ.—Μ, οὐ λόγοι λόγους
(12) Α' πρὸς Κορινθ. Α', 23.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ἡ χεὶρ μόνον ἐκτεταμένη εἰς τὸ λαβεῖν » (1), ἀλλὰ καὶ εἰς τὸ ἐργάζεσθαι ἕτοιμος. Πάντα Θεὸς χαρίζεται· « Εἰ γάρ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ, καὶ λήψεται» (2)· ὃς ταῖς ὑμετέραις (3) εὐχαῖς, καὶ ἡμῖν παράσχοιτο τοῖς λέγουσι τὸ εἰπεῖν (4), καὶ ὑμῖν τοῖς ἀκούουσι τὸ πιστεῦσαι.

ε'. Ζητείσθωσαν τοίνυν ἡμῖν αἱ περὶ τοῦ πάθους τοῦ Χριστοῦ μαρτυρίαι· συνεληλύθαμεν γὰρ, οὐ Γραφῶν ἐξήγησιν θεωρητικὴν ποιήσασθαι νῦν, ἀλλὰ πιστοποιηθῆναι μᾶλλον περὶ ὧν πεπιστεύκαμεν. Τῆς μὲν οὖν παρουσίας Ἰησοῦ πρῶτον ἐδέξω τὰς μαρτυρίας· καὶ ὅτι ἐπὶ θαλάσσης περιεπάτησεν· « Ἐν γὰρ θαλάσσῃ ἡ ὁδός » σου », γέγραπται (5)· καὶ περὶ διαφόρων ἰάσεων μαρτυρίαν ἔλαβες ἄλλοτε. Ἄρχομαι τοίνυν ὅθεν τὸ πάθος ἤρξατο. Ἰούδας ἦν ὁ προδότης, καὶ ἐλθὼν ἐξ ἐναντίας καὶ στὰς, εἰρηνικὰ λέγων (6) καὶ πολεμικὰ κατασκευάζων. Λέγει οὖν περὶ τούτου ὁ ψαλμῳδός· « Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίας μου ἤγγισαν καὶ » ἔστησαν» (7). Καὶ πάλιν· « Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ » ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες » (8)· *χαῖρε ῥαββὶ*, καὶ παρεδίδου τὸν διδάσκαλον εἰς θάνατον· οὐκ ᾔδεσθη τοῦ λέγοντος τὴν ὑπόμνησιν· « Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; » (9)· σχεδὸν γὰρ τοῦτο πρὸς αὐτὸν ἔλεγεν· Ὑπομνήσθητι τῆς σεαυτοῦ προσηγορίας· Ἰούδας καλεῖται *ἐξομολόγησις*· συνέθου, ἔλαβες τὸ ἀργύριον, ἐξομολόγησαι ταχέως· « Ὁ Θεὸς τὴν αἴνεσίν » μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ, καὶ στόμα δο» λίου ἐπ' ἐμὲ ἠνοίχθη· ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ » λόγοις μίσους ἐκύκλωσάν με » (10). Ὅτι δὲ (11) τινες καὶ ἀπὸ

(1) Σοφ. Σειρὰχ Δ', 31.
(2) Ἰακὼβ Α', 5.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, ἡμετέραις
(4) Αὐτοθεν.—Μ, ποιεῖν,
(5) Ψαλμ. Οτ', 20. Βλ. καὶ Ἰὼβ Θ', 8.
(6) Ψαλμ. ΛΔ', 20. Βλ. καὶ Ματθ. Κτ', 49.
(7) Ψαλμ. ΛΖ', 12.
(8) Ψαλμ. ΝΑ', 22.
(9) Λουκ. ΚΒ', 48.
(10) Ψαλμ. ΡΗ', 1—3.
(11) Ἐκ τοῦ ΒΤ.—Μ, Καὶ ὅτι δέ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀρχιερέων παρῆσαν (1), καὶ ὅτι πρὸ τῶν πυλῶν τῆς πόλεως ἦν τὰ δεσμὰ, ἤκουσας πρώην· εἴ γε μνημονεύεις τῆς ἐξηγήσεως, τὸν καιρὸν καὶ τὸν τόπον τοῦ ψαλμοῦ εἰρηκότος· ὅπως « Ἐπέστρεψαν » εἰς ἑσπέραν, καὶ ἐλίμωξαν ὡς κύνες, καὶ ἐκύκλωσαν πόλιν » (2). Ἄκουε καὶ διὰ τὰ τριάκοντα ἀργύρια· « Καὶ ἐρῶ πρὸς αὐ- » τούς· εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε [στήσαντες] τὸν μισθόν » μου, ἢ ἀπείπασθε » (3)· καὶ τὰ ἑξῆς. Ἄλλος μισθός μοι παρ' ἡ- μῶν χρεωστεῖται θεραπείας τυφλῶν καὶ χωλῶν, καὶ ἄλλον λαμ- βάνω· ἀντὶ μὲν εὐχαριστίας ἀτιμίαν· ἀντὶ δὲ προσκυνήσεως ὕβριν. Βλέπεις πῶς προεῖδεν ἡ Γραφὴ τὰ πράγματα; « Καὶ ἔστησαν τὸν » μισθόν μου τριάκοντα ἀργυροῦς » (4). Ὦ προφητικῆς ἀκριβείας· ὦ πολλῆς συνέσεως ἁπλανοῦς Πνεύματος ἁγίου· οὐ γὰρ δέκα εἶπεν, οὐδὲ εἴκοσιν, ἀλλὰ *τριάκοντα* ἀκριβῶς, καὶ ὅσα ἦν. Εἰπὲ, καὶ ποῦ προχωρεῖ τοῦτο τὸ τίμημα, ὦ προφῆτα; Ἆρα ὁ λαμβάνων κατέ- χει, ἢ ἀποδίδωσι; καὶ μετὰ τὸ ἀποδοῦναι, ποῦ προχωρεῖ; Λέγει τοίνυν ὁ προφήτης· « Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς, καὶ » ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου, εἰς τὸ χωνευτήριον » (5). Σύγκρινον τῇ προφητείᾳ τὸ Εὐαγγέλιον· « Μεταμεληθεὶς γὰρ, φησὶν, » Ἰούδας, καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησεν » (6).

σ'. Ἀλλ' ὧδέ μοι λοιπὸν τῆς δοκούσης ἀμφιβολίας ἡ ἀκρίβεια ζητεῖται. Οἱ γὰρ ἀθετοῦντες τοὺς προφήτας, λέγουσιν, ὅτι ὁ μὲν προφήτης λέγει· « Καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου, εἰς » τὸ χωνευτήριον » (7)· τὸ δὲ Εὐαγγέλιον· « Καὶ ἔδωκαν αὐτὰ » εἰς τὸν ἀγρὸν τοῦ κεραμέως » (8). Πῶς οἱ δύο τοίνυν ἀληθεύου- σιν; Ἄκουσον. Οἱ γὰρ δῆθεν εὐλαβεῖς (9) Ἰουδαῖοι, οἱ τότε ἀρχιε- ρεῖς, ἰδόντες τὸν Ἰούδαν μετανοήσαντα καὶ εἰπόντα· « Ἥμαρτον » παραδοὺς αἷμα ἀθῷον », φασί· « Τί πρὸς ἡμᾶς; σὺ ὄψει » (10).

(1) Ματθ. ΚΓ', 47.
(2) Ψαλμ. ΝΗ', 7 καὶ 15.
(3) Ζαχαρ. ΙΑ', 12.
(4) Αὐτόθι.
(5) Ζαχάρ. ΙΑ', 13.
(6) Ματθ. ΚΖ', 4—5.
(7) Ζαχαρ. ΙΑ', 13.
(8) Ματθ. ΚΖ', 10.
(9) Ἐκ τοῦ ΒΤ.—Μ, Οἱ γὰρ δῆθεν οἱ εὐλαβεῖς
(10) Ματθ. ΚΖ', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἆρα οὐδὲν πρὸς ὑμᾶς τοὺς σταυροῦντας; Ἀλλ' ὁ μὲν τοῦ φόνου τὸν μισθὸν λαβὼν καὶ ἀποδοὺς, ὄψεται· ὑμεῖς δὲ οἱ φονεύοντες οὐκ ὄψεσθε; Εἶτά φασι πρὸς ἑαυτούς· « Οὐκ ἔξεστι βαλεῖν » αὐτὰ εἰς [τὸν] κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν » (1). Ἐκ δὲ τοῦ στόματος ὑμῶν ἡ κατάκρισις. Εἰ μιαρὸς ὁ μισθὸς, μιαρὰ καὶ ἡ πρᾶξις· εἰ δὲ δικαιοσύνην πληροῖς σταυρῶν τὸν Χριστὸν, τί οὐ παραδέχῃ τὸν μισθόν; Ἀλλὰ τὸ ζητούμενον τοῦτό ἐστι, πῶς οὐ διαρωνοῦσι, τὸ μὲν Εὐαγγέλιον λέγον, *ἀγρὸν τοῦ κεραμέως*, ὁ δὲ προφήτης, *τὸ χωνευτήριον*. Ἀλλ' οὐ μόνον χρυσοχόων παῖδες ἔχουσι χωνευτήριον, οὐδὲ χαλκουργοὶ μόνον ἔχουσι χωνευτήριον, ἀλλὰ καὶ κεραμεῖς ἔχουσι πηλοῦ χωνευτήριον. Τὸ γὰρ λεπτὸν καὶ λιπαρὸν καὶ χρήσιμον τῆς γῆς ἐκ τῶν χαλίκων ἀποδιυλίζοντες, καὶ τὸ πολὺ τῆς συρρετώδους ὕλης ἀποχωρίζοντες, προχωνεύουσιν ὕδατι τὸν πηλὸν, εἰς ἀνεμπόδιστον ἐργασίαν τῶν κατασκευασθησομένων. Τί τοίνυν θαυμάζεις, εἰ τὸ μὲν Εὐαγγέλιον φανερῶς *τὸν ἀγρὸν τοῦ κεραμέως*, ὁ δὲ προφήτης αἰνιγματωδῶς εἶπε τὴν προφητείαν, αἰνιγματώδους οὔσης πολλαχοῦ τῆς προφητείας.

Ζ'. Ἔδησαν τὸν Ἰησοῦν, καὶ εἰσήνεγκαν εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως (2). Θέλεις δὲ γνῶναι καὶ εἰδέναι, ὅτι καὶ τοῦτο γέγραπται; φησὶν Ἡσαΐας· « Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται » βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· Δήσωμεν τὸν δίκαιον, » ὅτι δύσχρηστος ἡμῖν ἐστι » (3)· καὶ ἀληθῶς, *Οὐαὶ τῇ ψυχῇ αὐτῶν*· καὶ βλέπωμεν. Ἡσαΐας μὲν ἐπρίσθη, καὶ ἐθεραπεύθη μετὰ ταῦτα ὁ λαός. Ἱερεμίας εἰς βόρβορον λάκκου ἐνεβλήθη, ἀλλ' ἰάθη τῶν Ἰουδαίων τὸ τραῦμα· μικρότερον γὰρ ἦν, ἐπειδὴ εἰς ἄνθρωπον. Ἐπειδὴ δὲ οὐκ εἰς ἄνθρωπον, ἀλλ' εἰς Θεὸν ἐνανθρωπήσαντα ἥμαρτον Ἰουδαῖοι, *οὐαὶ τῇ ψυχῇ αὐτῶν. Δήσωμεν τὸν δίκαιον*· ἆρα οὐκ ἐδύνατο λῦσαι ἑαυτὸν, ἐρεῖ τις, ὁ λύσας ἐκ δεσμῶν θανάτου τετραήμερον Λάζαρον (4), καὶ Πέτρον ἐκ δεσμῶν σιδηρέων φυλακῆς λύσας (5); Ἕτοιμοι παρεστήκεισαν Ἄγγελοι, λέγοντες·

(1) Ματθ. ΚΖ', 6.
(2) Λουκ. ΚΒ', 1.
(3) Ἡσ. Γ', 9—10.
(4) Ἰωάν. ΙΑ', 39. 43—44.
(5) Πράξ. Ἀποστόλ. ΙΒ', 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

«Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν» (1)· ἀλλὰ ἀνέχονται, διὰ τὸ θέλειν ὑπομεῖναι τοῦτο τὸν δεσπότην. Πάλιν ἦχθη ἐπὶ πρεσβυτέρων εἰς κριτήριον. Ἔχεις ἤδη τὴν μαρτυρίαν· «Αὐτὸς Κύριος εἰς κρίσιν » ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων » αὐτοῦ» (2). Ἀλλ' ἐρωτήσας ὁ ἀρχιερεὺς, καὶ ἀκούσας τὴν ἀλήθειαν, ἀγανακτεῖ, καὶ κακὸς [κακῶν] ὑπηρέτης δίδωσι ῥάπισμα (3)· καὶ τὸ πρόσωπον τὸ λάμψαν ὡς ὁ ἥλιος, χερσὶν ἀνόμοις ραπιζόμενον ἠνέσχετο· καὶ ἄλλοι ἐλθόντες, ἐμπτύουσι τῷ προσώπῳ τοῦ διὰ πτυέλου (4) τὸν ἐκ γενετῆς τυφλὸν θεραπεύσαντος (5). «Ταῦτα » Κυρίῳ ἀνταποδίδοτε; οὗτος λαὸς μωρὸς, καὶ οὐχὶ σοφός» (6). Καὶ ὁ προφήτης ἀποθαυμάζων φησί· « Κύριε τίς ἐπίστευσε τῇ ἀ- » κοῇ ἡμῶν;» (7). Ἄπιστον γὰρ τὸ πρᾶγμα, εἰ Θεὸς (8), Θεοῦ υἱὸς καὶ βραχίων Κυρίου, ταῦτα ὑπομένει. Ἀλλ' ἵνα μὴ ἀπιστήσωσιν οἱ σωζόμενοι, προγράφει τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ προσώπου Χριστοῦ, λέγοντος· (αὐτὸς γὰρ ὁ τότε ταῦτα λαλῶν (9) ὕστερον παρῆν)· «Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας» (10). Πιλάτος γὰρ αὐτὸν ῥαγγελλώσας, παρέδωκεν εἰς τὸ σαυρωθῆναι (11)· «τὰς δὲ » σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρε- » ψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων» (12)· μονονουχὶ λέγων, προειδὼς ὅτι μέλλουσι τύπτειν, οὐδὲ ἐπλαγίασα τὴν σιαγόνα μου. Πῶς γὰρ ἔμελλον νευροῦν τοὺς μαθητὰς εἰς τὸν ὑπὲρ ἀληθείας θάνατον, εἰ αὐτὸς ἠγωνίων τοῦτο; Ἐγὼ ἔλεγον· « Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, » ἀπολέσει αὐτήν» (13)· εἰ ἐφιλοζώησα, πῶς ἐδίδασκον, μὴ πράττων

(1) Ψαλμ. Β', 3.
(2) Ἡσ. Γ', 14.
(3) Ματθ. ΚΣ', 65—68. καὶ Ἰωάν. ΙΗ', 22.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, πηλοῦ
(5) Ἰωάν. Θ', 6.
(6) Δευτερον. ΛΒ', 6.
(7) Ἡσ. ΝΓ', 1.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, Εἷς Θεός,
(9) Ἡσ. ΝΒ', 6.
(10) Ἡσ. Ν', 6.
(11) Μάρκ. ΙΕ', 15.
(12) Ἡσ. Ν', 6.
(13) Ἰωάν. ΙΒ', 25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ ἐδίδασκον; Πρῶτον οὖν αὐτὸς Θεὸς ὢν, ὑπὸ ἀνθρώπων ταῦτα πάσχων ἠνείχετο, ἵνα ἄνθρωποι ὑπὸ ἀνθρώπων μετὰ ταῦτα δι' αὐτὸν τοιαῦτα πάσχοντες, μὴ αἰσχυνθῶμεν. Βλέπεις ὅτι καὶ ταῦτα σαφῶς προέγραψαν οἱ προφῆται. Πολλὰς δὲ τῶν Γραφῶν μαρτυρίας διὰ τὸ τοῦ χρόνου στενὸν παρατρέχομεν, ὡς προεῖπον. Εἰ γὰρ πάντα ζητήσειέ τις ἀκριβῶς, οὐδὲν τῶν τοῦ Χριστοῦ πραγμάτων ἀμάρτυρον καταλειφθήσεται. Δεθεὶς ἦλθεν ἀπὸ τοῦ Καϊάφα πρὸς Πιλάτον (1)· ἆρα καὶ τοῦτο γέγραπται; «Καὶ δήσαντες αὐτὸν ἀ-» πήγαγον ξένια τῷ βασιλεῖ Ἰαρείμ.» (2).

ή. Ἀλλ' ὑποκρούει τις τῶν ὀξέως ἀκροωμένων. Πιλάτος οὐκ ἦν βασιλεύς, ἵνα τέως παραλίπωμεν τὰ πολλὰ τοῦ ζητήματος (3)· πῶς τοίνυν «δήσαντες αὐτὸν, ἀπήγαγον ξένια τῷ βασιλεῖ Ἰαρείμ.» (4); Ἀλλὰ ἀνάγνωθι τὸ εὐαγγέλιον· «Ἀκούσας Πιλάτος αὐτὸν εἶναι » ἀπὸ τῆς Γαλιλαίας, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην»(5)· Ἡρῴδης δὲ ἦν τότε βασιλεὺς, καὶ παρῆν ἐν Ἱεροσολύμοις. Καὶ βλέπε τοῦ προφήτου τὴν ἀκρίβειαν· *ξένια* γάρ φησιν αὐτὸν (6) ἀπεστάλθαι· «Ἐγένοντο γὰρ φίλοι ὅ,τε Πιλάτος καὶ ὁ Ἡρῴδης ἐν αὐτῇ » τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες» (7). Ἔπρεπε γὰρ τῷ μέλλοντι εἰρηνοποιεῖν τὴν γῆν καὶ τὸν οὐρανὸν (8), πρώτους αὐτοὺς τοὺς καταδικάζοντας εἰρηνοποιῆσαι· καὶ γὰρ παρῆν ὁ Κύριος αὐτὸς, « Ὁ διαλλάσσων καρδίας ἀρχόντων τῆς γῆς (9). Ἔχε τῶν προφητῶν τὴν ἀκρίβειαν, καὶ ἀληθῆ μαρτυρίαν. Θαύμασον τὸν κρινόμενον Κύριον· ἠνέσχετο ὑπὸ στρατιωτῶν ἀγόμενος καὶ φερόμενος (10). Πιλάτος ἐκαθέζετο κρίνων, καὶ ὁ ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμενος (11), ἑστὼς ἐκρίνετο (12). Ὁ λαὸς ὁ λυτρωθεὶς ὑπ' αὐ-

---

(1) Ματθ. ΚΖ', 2. καὶ Ἰωάν. ΙΗ', 24, 28.
(2) Ὡσηέ Ι', 6.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, τὰ πολλὰ ζητούμενα.
(4) Ὡσηέ Ι', 6.
(5) Λουκ. ΚΓ', 6—7.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, ξένια τοίνυν αὐτὸν, κτλ.
(7) Λουκ. ΚΓ', 12.
(8) Πρὸς Κολοσ. Α', 20.
(9) Ἰώβ ΙΒ', 24.
(10) Ματθ. ΚΖ', 27 κ' ἑπόμ.
(11) Ψαλμ. ΡΘ', 1.
(12) Ἐκ τοῦ ΒΤ.—Μ, ἑστὼς ἠνέσχετο.—Ματθ. ΚΖ', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ ἐκ γῆς Αἰγύπτου, καὶ ἀλλαχόθεν πολλάκις, κατ' αὐτοῦ ἐβόα· « Ἆρε, αἶρε, σταύρωσον αὐτόν» (1). Διὰ τί, ὦ Ἰουδαῖοι; ὅτι τοὺς τυφλοὺς ὑμῶν ἐθεράπευσεν; ἀλλ' ὅτι τοὺς χωλοὺς ὑμῶν περιπατεῖν ἐποίησε, καὶ τὰ λοιπὰ τῶν εὐεργεσιῶν παρέσχεν; ὡς, ἐκπλησσόμενον τὸν προφήτην, καὶ περὶ τούτου λέγειν· «Ἐπὶ τίνα ἠνοίξατε » τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν;» (2)· καὶ αὐτὸν τὸν Κύριον ἐν προφήταις λέγειν· «Ἐγεννήθη ἡ κλη- » ρονομία μου ἐμοί, ὡς λέων ἐν δρυμῷ· ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν » αὐτῆς· διὰ τοῦτο ἐμίσησα αὐτήν» (3). Οὐκ ἐγὼ παρῃτησάμην, ἀλλ' αὐτοί με παρῃτήσαντο. Διὰ τοῦτο ἀκολούθως λέγω (4)· « Ἐγ- » καταλέλοιπα τὸν οἶκόν μου» (5). Κρινόμενος ἐσιώπα, ὡς ὑπερπάσχειν τὸν Πιλάτον, καὶ λέγειν· «Οὐκ ἀκούεις τί οὗτοί σου καταμαρ- » τυροῦσιν;» (6)· οὐχ ὅτι ᾔδει τὸν κρινόμενον, ἀλλ' ἐροβήθη τὸ τῆς [ἑαυτοῦ] γυναικὸς ἐνύπνιον, τὸ ἀποσαλέν (7)· καὶ ὁ Ἰησοῦς ἐσιώπα· Λέγει ὁ ψαλμῳδός· «Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ » οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς» (8). Καὶ πάλιν· «Ἐγὼ » δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ» (9)· ἤκουσας τὰ περὶ τούτου καὶ πρότερον, εἴ γε μνημονεύεις.

θ'. Ἀλλ' οἱ στρατιῶται περιχυθέντες αὐτῷ καταπαίζουσι (10)· καὶ γίνεται παίγνιον αὐτοῖς ὁ Κύριος, καὶ καταπαίζεται ὁ Δεσπότης· «Εἴδοσάν με καὶ ἐσάλευσαν κεφαλὰς αὐτῶν» (11)· καὶ ὁ τύπος γίνεται τῆς βασιλείας· καταπαίζουσι μὲν γὰρ, γονυπετοῦσι δέ (12). Καὶ σταυροῦσι προενδύσαντες αὐτὸν πορφύραν στρατιῶται, καὶ στέφανον ἐπιτιθέασιν αὐτοῦ τῇ κεφαλῇ· τί γὰρ εἰ καὶ ἀκάνθινον (13); Πᾶς βασιλεὺς ὑπὸ στρατιωτῶν ἀναγορεύεται· ἔδει καὶ Ἰησοῦν τυ-

(1) Ἰωάν. ΙΘ', 15.
(2) Ἡσ. ΝΖ', 4.
(3) Ἱερεμ. ΙΒ', 8.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, λέγων·
(5) Ἱερεμ. ΙΒ', 7.
(6) Ματθ. ΚΖ', 13—Βλ. καὶ ΚϚ', 62—63.
(7) Ματθ. ΚΖ', 19.
(8) Ψαλμ. ΛΖ', 15.
(9) Αὐτόθ. 14.
(10) Ματθ. ΚΖ', 27. καὶ Λουκ. ΚΓ', 36.
(11) Ψαλμ. ΡΗ', 25. καὶ Θρῆν. Β', 15. καὶ Ματθ. ΚΖ', 39.
(12) Ματθ. ΚΖ', 29.
(13) Ἰωάν. ΙΘ', 2.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πικῶς ὑπὸ στρατιωτῶν στεφανωθῆναι· ὡς διὰ τοῦτο τὴν Γραφὴν ἐν Ἄσμασι λέγειν· « Ἐξέλθετε, καὶ ἴδετε θυγατέρες Ἱερουσαλὴμ ἐν » τῷ βασιλεῖ Σαλωμὼν, ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ » μήτηρ αὐτοῦ» (1). Μυστήριον δὲ ἦν καὶ ὁ στέφανος· λύσις γὰρ ἦν τῶν ἁμαρτιῶν, ἀπόλυσις τῆς ἀποφάσεως. Ἔλαβε καταδίκην ὁ Ἀδάμ· « Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἀκάνθας καὶ τρι- » βόλους ἀνατελεῖ σοι» (2). Διὰ τοῦτο Ἰησοῦς λαμβάνει τὰς ἀκάνθας, ἵνα λύσῃ τὴν καταδίκην· καὶ διὰ τοῦτο ἐτάφη ἐν τῇ γῇ, ἵνα ἡ κατηραμένη γῆ ἀντὶ κατάρας δέξηται εὐλογίαν. Κατὰ τὸν καιρὸν τῆς ἁμαρτίας, συκῆς φύλλα περιεβάλοντο· διὰ τοῦτο καὶ Ἰησοῦς τέλος σημείων τὴν συκῆν ἔδωκε. Μέλλων γὰρ εἰς τὸ πάθος χωρεῖν, καταρᾶται τὴν συκῆν· οὐ πᾶσαν συκῆν, ἀλλ' ἐκείνην μόνην διὰ τὸν τύπον, λέγων· « Μηκέτι ἐκ σοῦ καρπόν τις φάγῃ» (3). Λελύσθω ἡ καταδίκη. Καὶ ἐπειδὴ τότε συκῆς φύλλα περιεβάλοντο, ἦλθεν ἐν καιρῷ, ἐν ᾧ βρῶσις οὐχ εὑρίσκετο (4). Τίς οὐκ οἶδεν ὅτι ἐν καιρῷ χειμῶνος συκῆ οὐ καρποφορεῖ, ἀλλὰ φύλλα περίκειται μόνον; Ὅπερ πάντες ᾔδεισαν, τοῦτο Ἰησοῦς ἄρα οὐκ ᾔδει; ἀλλ' εἰδὼς, ἤρχετο ὡς ζητήσων· οὐκ ἀγνοῶν ὅτι οὐχ εὑρίσκει, ἀλλὰ τὸν τύπον τῆς κατάρας μέχρι τῶν φύλλων μόνον ποιούμενος. Καὶ ἐπειδὴ τῶν κατὰ παράδεισον ἡψάμεθα πραγμάτων, τεθαύμακα ἀληθῶς τὴν ἀλήθειαν τῶν τύπων. Ἐν παραδείσῳ ἡ ἀπόπτωσις, καὶ ἐν κήπῳ ἡ σωτηρία. Ἀπὸ ξύλου ἡ ἁμαρτία, καὶ μέχρι ξύλου (5) ἡ σωτηρία. Δειλινὸν, τοῦ Κυρίου περιπατοῦντος ἐκρύβησαν (6)· καὶ δειλινὸν, ὑπὸ τοῦ Κυρίου εἰς παράδεισον ὁ λῃστὴς εἰσάγεται (7).

ί. Ἀλλ' ἐρεῖ μοί τις· Εὑρεσιλογεῖς. Δεῖξόν μοι ἀπὸ προφήτου τοῦ σταυροῦ τὸ ξύλον· ἐὰν μὴ προφητείαν ἀπὸ προφήτου παράσχῃς, οὐ πείθομαι. Ἄκουε τοίνυν ἀπὸ Ἱερεμίου, καὶ πιστοποιοῦ.

(1) Ἄσμα Ἀσμάτ. Γ', 11.
(2) Γενέσ. Γ', 17.
(3) Μάρκ. ΙΑ', 14. καὶ Ματθ. ΚΑ', 19.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, οὐκ ἐγίνετο.
(5) Γραπτέον ἴσ. διὰ ξύλου
(6) Γενέσ. Γ', 8.
(7) Λουκ. ΚΓ', 43.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι· οὐκ ἔγνων (1); (οὕτω γὰρ ἀνάγνωθι ἐπερωτηματικῶς, ὡς εἶπον. Ὁ γὰρ λέγων, « Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ » ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι (2), ἆρ' οὐκ ᾔδει;) « Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων; » (3). Ποῖον ἀρνίον; Ἰωάννης ὁ βαπτιστὴς ἑρμηνευέτω, λέγων· « Ἴδε ὁ » ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου » (4). « Ἐπ' ἐμὲ » ἐλογίσαντο πονηρὸν λογισμόν, λέγοντες » (5). Ὁ τοὺς λογισμοὺς εἰδὼς, τὸ ἀποβησόμενον ἆρ' οὐκ ᾔδει; Καὶ τί ἔλεγον; « Δεῦτε » καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ » (6). Καὶ ἐάν σε ὁ Κύριος καταξιώσῃ, εἰς τὸ ἔμπροσθεν γνώσῃ, ὅτι τὸ σῶμα αὐτοῦ, κατὰ τὸ Εὐαγγέλιον, τύπον ἔφερεν ἄρτου· Δεῦτε τοίνυν, « ξύλον » ἐμβάλωμεν εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ » γῆς ζώντων » (7). Ζωὴ οὐκ ἐκτρίβεται· τί κάμνετε μάτην; « Καὶ » τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι » (8). Ματαία ἡ βουλὴ ὑμῶν· πρὸ γὰρ ἡλίου τὸ ὄνομα αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ μένει (9). Καὶ ὅτι γε ζωὴ ἦν ἡ ἐπὶ τοῦ ξύλου κρεμασθεῖσα, Μωσῆς ἀποκλαιόμενός φησι· « Καὶ ἔσται ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν » σου, καὶ φοβηθήσῃ ἡμέρας καὶ νυκτὸς, καὶ οὐ πιστεύσῃς τῇ ζωῇ » σου » (10). Καὶ τὸ ἀναγνωσθὲν ἀρτίως· « Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; » (11). Τοῦτον τὸν τύπον ἐπετέλει Μωσῆς σταυρῶν τὸν ὄφιν (12)· ἵν' ὁ δακνόμενος ὑπὸ τοῦ ζῶντος ὄφεως, καὶ βλέπων τὸν χαλκοῦν ὄφιν, σωθῇ πιστεύσας (13). Εἶτα, χαλκοῦς μὲν ὄφις ἐσαυ-

(1) Ἱερεμ. ΙΑ', 19.
(2) Ματθ. ΚΣ', 2.
(3) Ἱερεμ. ΙΑ', 19.
(4) Ἰωάν. Α', 29.
(5) Ἱερεμ. ΙΑ', 19.
(6) Αὐτόθι.
(7) Αὐτόθι.
(8) Αὐτόθι.
(9) Ψαλμ. ΟΑ', 17.
(10) Δευτερον. ΚΗ', 66.
(11) Ἡσ. ΝΓ', 1.
(12) Ἀριθ. ΚΑ', 9.
(13) Ἰωάν. Γ', 14—15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρωμένος σώζει, υἱὸς δὲ Θεοῦ σαρκωθεὶς ἐσταυρωμένος οὐ σώζει; Πάντοτε διὰ ξύλου ἡ ζωή. Ἐπὶ τοῦ Νῶε μὲν γὰρ διὰ κιβωτοῦ ξυλίνης ἡ ζωοποίησις (1). Ἡ δὲ θάλασσα ἐπὶ Μωσέως, τὸν τύπον τῆς ῥάβδου θεασαμένη, ἐδυσωπήθη τὸν κρούσαντα (2). Εἶτα, ἡ Μωσέως ῥάβδος ἰσχύει, καὶ ὁ τοῦ Σωτῆρος σταυρὸς ἀδυνατεῖ;

ιά. Παρίημι δὲ τὰ πολλὰ τῶν τύπων, συμμετρίας ἕνεκεν. Τὸ ξύλον ἐπὶ Μωσέως ἐγλύκανε τὸ ὕδωρ (3), καὶ ἐκ πλευρᾶς Ἰησοῦ τὸ ὕδωρ ἔῤῥευσεν ἐπὶ ξύλου (4). Ἀρχὴ σημείων ἐπὶ Μωσέως αἷμα καὶ ὕδωρ (5)· καὶ τὸ τελευταῖον πάντων τῶν σημείων Ἰησοῦ τὸ αὐτό (6). Πρῶτον Μωσῆς τὸν ποταμὸν μετέβαλεν εἰς αἷμα· καὶ ὁ Ἰησοῦς, τὸ τέλος, ὕδωρ ἐξήνεγκεν ἐκ πλευρᾶς μετὰ αἵματος· διὰ τὰς δύο φωνὰς ἴσως, τοῦ τε κρίνοντος καὶ τῶν ἐπιβοώντων· ἢ διὰ τοὺς πστεύοντας, καὶ τοὺς ἀπιστοῦντας. Ὁ μὲν γὰρ Πιλάτος ἔλεγεν, « Ἀθῷός εἰμι », καὶ ὕδατι ἀπενίπτετο τὰς χεῖρας (7)· οἱ δὲ ἐπιβοῶντες ἔλεγον, « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς » (8). Ἦν οὖν τὰ δύο ἐκ τῆς πλευρᾶς· τὸ ὕδωρ, ἴσως τῷ κρίνοντι· τοῖς δὲ ἐπιβοῶσι, τὸ αἷμα. Καὶ πάλιν ἄλλως νοητέον. Ἰουδαίοις μὲν τὸ αἷμα, Χριστιανοῖς δὲ τὸ ὕδωρ. Ἐκείνοις μὲν γὰρ, ὡς ἐπιβούλοις, ἡ ἐκ τοῦ αἵματος καταδίκη· σοὶ δὲ τῷ πιστεύοντι νῦν, ἡ διὰ ὕδατος σωτηρία· οὐδὲν γὰρ εἰκῇ γέγονεν. Ἀπέδωκαν οἱ ἐξηγηταὶ πατέρες ἡμῶν καὶ ἄλλην τοῦ πράγματος αἰτίαν. Ἐπειδὴ γὰρ διπλῆ τις ἐστὶ τοῦ σωτηρίου βαπτίσματος ἐν Εὐαγγελίοις ἡ δύναμις, μία μὲν ἡ τοῖς φωτιζομένοις δωρουμένη δι' ὕδατος· δευτέρα δὲ ἡ ἐπὶ τῶν ἁγίων μαρτύρων ἐν διωγμοῖς δι' οἰκείου αἵματος· ἐξῆλθεν ἐκ τῆς σωτηρίου πλευρᾶς αἷμα καὶ ὕδωρ, τῆς ὑπὲρ Χριστοῦ γινομένης ὁμολογίας ἔν τε φωτίσματι καὶ μαρτυρίου καιροῖς βεβαιοῦ-

(1) Γενές. Ζ', 23.
(2) Ἐξόδ. ΙΔ', 16, 21 κ' ἑπόμ.
(3) Ἐξόδ. ΙΕ', 25.
(4) Ἰωάν, ΙΘ', 34.
(5) Ἐξόδ. Ζ', 20 καὶ 21.
(6) Ἰωάν. ΙΘ', 34.
(7) Ματθ. ΚΖ', 24.
(8) Αὐτόθ. 25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σα (1) τὴν χάριν. Ἔστι καὶ ἄλλη τῆς πλευρᾶς αἰτία. Γυνὴ γέγονεν ἀρχηγὸς ἁμαρτίας, ἡ πλασθεῖσα ἐκ πλευρᾶς· ἀλλ' ὁ ἐλθὼν Ἰησοῦς ἀνδράσιν ὁμοῦ καὶ γυναιξὶ χαρίσασθαι τὴν ἀμνηστείαν, ἐνύγη τὴν πλευρὰν ὑπὲρ γυναικῶν, ἵνα λύσῃ τὴν ἁμαρτίαν. Καὶ εἴ τις ἐρευνήσειεν, εὑρήσει καὶ ἄλλας αἰτίας· ἀλλ' αὐτάρκη καὶ ταῦτα λέγεσθαι διὰ τὸ τοῦ καιροῦ στενόν, καὶ διὰ τὸ μὴ προσκορῆ [γενέσθαι] τὴν ἀκρόασιν τοῖς ἀκούουσι. Καίτοι γε οὐκ ἔστι ποτὲ καμεῖν ἀκούοντας τὰ περὶ τοῦ Δεσπότου στεφανουμένου, καὶ μάλιστα ἐν τῷ παναγίῳ τούτῳ Γολγοθᾷ. Ἄλλοι μὲν γὰρ ἀκούουσι μόνον, ἡμεῖς δὲ καὶ βλέπομεν, καὶ ψηλαφῶμεν. Μηδεὶς καμνέτω. Λάβε τὰ ὅπλα κατὰ τῶν ἐναντίων ὑπὲρ αὐτοῦ τοῦ σταυροῦ. Τρόπαιον στῆσον τὴν πίστιν τοῦ σταυροῦ κατὰ τῶν ἀντιλεγόντων. Ὅταν γὰρ μέλλῃς περὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ συζητεῖν πρὸς ἀπίστους, προαπόστειλον τῇ χειρὶ τὸ σημεῖον τοῦ σταυροῦ τοῦ Χριστοῦ, καὶ φιμοῦται ὁ ἀντιλέγων. Μὴ ἐπαισχυνθῇς τὸν σταυρὸν ὁμολογεῖν· ἄγγελοι γὰρ ἐγκαυχῶνται, λέγοντες· Οἴδαμεν τίνα ζητεῖτε· « Ἰησοῦν τὸν ἐσταυρωμένον » (2). Ἆρ' οὐ δύνασαι εἰπεῖν, ὦ ἄγγελε, οἶδα ὃν ζητεῖτε, τὸν ἐμὸν Δεσπότην; ἀλλ' ἐγὼ, φησὶ μετὰ παῤῥησίας, *οἶδα τὸν ἐσταυρωμένον*. Στέφανος γάρ ἐστιν ὁ σταυρὸς, οὐκ ἀτιμία.

ιϐ'. Ἡμεῖς δὲ λοιπὸν ἀναδράμωμεν ἐπὶ τὴν εἰρημένην ἐκ τῶν προφητῶν ἀπόδειξιν. Ἐσταυρώθη ὁ Κύριος, εἴληφας τὰς μαρτυρίας. Ὁρᾷς τοῦ Γολγοθὰ τὸν τόπον· ἐπιβοᾷς ἐπαίνῳ, ὡς συντιθέμενος. Βλέπε μή ποτε ἐν καιρῷ διωγμοῦ ἀρνήσῃ. Μὴ ἐν καιρῷ εἰρήνης ἐπευφραίνου τῷ σταυρῷ μόνον, ἀλλὰ καὶ ἐν καιρῷ διωγμοῦ τὴν αὐτὴν ἔχε πίστιν· μὴ ἐν καιρῷ εἰρήνης, Ἰησοῦ φίλος, καὶ ἐν καιρῷ πολέμων, ἐχθρός. Λαμβάνεις νῦν ἄφεσιν τῶν σῶν ἁμαρτημάτων, καὶ πνευματικῆς δωρεᾶς τοῦ βασιλέως τὰ χαρίσματα· ὅταν ἔλθῃ πόλεμος, ὑπεραγώνισαι γενναίως τοῦ σοῦ βασιλέως. Ἰησοῦς ἐσταυρώθη ὑπὲρ σοῦ ὁ ἀναμάρτητος, καὶ σὺ ὑπὲρ τοῦ σταυρωθέντος [ὑπὲρ σοῦ] οὐ σταυροῦσαι; Οὐ χάριν δίδως, προείληφας γάρ· ἀλλὰ χάριν ἀποδίδως, ἀποδιδοὺς τὸ χρέος τῷ ἐν τῷ

(1) Γραπτέον ἴσ. βεβαιοῦντα (2) Ματθ. ΚΗ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Γολγοθᾷ σταυρωθέντι διὰ σέ· Γολγοθᾶς δὲ ἑρμηνεύεται *Κρανίου τόπος* (1). Τίνες ἆρα, οἱ προφητικῶς τὸν τόπον τοῦ Γολγοθᾶ [τοῦτον] ὀνομάσαντες, ἐν ᾧ ἡ ἀληθὴς κεφαλὴ Χριστὸς τὸν σταυρὸν ὑπέμεινε; καθὼς ὁ Ἀπόστολός φησιν· « Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ » τοῦ ἀοράτου » (2). Καὶ μετ' ὀλίγα· « Καὶ αὐτός ἐστιν ἡ κε- » φαλὴ τοῦ σώματος, τῆς Ἐκκλησίας » (3). Καὶ πάλιν· « Παντὸς » ἀνδρὸς ἡ κεφαλή, ὁ Χριστός ἐστι » (4). Καὶ πάλιν· « Ὅς ἐστιν ἡ κε- » φαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας » (5). Ἡ κεφαλὴ ἐν τῷ τοῦ Κρανίου τόπῳ πέπονθεν· ὢ μεγάλης προφητικῆς ὀνομασίας! μονονουχὶ καὶ τῷ ὄνομα ὑπομιμνήσκει σε λέγων· Μὴ προσχῆς ὡς ψιλῷ ἀνθρώπῳ τῷ σταυρωθέντι· ἡ κεφαλὴ πάσης [ἀρχῆς] ἐστὶ [καὶ] ἐξουσίας· [κεφαλὴ μὲν πάσης ἐξουσίας] ἡ σταυρωθεῖσα· κεφαλὴν (6) δὲ ἔχουσα τὸν πατέρα. Κεφαλὴ γὰρ (7) τοῦ ἀνδρὸς ὁ Χριστός, κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ Θεός (8). Χριστὸς τοίνυν ὑπὲρ ἡμῶν ἐσταυρώθη, ὁ κριθεὶς ἐν νυκτί, ψύχους ὄντος, καὶ ἀνθρακιᾶς διὰ τοῦτο παρακειμένης (9). Ἐσταυρώθη τρίτην ὥραν (10)· ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἕως ἐννάτης (11)· ἀπὸ δὲ ἐννάτης πάλιν φῶς. Ἆρα καὶ ταῦτα γέγραπται; Ζητήσωμεν. Λέγει τοίνυν ὁ Ζαχαρίας· « Καὶ ἔσται, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψύχος καὶ πάγος ἔσται μίαν ἡμέραν (12) »· (τὸ ψύχος, διὸ Πέτρος ἐθερμαίνετο (13)·) « καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ » Κυρίῳ (14) ». Τί γάρ, τὰς ἄλλας οὐκ οἶδε; Πολλαὶ ἡμέραι, ἀλλ' « αὕτη ἡ ἡμέρα » τῆς ὑπομονῆς τοῦ Κυρίου « ἣν ἐποίησεν

(1) Ἰωάν. ΙΘ', 17.
(2) Πρὸς Κολοσ. Α', 15.
(3) Αὐτόθ. 18.
(4) Α' πρὸς Κορινθ. ΙΑ', 3.
(5) Πρὸς Κολοσ. Β', 10.
(6) Ἐκ τοῦ ΒΤ.—Μ. κεφαλὴ
(7) Αὐτόθεν—Μ, δὲ
(8) Α' πρὸς Κορινθ. ΙΔ', 3.
(9) Ἰωάν. ΙΗ', 18.
(10) Μάρκ. ΙΕ', 25.
(11) Ματθ. ΚΖ', 45.
(12) Ζαχαρ. ΙΔ', 6.
(13) Ἰωάν. ΙΗ', 18.
(14) Ζαχαρ. ΙΔ', 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ὁ Κύριος (1) ». « Καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ· καὶ » οὐχ ἡμέρα, καὶ οὐ νύξ» (2). Τί τὸ αἴνιγμα, ὃ λέγει ὁ προφήτης; Ἡ ἡμέρα ἐκείνη, οὔτε ἡμέρα ἐστὶν, οὔτε νύξ· τί οὖν αὐτὴν ὀνομάσομεν; Ἑρμηνεύει τὸ Εὐαγγέλιον, τὸ πρᾶγμα διηγούμενον· *οὐκ ἦν ἡμέρα· οὐ γὰρ ἐξ ἀνατολῆς ἐπὶ δύσιν ὁμοίως ἔλαμψεν ὁ ἥλιος*, ἀλλὰ ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης, σκότος ἐγένετο ἐν ἡμέρᾳ μέσῃ (3). Μεσέμβολον ἦν ἄρα τὸ σκότος· ὠνόμασε δὲ ὁ Θεὸς τὸ σκότος *νύκτα* (4). Διὰ τοῦτο, *οὔτε ἡμέρα ἦν, οὔτε νύξ* (5)· οὔτε γὰρ ὅλη φῶς ἦν, ἵνα κληθῇ ἡμέρα· οὔτε ὅλη σκότος, ἵνα κληθῇ νύξ· ἀλλὰ μετὰ τὴν ἐννάτην ἔλαμψεν ὁ ἥλιος. Προλέγει καὶ τοῦτο ὁ προφήτης· εἰπὼν γὰρ, « Καὶ οὐχ ἡμέρα, καὶ οὐ νὺξ », προσέθηκε· « Καὶ πρὸς ἑσπέραν ἔσται φῶς » (6). Βλέπεις προφητῶν ἀκρίβειαν; βλέπεις ἀλήθειαν τῶν προγεγραμμένων; Ἀλλὰ ζητεῖς σαφῶς κατὰ ποίαν ὁ ἥλιος ὥραν ἐξέλιπεν; ἆρα πέμπτην ὥραν, ἢ ὀγδόην, ἢ δεκάτην; Εἰπὲ τὴν ἀκρίβειαν Ἰουδαίοις τοῖς ἀνηκόοις, ὦ προφῆτα, πότε δύνει ὁ ἥλιος; Φησὶ τοίνυν Ἀμὼς ὁ προφήτης· « Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος ὁ Θεὸς, » δύσεται ὁ ἥλιος μεσημβρίας » (7)· (ἀπὸ γὰρ ὥρας ἕκτης σκότος ἐγένετο (8)·) « καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς » (9). Ποῖος καιρὸς, ὦ προφῆτα, οὗτος, καὶ ποία ἡμέρα; « Καὶ μετα- » στρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος» (10)· ἐν ἀζύμοις γὰρ ἦν τὸ πραχθὲν, καὶ τῇ τοῦ Πάσχα ἑορτῇ (11). Εἶθ' ἑξῆς φησι· « Καὶ » θήσομαι αὐτὸν ὡς πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέ- » ραν ὀδύνης » (12). [Ἐν] ἀζύμων γὰρ ἡμέρᾳ καὶ ἑορτῇ (13), αἱ

(1) Ψαλμ. ΡΙΖ', 24.
(2) Ζαχαρ. ΙΔ', 7.
(3) Ματθ. ΚΖ', 45.
(4) Γενέσ. Α', 5.
(5) Ζαχαρ. ΙΔ', 7.
(6) Αὐτόθι.
(7) Ἀμὼς Η', 9.
(8) Ματθ. ΚΖ', 45.
(9) Ἀμὼς Η', 9.
(10) Αὐτόθ. 10.
(11) Ματθ. ΚΣ', 2.—Μάρκ. ΙΔ', 1.—Λουκ. ΚΒ', 1.—Ἰωάν. ΙΘ', 14.
(12) Ἀμὼς Η', 10.
(13) Ἐκ τοῦ ΒΤ.—Μ, Ἀζύμων γὰρ ἦν ἡμέρα καὶ ἑορτὴ, αἱ μὲν κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν γυναῖκες αὐτῶν ἐκόπτοντο καὶ ἔκλαιον, ὠδυνῶντο δὲ ἀποκρυβέντες οἱ Ἀπόστολοι (1). Θαυμαστὸν μὲν οὖν τὸ προφητευθέν.

ιγ'. Ἀλλὰ δός μοι καὶ ἕτερον, ἐρεῖ τις [σημεῖον]. Ποῖόν ἐστι σημεῖον ἄλλο ἀκριβὲς ἐπὶ τῷ γεγενημένῳ; Ἐσταυρώθη ὁ Ἰησοῦς· μονοχίτων δὲ ἦν, καὶ ἐνὶ περιβολαίῳ κεχρημένος (2)· ἀλλ' οἱ στρατιῶται διεμερίσαντο τὸ περιβόλαιον, εἰς τέσσαρα σχισθέν· ὁ δὲ χιτὼν οὐκ ἐσχίσθη, εἰς οὐδὲν γὰρ ἔτι σχισθεὶς ἐχρησίμευσε· καὶ λαχμὸς περὶ τούτου γίνεται τοῖς στρατιώταις. Καὶ τὸ μὲν (3) μερίζονται, περὶ τούτου δὲ λαγχάνουσιν (4). Ἆρα καὶ τοῦτο γέγραπται; Οἴδασιν οἱ σπουδαῖοι τῆς Ἐκκλησίας ψαλμῳδοί, οἱ τὰς ἀγγελικὰς μιμούμενοι στρατιὰς, καὶ πάντοτε τὸν Θεὸν ἀνυμνοῦντες· οἱ καταξιούμενοι ψάλλειν ἐν τῷ Γολγοθᾷ [τούτῳ] καὶ λέγειν· « Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον » (5)· κλῆρος δὲ ἦν ὁ λαχμός. Πάλιν ἐπὶ Πιλάτου κριθεὶς, ἐφόρεσεν ἐρυθρά· ἐκεῖ γὰρ « Περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην » (6). Ἆρα καὶ τοῦτο γέγραπται; Λέγει ὁ Ἡσαΐας· « Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ » ἐκ Βοσόρ » (7) (Τίς οὗτος, ὁ κατὰ ἀτιμίαν φορῶν τὰ κόκκινα; ἡ γὰρ *Βοσὸρ* τοιαύτην τινὰ παρ' Ἑβραίοις ἔχει τὴν ἑρμηνείαν)· « Ἵνα τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; » (8). Ὁ δὲ ἀποκρίνεται καὶ λέγει· « Ὅλην τὴν » ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα » (9). Ἐξεπέτασεν ἐν σταυρῷ τὰς χεῖρας, ἵνα περιλάβῃ τῆς οἰκουμένης τὰ πέρατα· τῆς γὰρ γῆς τὸ μεσώτατον ὁ Γολγοθᾶς οὗτός ἐστιν. Οὐκ ἐμὸς ὁ λόγος, προφήτης ἐστὶν ὁ φήσας· « Εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς » (10). Ἐξέτεινεν ἀνθρωπίνας χεῖ-

(1) Λουκ. ΚΓ', 27.—Ἰωάν. Κ', 19.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, κεκρυμένος·
(3) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ τὸν μὲν
(4) Ἰωάν. ΙΘ', 23—24.
(5) Ψαλμ. ΚΑ', 19.
(6) Ματθ. ΚΖ', 28, καὶ 31.—Ἰωάν. ΙΘ', 2 καὶ 5.
(7) Ἡσ. ΞΓ', 1.
(8) Ἡσ. ΞΓ', 2.
(9) Ἡσ. ΞΕ', 2. — Πρὸς Ῥωμ. Ι', 21.
(10) Ψαλμ. ΟΓ', 12.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρας, ὁ ταῖς νοηταῖς αὐτοῦ χερσὶ στερεώσας τὸν οὐρανόν· καὶ προσεπάγησαν ἧλοις, ἵνα τῆς ἀνθρωποτητος τῷ ξύλῳ προσπαγείσης, τῆς βασταζούσης τῶν ἀνθρώπων τὰ ἁμαρτήματα, καὶ τελευτησάσης τῆς ἀνθρωποτήτος, συναποθάνῃ μὲν ἡ ἁμαρτία, ἡμεῖς δὲ ἀναστῶμεν ἐν δικαιοσύνῃ. Ἐπειδὴ γὰρ δι' ἑνὸς ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἑνὸς ἀνθρώπου ἡ ζωή (1)· δι' ἑνὸς δὲ ἀνθρώπου τοῦ Σωτῆρος, αὐτοπροαιρέτως τελευτῶντος. Μνημόνευε γὰρ τῶν εἰρημένων· « Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν » λαβεῖν αὐτήν » (2).

ιδ'. Ἀλλ' ὁ μὲν ταῦτα ὑπέμεινεν, ἐπὶ σωτηρίᾳ ἐλθὼν πάντων· ὁ δὲ λαὸς κακὴν ἀντιμισθίαν ἀπεδίδου. Λέγει ὁ Ἰησοῦς, *Διψῶ* (3), ὁ ἐξαγαγὼν αὐτοῖς ἐξ ἀκροτόμου τὰ ὕδατα πέτρας (4)· καὶ ᾔτει τὴν ἄμπελον, ἣν ἐφύτευσε, τοὺς καρποὺς (5). Ἀλλὰ τί ἡ ἄμπελος; ἡ κατὰ φύσιν μὲν ἐξ ἁγίων πατρῶν, κατὰ προαίρεσιν δὲ ἐκ Σοδόμων; « Ἡ γὰρ ἄμπελος αὐτῶν ἐκ Σοδόμων, καὶ ἡ κλημα» τὶς αὐτῶν ἐκ Γομόρρας » (6)· διψῶντι τῷ Κυρίῳ, σπόγγῳ πλησθέντι καὶ περιθέντι καλάμῳ, προσκομίζει τὸ ὄξος (7)· « Καὶ ἔ» δωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν » με ὄξος» (8). Βλέπεις λευκότητα προαγορεύσεως τῶν προφητῶν. Ποίαν δὲ χολὴν ἔδωκαν εἰς τὸ στόμα μου; « Ἔδωκαν αὐτῷ, φησὶν, ἐσμυρνισμένον οἶνον » (9)· χολώδης δὲ καὶ κατάπικρος ἡ σμύρνα. « Ταῦτα τῷ Κυρίῳ ἀνταποδίδοτε;» (10)· ταῦτα προσφέρεις ἡ ἄμπελος τῷ Δεσπότῃ; Δικαίως προαπεθρήνει ὑμᾶς Ἡσαΐας λέγων· « Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι» (11). Καὶ ἵνα μὴ πάντα λέγωμεν· «Ἔρεινα [φησὶν], ἵνα

(1) Πρὸς Ῥωμ. Ε', 12 κ' ἑπόμ. καὶ Α' πρὸς Κορινθ. ΙΕ', 21.
(2) Ἰωάν. Ι', 18.
(3) Ἰωάν. ΙΘ', 28.
(4) Δευτερονομ. Η', 15.
(5) Ἱερεμ. Β', 21.
(6) Δευτερονομ. ΛΒ', 32.
(7) Ἰωάν. ΙΘ', 29.
(8) Ψαλμ. ΞΗ', 22.
(9) Μάρκ. ΙΕ', 23.
(10) Δευτερονομ. ΛΒ', 6.
(11) Ἡσ. Ε', 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ποιήσῃ σαφυλήν» (1)· ἐδίψησα, ἵνα δῷ οἶνον· «Αὐτὸς δὲ ἐποίη-» σεν ἀκάνθας » (2)· βλέπεις γὰρ τὸν στέφανον, ὃν περίκειμαι. Τί οὖν ἀποφαίνομαι λοιπόν ; « Ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ » βρέξαι εἰς αὐτὸν ὑετόν» (3). Ἦρθησαν γὰρ ἐξ αὐτῶν αἱ νεφέλαι, οἱ προφῆται· οἱ προφῆται δὲ λοιπὸν ἐν Ἐκκλησίᾳ, καθὼς φησι Παῦλος, « Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν· καὶ οἱ ἄλλοι δια-» κρινέτωσαν»(4). Καὶ πάλιν «Ὁ Θεὸς ἔδωκεν ἐν τῇ Ἐκκλησίᾳ τοὺς » μὲν ἀποστόλους, τοὺς δὲ προφήτας » (5). Προφήτης ἦν Ἄγαβος, ὁ δήσας ἑαυτοῦ τοὺς πόδας καὶ τὰς χεῖρας (6).

ιέ. Περὶ δὲ τῶν λῃστῶν τῶν μετ' αὐτοῦ σταυρωθέντων, εἴρη-ται τὸ «Καὶ μετ' ἀνόμων ἐλογίσθη» (7). Καὶ οἱ δύο μὲν ἦσαν πρὸ τούτου ἄνομοι· ὁ δὲ εἷς οὐκέτι· ὁ μὲν γὰρ εἰς τέλος ἄνομος, ἀνέν-δοτος εἰς σωτηρίαν· χεῖρας μὲν προσπεπηγμένος (8), γλώσσῃ δὲ [διὰ] βλασφημίας πλήττων (9). Ἰουδαῖοι παρερχόμενοι ἐκίνουν τὰς κεφαλὰς χλευάζοντες τὸν ἐσταυρωμένον (10), πληροῦντες τὸ γεγραμμένον· «Εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν» (11). Καὶ ἐκεῖνος μετ' αὐτῶν ἐδυσφήμει· ὁ δὲ ἕτερος ἐπετίμα τῷ δυσφη-μοῦντι. Καὶ ἦν αὐτῷ τέλος ζωῆς, καὶ ἀρχὴ διορθώσεως· παράδο-σις ψυχῆς, καὶ πρόληψις σωτηρίας· καὶ μετὰ τὴν πρὸς ἐκεῖνον ἐπιτίμησιν, φησί· « Μνήσθητί μου Κύριε » (12)· πρὸς σὲ γάρ μοι ὁ λόγος· κατάλειπε τοῦτον, πεπήρωται τῆς διανοίας τὰ ὄμματα· ἐμοῦ δὲ μνήσθητι. Οὐ λέγω, μνήσθητί μου τῶν ἔργων· φοβοῦμαι γὰρ ταῦτα. Πᾶς ἄνθρωπος διάκειται πρὸς τὸν συνοδεύοντα· συνο-δεύω σοι (13) πρὸς τὸν θάνατον, μνήσθητί [μου] τοῦ [σοῦ] συνο-

(1) Ἡσ. Ε', 2.
(2) Αὐτόθι. (3) Αὐτόθι, 6.
(4) Α' πρὸς Κορινθ. ΙΔ', 29.
(5) Πρὸς Ἐφεσ. Δ', 11.
(6) Πράξ. Ἀποστόλ. ΚΑ', 10—11.
(7) Ἡσ. ΝΓ', 12.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, προπεπηγμένος
(9) Λουκ. ΚΓ', 39.
(10) Ματθ. ΚΖ', 39.
(11) Ψαλμ. ΡΗ', 25.
(12) Λουκ. ΚΓ', 39—43.
(13) Ἐκ τοῦ ΒΤ.—Μ, συνοδεύω γάρ σοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοιπόρου. Ἀλλ' οὐ λέγω, νῦν μνήσθητί μου· ἀλλ' « Ὅταν ἔλθῃς » ἐν τῇ βασιλείᾳ σου». Ποία σε ἐφωταγώγησε δύναμις, ὦ λῃστά; Τίς σε ἐδίδαξε προσκυνῆσαι τὸν καταφρονούμενον καὶ συνεσταυρωμένον; ὦ φωτὸς ἀϊδίου, φωτοποιοῦντος τοὺς ἐσκοτισμένους! Διὸ καὶ δικαίως ἤκουσε, *Θάρσει· οὐχ ὅτι τὰ πράγματά σου τοῦ θαρσεῖν* ἄξια, ἀλλ' ὅτι βασιλεὺς πάρεστι χαριζόμενος. Μακροχρόνιος μὲν ἡ αἴτησις, ὀξυτάτη δὲ ἡ χάρις· « Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ » ἔσῃ ἐν τῷ παραδείσῳ» (1)· ἐπειδὴ σήμερον τῆς φωνῆς μου ἤκουσας, καὶ οὐκ ἐσκλήρυνάς σου τὴν καρδίαν (2). Ὀξύτατα κατὰ τοῦ Ἀδὰμ ἀπεφηνάμην, ὀξύτατά σοι χαρίζομαι. Ἐκείνῳ μὲν εἴρηται· « Ἧ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε » (3)· σὺ δὲ σήμερον ὑπήκουσας τῇ πίστει, σήμερόν σοι ἡ σωτηρία. Ἐκεῖνος διὰ τοῦ ξύλου ἀπέπεσε, καὶ σὺ διὰ τοῦ ξύλου εἰσάγῃ εἰς τὸν παράδεισον. Μὴ φοβηθῇς τὸν ὄφιν· οὐκ ἐκβαλεῖ (4) σε· πέπτωκε γὰρ ἐξ οὐρανῶν (5). Καὶ οὐ λέγω σοι, σήμερον ἀπέρχῃ· ἀλλὰ, σήμερον μετ' ἐμοῦ ἔσῃ. Θάρσησον, οὐκ ἐκβληθήσῃ. Μὴ φοβηθῇς τὴν φλογίνην ῥομφαίαν (6)· δυσωπεῖται τὸν Δεσπότην. Ὦ μεγάλης καὶ ἀνεκδιηγήτου χάριτος! Οὕπω Ἀβραὰμ ὁ πιστὸς εἰσῆλθε, καὶ ὁ λῃστὴς εἰσέρχεται· οὔπω Μωσῆς καὶ οἱ προφῆται, καὶ ὁ λῃστὴς [ὁ] παράνομος εἰσέρχεται. Ἐθαύμασε καὶ πρὸ σοῦ ὁ Παῦλος, εἰπών· « Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις » (7). Οἱ βαστάσαντες τὸν καύσωνα, οὕπω εἰσῆλθον· καὶ ὁ περὶ τὴν ἑνδεκάτην ὥραν, εἰσῆλθε (8). Μηδεὶς γογγυζέτω κατὰ τοῦ Δεσπότου· ἐπεί φησιν· « Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐκ ἔχω ἐξουσίαν ἐν τοῖς » ἐμοῖς ποιῆσαι ὃ βούλομαι; » θέλει δικαιοπραγῆσαι ὁ λῃστὴς, ἀλλὰ προλαμβάνει ὁ θάνατος. Οὐ τὸ ἔργον περιμένω μόνον, ἀλλὰ καὶ

(1) Λουκ. ΚΓ', 43.
(2) Ψαλμ. ϟΔ', 8.
(3) Γενέσ. Β', 17.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ἐκβάλλει
(5) Λουκ. Ι', 18.
(6) Γενέσ. Γ', 24.
(7) Πρὸς Ῥωμ. Ε', 20.
(8) Ματθ. Κ', 12—15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν πίστιν ἀπεδεξάμην. Ἦλθον ὁ ποιμαίνων ἐν τοῖς κήποις· ἦλθον ποιμάναι ἐν τοῖς κρίνοις (1). Πρόβατον εὗρον ἀπολωλός· ἀλλ' ἐπὶ τοὺς ὤμους μου τοῦτο λαμβάνω (2). Πιστεύει γὰρ, ἐπειδὴ καὶ αὐτὸς εἶπεν· «Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός» (3). «Μνή»σθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου» (4).

ις'. Προανεφώνησα ἐν Ἄσμασι περὶ τούτου τοῦ κήπου πρὸς τὴν ἐμὴν νύμφην, καὶ ταῦτα εἶπον πρὸς αὐτήν· «Εἰσῆλθον εἰς κῆπόν »μου, ἀδελφή μου νύμφη» (5). «Ἦν δὲ, ὅπου ἐσταυρώθη, κῆπος» (6). Καὶ τί λαμβάνεις ἐκεῖθεν; «Ἐτρύγησα σμύρναν μου» (7), οἶνον ἐσμυρνισμένον πιών, καὶ τὸ ὄξος ἅτινα λαβών, εἶπε· «Τε»τέλεσται» (8). Πεπλήρωται γὰρ τὸ μυστήριον· πεπλήρωται τὰ γεγραμμένα· ἐλύθησαν αἱ ἁμαρτίαι. «Χριστὸς [γὰρ] παραγενόμε»νος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τε»λειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τοὐτέστιν, οὐ ταύτης τῆς »κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων· διὰ δὲ τοῦ ἰδίου »αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια. Εἰ γὰρ τὸ αἷμα ταύρων »καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινω»μένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον »τὸ αἷμα τοῦ Χριστοῦ;» (9). Καὶ πάλιν· «Ἔχοντες οὖν, ἀδελ»φοὶ, παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, »ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ κατα»πετάσματος, τοὐτέστι, τῆς σαρκὸς αὐτοῦ» (10). Καὶ ἐπειδὴ ἡ σὰρξ αὐτοῦ, τὸ καταπέτασμα, ἠτιμάσθη, διὰ τοῦτο τὸ καταπέτασμα τοῦ ναοῦ τὸ τυπικὸν διερρήξατο, καθὼς γέγραπται· «Καὶ »ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν

(1) Ἆσμα Ἀσμάτ. Ϛ', 1—2.
(2) Λουκ. ΙΕ', 4—5.
(3) Ψαλμ. ΡΙΗ', 176.
(4) Λουκ. ΚΓ', 42.
(5) Ἆσμα Ἀσμάτ. Ε', 1.
(6) Ἰωάν. ΙΘ', 41.
(7) Ἆσμα Ἀσμάτ. Ε', 1.
(8) Ἰωάν. ΙΘ', 29—30.
(9) Πρὸς Ἑβρ. Θ', 11—13.
(10) Αὐτόθ. Ι', 19—20.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ἕως κάτω » (1)· οὐδὲ γὰρ ὀλίγον αὐτοῦ περιελείφθη. Ἐπειδὴ γὰρ ὁ δεσπότης εἶπεν· « Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρη-» μος » (2), ὁ οἶκος περιερρήξατο. Ὑπέμεινε δὲ ταῦτα ὁ Σωτὴρ, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ γῆς (3). Ἐχθροὶ γὰρ ἦμεν Θεοῦ δι' ἁμαρτίας, καὶ ὥρισεν ὁ Θεὸς τὸν ἁμαρτάνοντα, ἀποθνήσκειν. Ἔδει οὖν ἓν ἐκ τῶν δύο γε-νέσθαι (4)· ἢ ἀληθεύοντα Θεὸν, πάντας ἀνελεῖν, ἢ φιλανθρωπευό-μενον παραλῦσαι τὴν ἀπόφασιν. Ἀλλὰ βλέπε Θεοῦ σοφίαν· ἐτή-ρησε καὶ τῇ ἀποφάσει τὴν ἀλήθειαν, καὶ τῇ φιλανθρωπίᾳ τὴν ἐνέρ-γειαν. Ἀνέλαβε Χριστὸς « τὰς ἁμαρτίας ἐν τῷ σώματι ἐπὶ τὸ ξύ-» λον, ἵνα διὰ [τοῦ] θανάτου αὐτοῦ ταῖς ἁμαρτίαις ἡμεῖς ἀπογε-» νόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν » (5). Οὐ μικρὸς ἦν ὁ ὑπεραπο-θανὼν ἡμῶν (6). Οὐκ ἦν πρόβατον αἰσθητόν. Οὐκ ἦν ψιλὸς ἄνθρω-πος. Οὐκ ἦν ἄγγελος μόνον, ἀλλὰ Θεὸς ἐνανθρωπήσας (7). Οὐ το-σαύτη ἦν τῶν ἁμαρτωλῶν ἡ ἀνομία, ὅση τοῦ ὑπεραποθνήσκοντος ἡ δικαιοσσύνη· οὐ τοσοῦτον ἡμάρτομεν, ὅσον ἐδικαιοπράγησεν ὁ τὴν ψυχὴν ὑπὲρ ἡμῶν τεθεικώς· ὁ τεθεικὼς ὅτε ἤθελε, καὶ πάλιν λαβὼν ὅτε ἤθελε. Καὶ θέλεις γνῶναι ὅτι οὐ βιοσφαγῶς ἀπέθετο τὴν ζωὴν, οὐδὲ ἀκουσίως παρέδωκε τὸ πνεῦμα ; Προσεφώνει τῷ πατρὶ, λέγων· « Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου» (8). Παρατίθεμαι, ἵνα πάλιν αὐτὸ λάβω. Καὶ ταῦτα εἰπὼν, « ἀ-» φῆκε τὸ πνεῦμα »· ἀλλ' οὐκ ἐπὶ πολλῷ τῷ χρόνῳ, ταχέως γὰρ ἐκ νεκρῶν ἀνέστη πάλιν.

ιζ'. Ἐξέλιπεν ὁ ἥλιος (9), διὰ τὸν τῆς δικαιοσύνης ἥλιον (10). Πέτραι ἐσχίσθησαν, διὰ τὴν νοητὴν πέτραν (11). Μνήματα ἀνεῴ-

(1) Ματθ. ΚΖ', 51.
(2) Ματθ. ΚΓ', 38.
(3) Πρὸς Κολοσ. Α', 20.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, Τί οὖν ἐκ τῶν δύο γενέσθαι ἔδει ; ἢ ἀληθεύοντα κτλ.
(5) Α' Πέτρ. Β', 24.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, ὑμῶν.
(7) Ἡσ. ΞΓ', 9.
(8) Λουκ. ΚΓ', 46.—καὶ Ματθ. ΚΖ', 50.
(9) Λουκ. ΚΓ', 45.
(10) Μαλαχ. Δ', 2.
(11) Α' πρὸς Κορινθ. Γ'. 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χθη, καὶ νεκροὶ ἀνέστησαν (1), διὰ τὸν ἐν νεκροῖς ἐλεύθερον (2). Ἐξαπέστειλε δεσμίους αὐτοῦ ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ (3). Μὴ τοίνυν ἐπαισχύνου τὸν ἐσταυρωμένον, ἀλλὰ παῤῥησιάζου λέγων καὶ αὐτός· « Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυ» νᾶται· καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν » (4). Μὴ ἀχαριστήσωμεν τῷ εὐεργέτῃ. Καὶ πάλιν· « Ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ » μου ἦχθη εἰς θάνατον· καὶ δώσω τοὺς πονηροὺς, ἀντὶ τῆς τα» φῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ » (5). Διὰ τοῦτο σαφῶς λέγει ὁ Παῦλος· « Ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ » τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφὰς· καὶ ὅτι ἐτάφη, καὶ ὅτι » ἐγήγερται τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς Γραφάς » (6). Ζητοῦμεν δὲ γνῶναι σαφῶς ποῦ τέθαπται. Χειροποίητος ἄρα ὁ τάφος; Ἆρα κατὰ τοὺς τῶν βασιλέων τάφους, ὑπερανέχει τῆς γῆς; Ἐκ λίθων γεγένηται τὸ μνῆμα συγκειμένων; Καὶ τούτῳ δὲ τί ἐπιτίθεται (7); Εἴπατε ἡμῖν, ὦ προφῆται, καὶ τοῦ τάφου τὴν ἀκρίβειαν, ποῦ τίθεται (8), καὶ ποῦ αὐτὸν ζητήσωμεν; Οἱ δὲ φασιν· « Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἣν ἐλατομήσατε » (9). « Ἐμβλέψατε καὶ ἴδετε » (10)· ἔχεις ἐν Εὐαγγελίοις· « Ἐν μνήματι » λαζευτῷ » (11), « ὃ ἦν λελατομημένον ἐκ πέτρας » (12). Καὶ τί γίνεται; ποταπὴ τοῦ μνήματος ἡ θύρα; Πάλιν προφήτης ἄλλος λέγει· « Ἐθανάτωσαν ἐν λάκκῳ ζωήν μου, καὶ ἔθηκαν λίθον ἐπ' ἐ» μοί » (13). Ὁ λίθος ὁ ἀκρογωνιαῖος, ὁ ἐκλεκτὸς, ὁ ἔντιμος (14),

(1) Ματθ. ΚΖ', 52.
(2) Ψαλμ. ΠΖ', 6.
(3) Ζαχαρ. Θ', 11.
(4) Ἡσ. ΝΓ', 4—5.
(5) Αὐτόθ. 8—9.
(6) Α' πρὸς Κορινθ. Ε', 3—4.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, συγκειμένων· καὶ τούτων ἐπιτίθεται;
(8) Αὐτόθεν.—Μ, ποῦ τεθείκατε,
(9) Ἡσ. ΝΑ', 1.
(10) Σοφ. Σειρ. Β', 10.—Ἴδετε, ἐκ τοῦ ΒΤ. ἐν τῷ Μ, αἰδέσθητε·
(11) Λουκ. ΚΓ', 53.
(12) Μάρκ. ΙΕ', 46.
(13) Θρῆν. Γ', 52.
(14) Α' Πέτρ. Β', 6. καὶ Ἡσ. ΚΗ', 16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐνδοτέρῳ λίθου κεῖμαι πρὸς ὀλίγον χρόνον (1)· λίθος προσκόμματος Ἰουδαίοις (2), καὶ σωτήριος τοῖς πιστεύουσιν. Ἐνεφυτεύθη τοίνυν τὸ ξύλον τῆς ζωῆς ἐν τῇ γῇ, ἵνα ἀπολαύσῃ τῆς εὐλογίας ἡ καταρασθεῖσα γῆ, καὶ ἵνα λυθῶσιν οἱ νεκροί.

ιή. Μὴ τοίνυν ἐπαισχυνθῶμεν ὁμολογῆσαι τὸν ἐσταυρωμένον. Ἐπὶ μετώπου μετὰ παῤῥησίας δακτύλοις ἡ σφραγὶς, καὶ ἐπὶ πάντων, ὁ σταυρὸς γινέσθω· ἐπὶ ἄρτων βιβρωσκομένων, καὶ ἐπὶ ποτηρίων πινομένων· ἐν εἰσόδοις, ἐν ἐξόδοις· πρὸ τοῦ ὕπνου· κοιταζομένοις, καὶ διανισταμένοις· ὁδεύουσι καὶ ἡρεμοῦσι. Μέγα τὸ φυλακτήριον· δωρεὰν, διὰ τοὺς πένητας· χωρὶς καμάτου, διὰ τοὺς ἀσθενεῖς· ἐπειδὴ καὶ παρὰ Θεοῦ ἡ χάρις. Σημεῖον πιστῶν, καὶ φόβος δαιμόνων· ἐθριάμβευσε γὰρ αὐτοὺς ἐν αὐτῷ, δειγματίσας ἐν παῤῥησίᾳ (3). Ὅταν γὰρ ἴδωσι τὸν σταυρὸν, ὑπομιμνήσκονται τοῦ ἐσταυρωμένου· φοβοῦνται τὸν συντρίψαντα τὰς κεφαλὰς τοῦ δράκοντος (4). Μὴ διὰ τὸ δώρημα τὸν εὐεργέτην. Καὶ ἐὰν εἰς συζήτησίν ποτε ἐμπέσῃς, καὶ μὴ τοὺς λόγους τῆς ἀποδείξεως ἔχῃς, ἡ πίστις ἑδραία μενέτω παρὰ σοί. Μᾶλλον δὲ, πολυμαθὴς γενόμενος Ἰουδαίους ἐπιστόμιζε ἐκ τῶν προφητῶν, καὶ Ἕλληνας ἐκ τῶν παρ' αὐτοῖς μυθολογουμένων. Αὐτοὶ κεκεραυνωμένους προσκυνοῦσι· κεραυνὸς δὲ ἐξ οὐρανῶν ἐρχόμενος, οὐκ ἀκρίτως ἔρχεται. Εἰ ἐκεῖνοι τοὺς κεραυνωθέντας θεομισεῖς προσκυνοῦντες οὐκ αἰσχύνονται, σὺ τὸν θεοφιλῆ καὶ υἱὸν Θεοῦ, τὸν ἐσταυρωμένον ὑπὲρ σοῦ, προσκυνεῖν αἰσχύνῃ; Αἰδοῦμαι λέγειν τὰ περὶ τῶν λεγομένων θεῶν αὐτῶν, καὶ καταλιμπάνω διὰ τὴν ὥραν· οἱ δὲ εἰδότες, λεγέτωσαν. Ἐπιστομιζέσθωσαν δὲ καὶ αἱρετικοὶ πάντες. Ἐάν τις λέγῃ ὅτι δόκησις ὁ σταυρὸς, ἀποστράφηθι· μίσησον τοὺς λέγοντας ὅτι κατὰ φαντασίαν ἐσταυρώθη· [εἰ γὰρ κατὰ φαντασίαν ἐσταυρώθη,] ἐκ σταυροῦ δὲ ἡ σωτηρία [καὶ ἡ σωτηρία, φαντασία]· εἰ φαντασία

(1) Ἐκ τοῦ ΒΤ.—Μ, ἐνδοτέρω λίθῳ κεῖμαι· πρὸ ὀλίγων χρόνων λίθος προσκόμματος κτλ.

(2) Α' Πέτρ. Β'. 7. καὶ Ἡσ. Η', 14.

(3) Πρὸς Κολοσ. Β', 15.

(4) Ψαλμ. ΟΓ', 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ σαυρὸς, φαντασία καὶ ἡ ἀνάστασις. « Εἰ δὲ Χριστὸς οὐκ ἐγή-»γερται, ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις ἡμῶν » (1). Εἰ φαντασία ὁ σταυρὸς, φαντασία καὶ ἡ ἀνάληψις· καὶ εἰ φαντασία ἡ ἀνάληψις, φαντασία ἄρα καὶ ἡ δευτέρα κάθοδος, καὶ πάντα λοιπὸν ἀνυπόστατα.

ιθ'. Λάμβανε [οὖν] πρῶτον ἀῤῥαγὲς θεμέλιον τὸν σαυρὸν, καὶ ἐποικοδόμει τὰ λοιπὰ τῆς πίστεως. Μὴ ἀρνήσῃ τὸν ἐσταυρωμένον· ἐὰν γὰρ ἀρνήσῃ, πολλοὺς ἔχεις τοὺς ἐλέγχοντας. Ἰούδας ἐλέγξει σε πρῶτος, ὁ προδότης (2)· ὁ γὰρ προδοὺς, οἶδεν ὅτι ὑπὸ ἀρχιερέων καὶ πρεσβυτέρων κατεκρίθη πρὸς θάνατον (3). Μαρτυρεῖ τὰ τριάκοντα ἀργύρια (4)· μαρτυρεῖ τὸ Γεθσημανῆ, ἔνθα ἡ προδοσία γέγονεν (5)· οὕπω λέγω τὸ ὄρος τῶν Ἐλαιῶν (6), ἐν ᾧ προσηύχοντο παράντες ἐν νυκτί. Μαρτυρεῖ [ἡ] ἐν νυκτὶ σελήνη. Μαρτυρεῖ ἡ ἡμέρα καὶ ὁ ἥλιος ἐκλείπων (7)· οὐ γὰρ ἔφερεν ὁρᾶν τὸ παράνομον τῶν ἐπιβουλευόντων. Ἐλέγχει σε τὸ πῦρ, ᾧ παρεστὼς ἐθερμαίνετο ὁ Πέτρος (8). Ἐὰν ἀρνήσῃ τὸν σταυρὸν, μενεῖ σε τὸ πῦρ τὸ αἰώνιον. Σκληρὰ λέγω, ἵνα μὴ σκληρῶν πειραθῇς. Μνημόνευε τῶν ἐν Γεθσημανῆ μαχαιρῶν, ἐλθουσῶν ἐπ' αὐτὸν (9), ἵνα μὴ ῥομφαίας πειρασθῇς αἰωνίου. Ἐλέγξει σε ἡ οἰκία Καϊάφα, διὰ τῆς νῦν ἐρημίας δεικνύουσα τοῦ κριθέντος ἐκεῖ τότε τὴν δύναμιν. Ἀντικαταστήσεταί σοι [ἐν ἡμέρᾳ κρίσεως καὶ αὐτὸς Καϊάφας· ἀντικαταστήσεταί σοι καὶ ὁ ὑπηρέτης, ὁ ῥάπισμα δοὺς τῷ Ἰησοῦ (10)· καὶ οἱ δήσαντες, καὶ οἱ ἀπαγαγόντες. Ἀντικαταστήσεταί σοι] καὶ Ἡρῴδης καὶ Πιλάτος μονονουχὶ λέγοντες· Τί ἀρνῇ τὸν ἐφ' ἡμῶν (11) ὑπὸ Ἰουδαίων συκοφαντηθέντα (12), ὃν ἴδειμεν ἡμεῖς μηδὲν ἁμαρτήσαντα; (13) ἐγὼ γὰρ Πιλάτος

(1) Α' πρὸς Κορινθ. ΙΕ', 17.
(2) Ματθ. ΚϚ', 48—50.
(3) Ματθ. ΚΖ', 3—4.
(4) Ματθ. ΚϚ', 15—16.
(5) Αὐτόθ. 36.
(6) Λουκ. ΚΒ', 39.
(7) Λουκ. ΚΓ'. 45.
(8) Ἰωάν. ΙΗ', 18.
(9) Ματθ. ΚϚ', 55.
(10) Ἰωάν. ΙΗ', 22.
(11) Ἐκ τοῦ ΒΤ.—Μ, ὑφ' ἡμῶν
(12) Αὐτόθεν.—Μ, σταυρωθέντα,
(13) Λουκ. ΚΓ', 14—15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπενιψάμην τότε τὰς χεῖρας (1). Ἀντικαταστήσονται οἱ ψευδομάρτυρες (2)· καὶ οἱ στρατιῶται, οἱ τὸ πορφυροῦν ἱμάτιον περιβαλόντες καὶ τὸν ἀκάνθινον στέφανον ἐπιθέντες (3), καὶ ἐν τῷ Γολγοθᾷ σταυρώσαντες (4), καὶ περὶ τοῦ χιτῶνος λαχόντες (5). Ἐλέγξει σε Σίμων ὁ Κυρηναῖος, ὁ τὸν σταυρὸν φέρων ὀπίσω τοῦ Ἰησοῦ (6). Ἐλέγξει σε ἀπὸ μὲν ἄστρων, ὁ ἐκλείπων ἥλιος (7)· ἀπὸ δὲ τῶν ἐπὶ γῆς, ἐσμυρνισμένος οἶνος (8)· ἀπὸ καλάμων, ὁ κάλαμος (9)· ἀπὸ βοτανῶν, τὸ ὕσσωπον· ἀπὸ τῶν θαλασσίων, ὁ σπόγγος· ἀπὸ δένδρων, τοῦ σταυροῦ τὸ ξύλον. Οἱ στρατιῶται, καθὼς εἴρηται, οἱ καθηλώσαντες, καὶ λαχόντες περὶ τῶν ἱματίων· ὁ στρατιώτης, ὁ τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἀνοίξας (10)· [αἱ] γυναῖκες, αἱ τότε παροῦσαι (11)· τὸ καταπέτασμα τοῦ ναοῦ τότε διαῤῥαγέν (12)· τὸ Πιλάτου πραιτώριον (13), τὸ τῇ δυνάμει τοῦ τότε σαυρωθέντος νῦν ἠρημωμένον· ὁ Γολγοθᾶς οὗτος ὁ ἅγιος, ὁ ὑπερανεστὼς, καὶ μέχρι σήμερον φαινόμενος, καὶ δεικνύων μέχρι νῦν ὅπως διὰ Χριστὸν αἱ πέτραι τότε ἐῤῥάγησαν· τὸ μνῆμα τὸ πλησίον, ὅπου ἐτέθη· καὶ ὁ ἐπιτεθεὶς τῇ θύρᾳ λίθος, ὁ μέχρι σήμερον παρὰ τῷ μνημείῳ κείμενος (14). Ἄγγελοι οἱ τότε παρόντες (15)· γυναῖκες αἱ προσκυνήσασαι μετὰ τὴν ἀνάστασιν (16)· Πέτρος καὶ Ἰωάννης οἱ ἐπὶ τὸ μνῆμα δραμόντες (17)· καὶ Θωμᾶς ὁ βαλὼν τὰς χεῖρας

(1) Ματθ. ΚΖ', 24.
(2) Ματθ. ΚΘ', 60.
(3) Ἰωάν. ΙΘ', 2.
(4) Αὐτόθ. 17.
(5) Αὐτόθ. 24.
(6) Λουκ. ΚΓ', 26.
(7) Αὐτόθ. 45, καὶ Ματθ. ΚΖ', 45.
(8) Μάρκ. ΙΕ', 23.
(9) Ματθ. ΚΖ', 29. καὶ Μάρκ. ΙΕ'. 36. καὶ Ἰωάν. ΙΘ', 29.
(10) Ἰωάν. ΙΘ', 34.
(11) Ματθ. ΚΖ', 55.
(12) Αὐτόθι, 51.
(13) Αὐτόθι, 27.
(14) Αὐτόθι, 60.
(15) Ἰωάν. Κ', 12.
(16) Ματθ. ΚΗ', 9.
(17) Ἰωάν. Κ', 2—4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰς τὴν πλευρὰν αὐτοῦ, καὶ τοὺς δακτύλους εἰς τοὺς τύπους τῶν ἥλων (1)· ὑπὲρ γὰρ ἡμῶν κἀκεῖνος ἀκριβῶς ἐψηλάφησε· καὶ ὅπερ σὺ ἔμελλες, ὁ τότε μὴ παρὼν, ζητεῖν, τοῦτο ἐκεῖνος παρὼν κατ' οἰκονομίαν ἐζήτησεν. Ἔχεις δώδεκα Ἀποστόλους τοῦ σαυροῦ μάρτυρας, καὶ τὴν οἰκουμένην, καὶ τὸν κόσμον τὸν εἰς τὸν ἐσταυρωμένον πιστευόντων ἀνθρώπων. Αὐτὸ τοῦτο, τὸ σὲ νῦν παρεῖναι, πειθέτω σε τοῦ σταυρωθέντος τὴν δύναμιν. Τίς γάρ σε νῦν συνήγαγε; ποῖοι στρατιῶται; ποίοις δεσμοῖς ἠναγκάσθης; ποία καταδίκη σε νῦν κατέπειζεν (2); ἀλλὰ τὸ τρόπαιον τοῦ σταυροῦ Ἰησοῦ, τὸ σωτήριον, ὁ σταυρὸς πάντας συνήγαγε. Τοῦτο Πέρσας ἐδουλαγώγησε, καὶ Σκύθας ἡμέρωσε· τοῦτο τοῖς Αἰγυπτίοις, ἀντὶ αἰλούρων καὶ κυνῶν καὶ τῆς πολυσχιδοῦς πλάνης, τὴν θεογνωσίαν ἐχαρίσατο· τοῦτο μέχρι σήμερον θεραπεύει νόσους· τοῦτο μέχρι σήμερον δαίμονας ἀπελαύνει· φαρμάκων τε καὶ ἐπαοιδῶν ἀνατρέπει γοητείας. Τοῦτο μετὰ τοῦ Ἰησοῦ φαίνεσθαι μέλλει πάλιν ἐξ οὐρανοῦ (3)· προηγήσεται γὰρ τοῦ βασιλέως τὸ τρόπαιον· ἵνα ἰδόντες ὃν ἐξεκέντησαν, καὶ ἐκ τοῦ σταυροῦ γνόντες τὸν ἠτιμασμένον, οἱ μετανοήσαντες Ἰουδαῖοι κόψωνται (4). Ἀλλ' ἐκεῖνοι μὲν κόψονται φυλαὶ κατὰ φυλάς (5)· τότε γὰρ μετανοήσουσιν, ὅτε οὐκ ἔστιν αὐτοῖς μετανοίας καιρός· ἡμεῖς δὲ καυχησώμεθα, ἐναβρυνόμενοι τῷ σταυρῷ, προσκυνοῦντες τὸν ἀποσταλέντα Κύριον, καὶ ὑπὲρ ἡμῶν σταυρωθέντα· προσκυνοῦντες καὶ τὸν ἀποστείλαντα Πατέρα Θεὸν σὺν ἁγίῳ Πνεύματι· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Ἰωάν. Κ', 27.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, κατέπηξεν;
(3) Ματθ. ΚΔ', 30.
(4) Ἰωάν. ΙΘ', 37.—Ζαχαρ. ΙΒ', 10, 12.—Ἀποκάλυψ. Α', 7.
(5) Ζαχαρ. ΙΒ', 12.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ ΙΔ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ ΚΑΙ ΑΝΑΣΤΑΝΤΑ ΕΚ ΝΕΚΡΩΝ ΤΗ ΤΡΙΤΗ ΗΜΕΡΑ· ΚΑΙ ΑΝΕΛΘΟΝΤΑ ΕΙΣ ΤΟΥΣ ΟΥΡΑΝΟΥΣ, ΚΑΙ ΚΑΘΙΣΑΝΤΑ ΕΚ ΔΕΞΙΩΝ ΤΟΥ ΠΑΤΡΟΣ· *καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους πρώτης· «Γνω»ρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ Εὐαγγέλιον ὃ εὐηγγελι»σάμην ὑμῖν», καὶ τὰ ἑξῆς· «Ὅτι ἐγήγερται τῇ τρί»τῃ ἡμέρᾳ, κατὰ τὰς Γραφὰς», καὶ τὰ ἑξῆς* (1).

Α. ΕΥΦΡΑΝΘΗΤΙ Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε πάντες οἱ ἀγαπῶντες Ἰησοῦν (2)· ἐγήγερται γάρ. Χαίρετε πάντες ὅσοι πρότερον ἐπενθήσατε, τὰς Ἰουδαίων τόλμας τε καὶ παρανομίας ἀκούσαντες· ὁ γὰρ ὑβρισθεὶς ὑπ' αὐτῶν ἐνταῦθα, πάλιν ἠγέρθη. Καὶ ὥσπερ ἡ κατὰ τὸν σταυρὸν ἀκρόασις λυπηρά τις ἦν, οὕτως ὁ περὶ τῆς ἀναστάσεως εὐαγγελισμὸς εὐφραινέτω τοὺς παρόντας. Τὸ πένθος εἰς εὐφροσύνην στραφήτω, καὶ ὁ κοπετὸς εἰς χαράν (3)· καὶ πληθήτω χαρᾶς καὶ εὐφροσύνης τὸ στόμα ἡμῶν (4), διὰ τὸν μετὰ τὴν ἀνάστασιν εἰπόντα *χαίρετε* (5). Οἶδα γὰρ τῶν φιλοχρίστων ἐν ταῖς παρελθούσαις ἡμέραις τὴν λύπην· ἐπειδὴ τῶν λεγομένων, καταληξάντων μὲν εἰς τὸν θάνατον καὶ τὴν ταφὴν, τὴν δὲ ἀνάστασιν μὴ εὐαγγελισαμένων, ἐκκρεμὴς ἦν ἡ διάνοια πρὸς τὸ ἀκοῦσαι τὸ ποθούμενον. Ἐγήγερται τοίνυν ὁ νεκρὸς, «ὁ ἐν νεκροῖς» ἐλεύθερος» (6), καὶ νεκρῶν ἐλευθερωτής. Ὁ κατὰ ἀτιμίαν δι' ὑπομονῆς τὸν στέφανον τῶν ἀκανθῶν περιδεδεμένος, οὗτος ἀναστὰς, τὸ διάδημα τῆς κατὰ τοῦ θανάτου νίκης διεδήσατο. Ἀλλ' ὥς περ τὰς περὶ τοῦ σταυροῦ αὐτοῦ μαρτυρίας παρεθέμεθα, οὕτω φέρε καὶ νῦν τὰς περὶ τῆς ἀναστάσεως ἀποδείξεις πιστοποιησώμεθα· ἐπειδὴ ὁ παρὼν Ἀπόστολός φησιν· «Ἐτάφη, καὶ ἐγήγερται τῇ τρίτῃ

(1) Α' πρὸς Κορινθ. ΙΕ', 1 καὶ 4.
(2) Ἡσ. ΞΓ', 10.
(3) Ψαλμ. ΚΘ', 12.
(4) Ψαλμ. Ο', 8. καὶ ΡΚΕ', 2.
(5) Ματθ. ΚΗ', 9.
(6) Ψαλμ. ΠΖ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ἡμέρᾳ, κατὰ τὰς Γραφάς » (1). Ἀποστόλου τοίνυν εἰς τὰς μαρτυρίας [τῶν Γραφῶν] ἡμᾶς ἀναπέμψαντος, καλόν ἐστιν ἡμᾶς ἐπιγνῶναι τῆς ἡμετέρας σωτηρίας τὴν ἐλπίδα· καὶ μαθεῖν πρῶτον, εἰ αἱ θεῖαι Γραφαὶ λέγουσιν ἡμῖν τὸν καιρὸν τῆς ἀναστάσεως αὐτοῦ· πότερον ἐν θέρει, ἢ ἐν φθινοπώρῳ γίνεται, ἢ μετὰ χειμῶνα; καὶ ἐκ ποίων τόπων ὁ Σωτὴρ ἐγήγερται; καὶ τί τὸ ὄνομα τοῦ τόπου τῆς ἀναστάσεως ἐν τοῖς θαυμασίοις προφήταις ἀνηγόρευται; καὶ εἰ γυναῖκες αἱ ζητοῦσαι αὐτὸν καὶ μὴ εὑροῦσαι, πάλιν εὑροῦσαι χαίρουσιν (2); Ἵνα τῶν Εὐαγγελίων ἀναγινωσκομένων, μὴ μῦθοι, μηδὲ ῥαψῳδίαι νομίζοιντο τῶν ἁγίων Εὐαγγελίων αἱ διηγήσεις.

Β'. Ὅτι μὲν οὖν ἐτάρη ὁ Σωτὴρ, ἀκηκόατε σαφῶς ἐν τῇ προτέρᾳ διαλέξει, τοῦ Ἡσαΐου λέγοντος· « Ἔσται ἐνειρήνῃ ἡ ταφὴ αὐτοῦ » (3)· εἰρηνοποίησε γὰρ [ἐν τῇ ταφῇ αὐτοῦ] οὐρανὸν καὶ τὴν γῆν, τοὺς ἁμαρτωλοὺς προσάγων τῷ Θεῷ. Καὶ ὅτι, « Ἀπὸ προσώπου ἀδικίας » ἤρται ὁ δίκαιος»· καὶ, « Ἔσαι ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ » (4)· καὶ « Δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ » (5). Καὶ ἡ προφητεία τοῦ Ἰακὼβ λέγουσα ἐν ταῖς Γραφαῖς· « Ἀναπεσὼν ἐκοιμήθη » ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;» (6)· καὶ τὸ ἐν Ἀριθμοῖς παραπλήσιον· « Κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων, καὶ » ὡς σκύμνος » (7)· καὶ τοῦ Ψαλμοῦ λέγοντος ἠκούσατε πολλάκις· « Καὶ εἰς χοῦν θανάτου κατήγαγές με » (8). Καὶ τὸν τόπον δὲ (9) ἐπεσημειωσάμεθα, ἐν τῷ λέγειν· « Ἐμβλέψατε εἰς τὴν πέ» τραν ἣν ἐλατομήσατε » (10). Λοιπὸν δὲ περὶ αὐτῆς τῆς ἀναστάσεως αὐτοῦ παρακολουθείτωσαν ἡμῖν αἱ μαρτυρίαι. Λέγει τοίνυν

(1) Α' πρὸς Κορινθ. ΙΕ', 4.
(2) Ματθ. ΚΗ', 5—9.
(3) Ἡσ. ΝΖ', 2.
(4) Αὐτόθι, 1—2.
(5) Αὐτόθ. ΝΓ', 9.
(6) Γενέσ. ΜΘ', 9.
(7) Ἀριθ. ΚΔ', 9.
(8) Ψαλμ. ΚΑ', 16.
(9) Ὁ δὲ ἐκ τοῦ ΒΤ, ἀντὶ τοῦ ἐν τῷ Μ, δὲ ἰς
(10) Ἡσ. ΝΑ', 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρῶτον ἐν τῷ ἑνδεκάτῳ Ψαλμῷ· « Ἕνεκεν τῆς ταλαιπωρίας τῶν » πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, » λέγει Κύριος » (1). Ἀλλ' ἔτι τοῦτο παρά τισιν ἀμφίβολον τυγχάνει· πολλάκις γὰρ καὶ εἰς ὀργὴν ἐγείρεται (2), πρὸς τὸ λαβεῖν ἐκδίκησιν παρὰ τῶν ἐχθρῶν. Ἐλθὲ τοίνυν ἐπὶ τὸν πεντεκαιδέκατον Ψαλμὸν λέγοντα σαφῶς· « Φύλαξόν με Κύριε, ὅτι ἐπὶ σοὶ » ἤλπισα » (3)· καὶ μετὰ ταῦτα· « Οὐ μὴ συναγάγω τὰς συνα- » γωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων » αὐτῶν διὰ χειλέων μου » (4)· ἐπειδὴ ἐμὲ παραιτησάμενοι, βασιλέα ἑαυτῶν ἐπέγραψαν τὸν Καίσαρα (5)· καὶ τὰ ἑξῆς· « Προωρώμην » τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, » ἵνα μὴ σαλευθῶ » (6)· καὶ μετ' ὀλίγον· « Ἔτι δὲ καὶ ἕως νυκτὸς » ἐπαίδευσάν με οἱ νεφροί μου » (7)· καὶ μετὰ ταῦτα σαφέστατα λέγει· « Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ » δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν » (8)· οὐκ εἶπεν (9), *οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν θάνατον*, ἐπεὶ οὐκ ἀπέθνησκεν· ἀλλὰ, τὴν μὲν διαφθοράν φησιν οὐ βλέπω, ἐν δὲ τῷ θανάτῳ οὐκ ἀπομενῶ (10)· « Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς » (11). Ἰδοὺ σαφῶς μετὰ τὸν θάνατον ζωὴ κηρύσσεται. Ἐλθὲ καὶ ἐπὶ τὸν εἰκοστὸν ἔνατον Ψαλμόν· « Ὑψώσω σε Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὔφρανας » τοὺς ἐχθρούς μου ἐπ' ἐμέ » (12). Τί τὸ γινόμενον; ἐξ ἐχθρῶν ἐρύσθης, ἢ μέλλων τύπτεσθαι ἀπηλλάγης; Αὐτὸς σαφέστατα λέγει· « Κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου » (13). Ἐκεῖ λέγει, *οὐκ ἐγκαταλείψεις*, προφητικῶς· καὶ ὧδε λέγει, τὸ μέλλον γίνεσθαι

(1) Ψαλμ. ΙΑ', 6.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἐγήγερται,
(3) Ψαλμ. ΙΕ', 1.
(4) Αὐτόθ. 4.
(5) Ἰωάν. ΙΘ', 12, 15. (6) Ψαλμ. ΙΕ', 8.
(7) Αὐτόθ. 7.
(8) Αὐτόθ. 10.
(9) Ἐκ τοῦ ΒΤ.— Μ, οὐκ εἶπον,
(10) Αὐτόθεν.—Μ, οὐχ ὑπομένω·
(11) Ψαλμ. ΙΕ', 11.
(12) Ψαλμ. ΚΘ', 2,
(13) Αὐτόθι, 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὡς γεγενημένον, ὅτι *ἀνήγαγες*· « Ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον » (1).

γ'. Ἐν ποίῳ καιρῷ τὸ ἐσόμενον; « Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις » (2). Ὀψὲ γὰρ τῶν μαθητῶν ἦν τὸ πένθος· καὶ πρωὶ, τῆς ἀναστάσεως ἡ εὐφροσύνη. Θέλεις δὲ γνῶναι καὶ τὸν τόπον; Λέγει πάλιν ἐν Ἀσμασιν· « Εἰς κῆπον καρύας » κατέβην » (3)· κῆπος γὰρ ἦν ὅπου ἐσταυρώθη (4). Εἰ γὰρ καὶ τὰ μάλιστα νῦν βασιλικαῖς δωρεαῖς ἐφαιδρύνθη, ἀλλὰ κῆπος ἦν πρότερον, καὶ τὰ σύμβολα τούτου μένει, καὶ τὰ λείψανα· « Κῆπος κε- » κλεισμένος, πηγὴ ἐσφραγισμένη » (5) ὑπὸ τῶν Ἰουδαίων, τῶν λεγόντων· « Ἐμνήσθημεν, ὅτι ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν εἶπεν, ὅτι » μετὰ τρεῖς ἡμέρας ἐγείρομαι· κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον· [καὶ ἑξῆς· « Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον »](6) » σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας » (7). Πρὸς οὓς [καλῶς] ἀποτεινόμενός τις εἶπε· « Καὶ εἰς ἀνάπαυσιν αὐτοὺς κρινεῖς » (8). Τίς δέ ἐστιν *ἡ πηγὴ ἡ ἐσφραγισμένη* (9); ἢ τίς ἑρμηνεύεται *πηγὴ φρέατος ὕδατος ζῶντος* (10); Αὐτός ἐστιν ὁ Σωτὴρ, περὶ οὗ γέγραπται· « Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. » (11). Ἀλλὰ τί λέγει τοῖς μαθηταῖς ὁ Σοφονίας ἐκ προσώπου τοῦ Χριστοῦ; « Ἑτοιμάζου, » ὄρθριζε· διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν » (12)· τῶν Ἰουδαίων δηλονότι, παρ' οἷς οὐ καταλέλειπται βότρυς σωτηρίας, ἀλλ' οὐδὲ ἐπιφυλλίς· ἐκκόπτεται γὰρ ἡ ἄμπελος αὐτῶν. Βλέπε πῶς λέγει πρὸς τοὺς μαθητάς· *Ἑτοιμάζου, ὄρθρισον*· ὄρθρου προσδόκα

(1) Ψαλμ. ΚΘ', 4.
(2) Αὐτόθι, 6.
(3) Ἆσμ. Ἀσμάτ. Γ', 10.
(4) Ἰωάν. ΙΘ', 41.
(5) Ἆσμ. Ἀσμάτ. Δ', 12.
(6) Ἐκ τοῦ ΒΤ. ἡ προσθήκη· ἀντὶ τοῦ ἐν τῷ Μ, ἀσφαλισθῆναι τὸν τάφον· σφραγίσαντες τὸν λίθον κτλ.
(7) Ματθ. ΚΖ', 63, 64, 66.
(8) Ἰὼβ Ζ', 18.
(9) Ἆσμ. Ἀσμάτ. Δ', 12.
(10) Αὐτόθι, 15.
(11) Ψαλμ. ΛΕ', 10.
(12) Σοφον. Γ', 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν ἀνάστασιν. Καὶ ἑξῆς κατὰ τὴν αὐτὴν ἀκολουθίαν τῆς Γραφῆς φησι· « Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστά-» σεώς μου εἰς Μαρτύριον » (1). Βλέπεις ὅτι καὶ τὸν τόπον τῆς ἀναστάσεως προεῖδεν ὁ προφήτης, *Μαρτύριον* ἐπικληθησόμενον; Τίνι γὰρ τῷ λόγῳ, μὴ κατὰ τὰς λοιπὰς ἐκκλησίας ὁ τοῦ Γολγοθᾶ καὶ τῆς ἀναστάσεως οὗτος ὁ τόπος Ἐκκλησία καλεῖται, ἀλλὰ καὶ Μαρτύριον; ἀλλ' ἴσως διὰ τὸν προφήτην, τὸν εἰπόντα *εἰς ἡμέραν ἀναστάσεώς μου, εἰς Μαρτύριον*. Καὶ τίς ἐστιν ἄρα οὗτος; καὶ τί τὸ σημεῖον τοῦ ἀνισταμένου; Σαφῶς ἐν τοῖς ἑξῆς, ἐν τῇ αὐτῇ ἀκολουθίᾳ τοῦ προφήτου, φησίν· « Ὅτι τότε μεταστρέψω ἐπὶ » λαοὺς γλῶσσαν. » (2)· ἐπειδὴ, μετὰ τὴν ἀνάστασιν ἀποσταλέντος τοῦ ἁγίου Πνεύματος, ἐδόθη χάρις γλωσσῶν, « *Πρὸς τὸ* » *δουλεύειν τῷ Κυρίῳ* ὑπὸ ζυγὸν ἕνα » (3). Καὶ τί ἄλλο σύμβολον ἐν τῷ αὐτῷ πρόσκειται προφήτῃ, *τοῦ δουλεύειν τῷ Κυρίῳ ὑπὸ ζυγὸν ἕνα*; « Ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσί » μοι θυσίας » (4). Οἶδας τὸ γεγραμμένον ἐν ταῖς Πράξεσιν, ὅτε ἦλθεν Αἰθίοψ Εὐνοῦχος ἐκ περάτων ποταμῶν Αἰθιοπίας (5). Ὅταν τοίνυν καὶ τὸν καιρὸν, καὶ τοῦ τόπου τὸ ἰδίωμα· ὅταν καὶ μετὰ τὴν ἀνάστασιν σημεῖα λέγωσιν αἱ Γραφαί· πιστοποιοῦ λοιπὸν εἰς τὴν ἀνάστασιν, καὶ μηδεὶς σε σαλευέτω ἀπὸ τοῦ ὁμολογεῖν Χριστὸν ἐκ νεκρῶν ἐγηγερμένον.

δ'. Λάμβανε δὴ καὶ ἄλλην μαρτυρίαν ἐν τῷ ὀγδοηκοστῷ ἑβδόμῳ Ψαλμῷ, Χριστοῦ λέγοντος ἐν προφήταις· (αὐτὸς γὰρ ὁ λαλῶν [τότε], ὕστερον παρεγένετο)(6)· « Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, » ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου » (7). Καὶ μετ' ὀλίγα· « Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος » (8). Οὐκ εἶπεν, [*Ἐγενήθην*] *ἄνθρωπος ἀβοήθητος· ἀλλ' ὡσεὶ*

(1) Σοφον. Γ', 8.
(2) Αὐτόθι, 9.
(3) Αὐτόθι.
(4) Αὐτόθι, 10.
(5) Πράξ. Ἀποστόλ. Η', 27.
(6) Ἡσ. ΝΒ', 6. Ἡ διόρθωσις ἐκ τοῦ ΒΤ.—Μ, (αὐτὸς γὰρ ὁ λαλῶν ὕστερον παραγίνεται ἄνθρωπος.
(7) Ψαλμ. ΠΖ', 2.
(8) Αὐτόθι, 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄνθρωπος ἀβοήθητος. Καὶ γὰρ ἐσταυρώθη, οὐκ ἐξ ἀσθενείας, ἀλλ' ἐκουσίως· καὶ οὐκ ἐξ ἀσθενείας ἀκουσίου ἦν ὁ θάνατος. « Προσε- » λογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον » (1). Καὶ τί τὸ σύσσημον; « Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ » (2)· πε- φεύγασι γὰρ οἱ μαθηταί (3)· « Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; » (4)· εἶτα μετ' ὀλίγα· « Καὶ ἐγὼ Κύριε πρὸς σὲ ἐκέκραξα, καὶ τὸ » πρωῒ ἡ προσευχή μου προφθάσει σε » (5). Βλέπεις πῶς δηλοῦσι καὶ τὸν καιρὸν τῆς ὥρας, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως. Καὶ πόθεν ἐγήγερται σωτήρ; Λέγει ἐν τοῖς Ἄσμασι τῶν Ἀσμάτων· « Ἀνάστα, ἐλθὲ πλησίον μου » (6)· καὶ ἐν τοῖς ἑξῆς· « Ἐν σκέπῃ » τῆς πέτρας » (7). Σκέπην τῆς πέτρας εἶπε, τὴν τότε πρὸ τῆς θύρας τοῦ σωτηρίου μνήματος οὖσαν σκέπην· καὶ ἐξ αὐτῆς τῆς πέ- τρας, καθὼς σύνηθες ἐνταῦθα γίνεσθαι πρὸ τῶν μνημάτων, λελα- ξευμένην. Νῦν γὰρ οὐ φαίνεται, ἐπειδὴ τότε ἐξεκολάφθη τὸ προ- σκέπασμα, διὰ τὴν παροῦσαν εὐκοσμίαν. Πρὸ γὰρ τῆς βασιλικῆς φιλοτιμίας τῆς κατασκευῆς τοῦ μνήματος, σκέπη ἦν ἔμπροσθεν τῆς πέτρας. Ἀλλὰ ποῦ ἐστιν ἡ πέτρα ἡ ἔχουσα τὴν σκέπην; Ἆρα περὶ τὰ μέσα τῆς πόλεως κεῖται, ἢ περὶ τὰ τείχη, καὶ τὰ τελευ- ταῖα; καὶ πότερον ἐν τοῖς ἀρχαίοις τείχεσίν ἐστιν, ἢ τοῖς ὕστε- ρον γενομένοις προτειχίσμασι; Λέγει τοίνυν ἐν τοῖς Ἄσμασιν· « Ἐν σκέπῃ τῆς πέτρας, ἐχόμενα τοῦ προτειχίσματος » (8).

ε'. Ποίῳ καιρῷ ἐγείρεται ὁ Σωτήρ; ἆρα θέρους ὁ καιρός, ἢ ἄλ- λος; Ἐν αὐτοῖς τοῖς Ἄσμασιν ἀνωτέρω τῶν εἰρημένων εὐθὺς λέ- γει· « Ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς παρῆλθεν ἑαυτῷ, καὶ ἐπο- » ρεύθη (9)· τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ· καιρὸς τῆς τομῆς ἔφθασεν » (10). Ἆρα οὐχὶ νῦν ἡ γῆ ἀνθῶν πλήρης, καὶ τέμνουσι τὰς ἀμπέλους;

(1) Ψαλμ. ΠΖ', 5.
(2) Αὐτόθι, 9.
(3) Ματθ. ΚϚ', 56.
(4) Ψαλμ. ΠΖ', 11.
(5) Αὐτόθι, 14.
(6) Ἄσμ. Ἀσμάτ. Β', 10.
(7) Αὐτόθι, 14.
(8) Ἄσμ. Ἀσμ. Β', 14.—Ἀντικατέστησα τὴν ῥῆσιν ἐκ τῆς Γραφῆς, καὶ κατὰ τὸ ΒΤ. —Μ, « ἐν σκέπῃ τοῦ προτειχίσματος ἐχόμενα τῆς πέτρας. »
(9) Ἐν μὲν ἀμφοτέροις, ΒΤ καὶ Μ, οὕτως· ἐν δὲ τῷ ἱερῷ κειμένῳ· « Ὁ χειμὼν πα- ρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ. »
(10) Ἄσμ. Ἀσμ. Β', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁρᾷς ὅπως καὶ τὸν χειμῶνα εἶπε λοιπὸν παρελθόντα; Ξανθικοῦ [γὰρ] τούτου τοῦ μηνὸς ἐνεστῶτος, ἔαρ ἐστὶ λοιπόν. Ὁ δὲ καιρὸς ἐστιν οὗτος, ὁ μὴν ὁ παρ' Ἑβραίοις πρῶτος, ἐν ᾧ ἡ ἑορτὴ τοῦ Πάσχα τοῦ προτέρου τυπικοῦ, νῦν δὲ ἀληθινοῦ. Οὗτος ὁ καιρὸς τῆς τοῦ κόσμου δημιουργίας. Τότε γὰρ εἶπεν ὁ Θεός· « Ἐξαγαγέτω ἡ γῆ »βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα » (1). Καὶ νῦν, ὡς ὁρᾷς, λοιπὸν πᾶσα βοτάνη σπερματίζει. Καὶ ὥσπερ τότε ὁ Θεος ποιήσας ἥλιον καὶ σελήνην, ἰσημερινοὺς αὐτοῖς ἐχαρίσατο δρόμους, οὕτω καὶ πρὸ ὀλίγων ἡμερῶν ἰσημερίας ἦν ὁ καιρός. Τότε εἶπεν ὁ Θεός· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ » ὁμοίωσιν » (2). Καὶ τὸ μὲν κατ' εἰκόνα ἔλαβε (3), τὸ δὲ καθ' ὁμοιότητα διὰ τὴν παρακοὴν ἡμαύρωσεν (4). Ἐν τῷ καιρῷ οὖν ᾧ ἀπώλεσε τοῦτο, ἐν τούτῳ καὶ διόρθωσις ἐγένετο. Ὅτε ὁ κατασκευασθεὶς ἄνθρωπος παρακούσας ἐξεβλήθη τοῦ παραδείσου, τότε ὁ πιστεύσας, ὑπακούσας εἰσηνέχθη. Τότε τοίνυν γέγονεν ἡ σωτηρία, ὅτε γέγονεν ἡ ἀπόπτωσις· « Ὅτε τὰ ἄνθη ὤφθη, καὶ ἡ τομὴ ἔφθασε » (5). Κῆπος ἦν ὁ τόπος τῆς ταφῆς (6)· καὶ ἄμπελος ἡ φυτευθεῖσα· « Καὶ ἐγώ εἰμι ἡ ἄμπελος » εἴρηκεν (7). Ἐφυτεύθη οὖν ἐν τῇ γῇ, ἵνα ἐκριζωθῇ ἡ διὰ τὸν Ἀδὰμ γενομένη κατάρα. Ἀκάνθας καὶ τριβόλους κατεδικάσθη ἡ γῆ (8)· ἀνέτειλεν ἐκ τῆς γῆς [ἡ] ἄμπελος [ἡ ἀληθινὴ], ἵνα πληρωθῇ τὸ εἰρημένον· « Ἀλήθεια » ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε » (9). Καὶ τί μέλλει λέγειν ὁ θαπτόμενος ἐν τῷ κήπῳ; « Ἐτρύγησα » σμύρναν μου μετὰ ἀρωμάτων μου » (10)· καὶ πάλιν· « Σμύρνα καὶ » ἀλόη μετὰ πρώτων πάντων ἀρωμάτων » (11). Ταῦτα δὲ τοῦ ἐν-

(1) Γενές. Α', 11.
(2) Γενές. Α', 26.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, ἐλάβομεν,
(4) Αὐτόθεν.—Μ, ἠμαυρώσαμεν.
(5) Ἆσμα Ἀσμ. Β', 12.
(6) Ἰωάν. ΙΘ', 41.
(7) Ἰωάν. ΙΕ', 1.
(8) Γενές. Γ', 18.
(9) Ψαλμ. ΠΑ', 12.
(10) Ἆσμα Ἀσμ. Ε', 1.
(11) Ἆσμα Ἀσμ. Δ', 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταφιασμοῦ τὰ σύμβολα. Καὶ ἐν τοῖς εὐαγγελίοις εἴρηται· « Ἦλθον » [αἱ γυναῖκες] εἰς τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα »(1)· « Καὶ ὁ Νικόδημος φέρων μίγμα σμύρνης καὶ ἀλόης» (2). Καὶ ἑξῆς γέγραπται· « Ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου» (3)· τὸ πικρὸν πρὸ τοῦ πάθους, καὶ τὸ γλυκὺ μετὰ τὴν ἀνάστασιν. Εἶτα ἀναχὰς, εἰσῆλθε διὰ θυρῶν κεκλεισμένων (4)· ἀλλ' ἠπιστεῖτο· « Ἐδόκουν » γὰρ πνεῦμα θεωρεῖν » (5). Ὁ δὲ, *ψηλαφήσατέ με*, φησὶ, *καὶ ἴδετε* (6)· βάλλετε τοὺς δακτύλους εἰς τὸν τύπον τῶν ἥλων (7), ὡς ἐπεζήτει (8) Θωμᾶς. « Καὶ ἔτι ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χα- » ρᾶς καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθά- » δε; οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισ- » σίου κηρίου » (9). Βλέπεις πῶς πεπλήρωται τὸ « Ἔφαγον ἄρτον » μου μετὰ μέλιτός μου » (10).

ς'. Ἀλλὰ πρὸ τοῦ εἰσελθεῖν διὰ τῶν θυρῶν κεκλεισμένων (11), ἐζητεῖτο ὑπὸ τῶν ἁγίστων ἐκείνων καὶ ἀνδρείων γυναικῶν ὁ νυμφίος, καὶ ὁ τῶν ψυχῶν θεραπευτής. Ἦλθον αἱ μακάριαι ἐπὶ τὸν τάφον, καὶ ἐζήτουν τὸν ἐγηγερμένον, καὶ ἔταξεν αὐτῶν ἔτι τὰ δάκρυα ἐκ τῶν ὀφθαλμῶν (12)· δέον μᾶλλον εὐφραίνεσθαι καὶ χορεύειν ἐπὶ τῷ ἀναστάντι. Ἦλθεν ἡ Μαριὰμ ζητοῦσα κατὰ τὸ Εὐαγγέλιον, καὶ οὐχ ηὗρηκε· καὶ μετὰ ταῦτα ἤκουσε παρὰ τῶν ἀγγέλων, καὶ ὕστερον εἶδε τὸν Χριστόν (13). Ἆρα καὶ ταῦτα γέγραπται; Λέγει τοίνυν ἐν Ἄσμασι τῶν Ἀσμάτων· « Ἐπὶ κοίτην μου

(1) Λουκ. ΚΔ', 1.
(2) Ἰωάν. ΙΘ', 39.
(3) Ἆσμα Ἀσμ. Ε', 1.
(4) Ἰωάν. Κ', 19.
(5) Λουκ. ΚΔ', 37.
(6) Αὐτόθ. 39
(7) Ἰωάν. Κ', 25, 27.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, ὧν ἐπεζήτει
(9) Λουκ. ΚΔ', 41 καὶ 42.
(10) Ἆσμα Ἀσμ. Ε', 1.
(11) Ἰωάν. Κ', 19 καὶ 26.
(12) Ματθ. ΚΗ', 1.—Λουκ. ΚΔ', 5.
(13) Ἰωάν. Κ', 1, 13, 14 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

»ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου» (1). Ποίῳ καιρῷ; «Ἐπὶ »κοίτην μου ἐν νυξὶν ἐζήτησα, ὃν ἠγάπησεν ἡ ψυχή μου» (Μαρία, φησίν, ἦλθεν ἔτι οὔσης σκοτίας (2)). *Ἐπὶ κοίτην μου ἐζήτησα ἐν νυξίν.* «Ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν» (3) καὶ ἐν Εὐαγγελίοις φησὶν ἡ Μαριάμ· «Ἦραν τὸν Κύριόν μου καὶ οὐκ οἶδα ποῦ τέ»θεικαν αὐτόν» (4). Ἀλλὰ οἱ ἄγγελοι παρόντες τότε, θεραπεύουσι τὰς ἀγνωσίας· ἔλεγον γὰρ, «Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;» (5). Οὐ μόνον ἀνέστη, ἀλλὰ καὶ νεκροὺς ἔχων ἀνέστη. Ἠγνόει δὲ ἐκείνη, καὶ ἔλεγεν ἐκ προσώπου αὐτῆς τὸ Ἄσμα τῶν Ἀσμάτων πρὸς τοὺς ἀγγέλους· «Μὴ, ὃν ἠγάπησεν ἡ ψυχή μου, ἴδετε; »ὡς μικρὸν, ὅτε παρῆλθον (6) [ἀπ'] αὐτῶν» (τουτέστι, τῶν δύο ἀγγέλων) «ἕως οὗ εὗρον (7) ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐκράτησα »αὐτὸν, καὶ οὐκ ἀφῆκα αὐτόν» (8). Μετὰ γὰρ τὴν ὀπτασίαν τῶν ἀγγέλων, αὐτάγγελος Ἰησοῦς ἦλθε, καὶ φησὶ τὸ Εὐαγέλιον· «Καὶ »ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων· Χαίρετε. Αἱ δὲ προσελ»θοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας» (9). *Ἐκράτησαν αὐτὸν,* ἵνα πληρωθῇ, τὸ *Κρατήσω αὐτὸν, καὶ οὐκ ἀφήσω αὐτόν.* Ἀσθενὲς μὲν [ἦν] τῆς γυναικὸς τὸ σῶμα, ἀνδρεῖον δὲ τὸ φρόνημα. Ὕδωρ πολὺ οὐκ ἔσβεσε τὴν ἀγάπην, οὐδὲ ποταμοὶ συνέκλυσαν. Νεκρὸς ὁ ζητούμενος, ἀλλ' οὐκ ἐσβέσθη τῆς ἀναστάσεως ἡ ἐλπίς. Καὶ ὁ ἄγγελος πρὸς αὐτὰς λέγει πάλιν· «Μὴ φοβεῖσθε ὑμεῖς» (10). Οὐ λέγω τοῖς στρατιώταις τὸ, *μὴ φοβεῖσθε,* ἀλλ' ὑμῖν. Ἐκεῖνοι φοβείσθωσαν, ἵνα πεῖρα μαθόντες μαρτυρήσωσι, καὶ εἴπωσιν· «Ἀληθῶς »Θεοῦ υἱὸς ἦν» (11)· ὑμᾶς δὲ οὐ χρὴ φοβηθῆναι· «Ἡ γὰρ τελεία

(1) Ἄσμα Ἀσμ. Γ', 1.
(2) Ἰωάν. Κ', 1.
(3) Ἄσμα Ἀσμ. Γ', 1.
(4) Ἰωάν. Κ', 13.
(5) Λουκ. ΚΔ', 5.
(6) Μ, παρῆλθεν
(7) Μ, εὗρεν
(8) Ἀσμ. Ἀσμ. Γ', 3—4.
(9) Ματθ. ΚΗ', 9.
(10) Ματθ. ΚΗ', 5.
(11) Ματθ. ΚΖ', 54.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ἀγάπη ἔξω βάλλει τὸν φόβον» (1)· « Πορευθεῖσαι εἴπατε τοῖς μα-» θηταῖς αὐτοῦ, ὅτι ἠγέρθη», (2) καὶ τὰ ἑξῆς. Καὶ ἀναχωροῦσιν ἐκεῖ-ναι μετὰ χαρᾶς ἔμφοβοι. (3) Ἆρα καὶ τοῦτο γέγραπται; Λέγει τοί-νυν ὁ δεύτερος ψαλμός, ὁ τὸ πάθος τοῦ Χριστοῦ διαγορεύων· « Δου-» λεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ» (4)· ἀγαλλιᾶσθε μὲν διὰ τὸν ἀναστάντα Κύριον· ἐν τρόμῳ δὲ, διὰ τὸν σεισμὸν, καὶ τὸν ἄγγελον τὸν ὡς ἀστραπὴν φανέντα (5).

Ζ'. Ἐσφράγισαν μὲν οὖν ἀρχιερεῖς καὶ Φαρισαῖοι διὰ Πιλά-του (6) τὸν τάφον· αἱ δὲ γυναῖκες ἐθεάσαντο τὸν ἀναστάντα. Καὶ γινώσκων Ἡσαΐας ἀρχιερέων μὲν τὸ εὐτελὲς, τῶν δὲ γυναι-κῶν τὸ στερρὸν τῆς πίστεως, λέγει· « Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας » δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν » (7). Ἀρχιερεῖς ἀσυνε-τοῦσι, καὶ γυναῖκες αὐτοπτοῦσι. Καὶ ἐλθόντων τῶν στρατιωτῶν πρὸς αὐτοὺς εἰς τὴν πόλιν, καὶ ἀπαγγειλάντων πάντα τὰ γενό-μενα, εἶπον αὐτοῖς· « Εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλ-» θόντες, ἔκλεψαν αὐτὸν, ἡμῶν κοιμωμένων » (8). Καλῶς ἄρα καὶ τοῦτο, ὡς ἐξ αὐτῶν προεῖπεν Ἡσαΐας· « Ἀλλὰ λέγετε ἡμῖν, καὶ » ἀπαγγείλατε ἡμῖν ἑτέραν πλάνησιν » (9). Ἐγήγερται ὁ ἀναξ, καὶ διδόασιν ἀργύριον. Πείθουσι τοὺς στρατιώτας, ἀλλ' οὐ πεί-θουσι τοὺς νῦν βασιλεῖς. Οἱ τότε μὲν στρατιῶται, ἀργυρίῳ προ-δεδώκασι τὴν ἀλήθειαν· οἱ δὲ νῦν βασιλεῖς δι' εὐσέβειαν, ἀργυρέν-δυτον καὶ χρυσοκόλλητον τὴν ἁγίαν ἐκκλησίαν ταύτην, ἐν ᾗ πά-ρεσμεν, τῆς τοῦ Σωτῆρος Θεοῦ Ἀναστάσεως, ἐξειργάσαντο· καὶ τοῖς ἐξ ἀργύρου καὶ χρυσοῦ [καὶ λίθων τιμίων] κειμηλίοις ἐφαί-δρυναν. « Κἂν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν » αὐτόν » (10)· καὶ εἰ ἐκείνους πείθετε, τὴν δὲ οἰκουμένην οὐ

(1) Α' Ἰωάν. Δ', 18.
(2) Ματθ. ΚΗ', 7.
(3) Μάρκ. ΙΣ', 8.
(4) Ψαλμ. Β', 11.
(5) Ματθ. ΚΗ', 2 καὶ 3.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, διὰ Πιλάτον
(7) Ἡσ. ΚΖ', 11.
(8) Ματθ. ΚΗ', 11—13.
(9) Ἡσ. Α', 10.
(10) Ματθ. ΚΗ', 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πείθετε (1). Διὰ τί [γὰρ], ὥς περ τοῦ Πέτρου ἐξελθόντος ἐκ τῆς φυλακῆς οἱ φύλακες [κατεδικάζοντο] (2), οὕτω καὶ οἱ τὸν [Ἰησοῦν] Χριστὸν τηροῦντες οὐ κατεδικάσθησαν; ἀλλ' ἐκείνοις μὲν ἐπῆλθεν ἡ καταδίκη παρὰ Ἡρώδου, ἀπολογήσασθαι γὰρ οὐχ εὗρισκον ἐξ ἀγνοίας· οὗτοι δὲ τὴν ἀλήθειαν ἰδόντες (3), καὶ ταύτην κρύπτοντες διὰ τὸ ἀργύριον, ἀπὸ (4) τῶν ἀρχιερέων διεσώζοντο. Ἀλλ' ὀλίγοι μὲν ἐπείσθησαν Ἰουδαίων τότε, ὁ κόσμος δὲ ὑπήκουσεν· οἱ κρύψαντες τὴν ἀλήθειαν, κατεκρύφθησαν· καὶ οἱ καταδεξάμενοι ταύτην, ἀνεφάνησαν δυνάμει τοῦ Σωτῆρος, τοῦ μὴ μόνον ἐκ νεκρῶν ἀναστάντος, ἀλλὰ καὶ μεθ' ἑαυτοῦ τοὺς νεκροὺς ἐγείραντος. Ὧν ἐκ προσώπου σαφῶς ὁ προφήτης Ὡσηέ φησιν· « Ὑ-» γιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ» (5).

ἡ. Ἐπειδὴ δὲ οὐ πείθουσιν αἱ θεῖαι Γραφαὶ τοὺς ἀνικάνους Ἰουδαίους, ἐπιλαθόμενοι δὲ πάντων τῶν γεγραμμένων ἀντιλέγουσι τῇ ἀναστάσει τοῦ Ἰησοῦ, καλὸν ἂν εἴη πρὸς αὐτοὺς οὕτως ἀντειπεῖν· Τίνι τῷ λόγῳ τὸν Ἐλισσαῖον καὶ τὸν Ἠλίαν νεκροὺς ἐγηγερκέναι λέγοντες (6), τῇ ἀναστάσει τοῦ ἡμετέρου Σωτῆρος ἀντιλέγετε; ὅτι νῦν ἆρα ζῶντας ἐκ τῶν τότε μάρτυρας οὐκ ἔχομεν τῶν λεγομένων; οὐκοῦν καὶ ὑμεῖς παραστήσατε τῶν τότε γεγονότων μάρτυρας. Ἀλλ' ἔγγραφον ἐκεῖνο· καὶ τοῦτο ἔγγραφον. Διὰ τί οὖν τὸ μὲν ἀποδέχεσθε, τὸ δὲ ἀποδοκιμάζετε; Ἑβραῖοι ἔγραψαν ἐκεῖνα· καὶ οἱ Ἀπόστολοι πάντες Ἑβραῖοι. Διὰ τί οὖν τοῖς Ἰουδαίοις ἀπιστεῖτε; Ματθαῖος ὁ γράψας τὸ Εὐαγγέλιον, Ἑβραΐδι γλώσσῃ τοῦτο ἔγραψε· καὶ Παῦλος ὁ κήρυξ, Ἑβραῖος ἐξ Ἑβραίων· καὶ οἱ δώδεκα Ἀπόστολοι, ἐξ Ἑβραίων. Εἶτα δεκαπέντε Ἱεροσολυμῖται ἐπίσκοποι, ἐξ Ἑβραίων κατὰ διαδοχὴν κατέσχησαν (7).

---

(1) Μ, τὴν δὲ οἰκουμένην γὰρ οὐ πείθετε.
(2) Πράξ. Ἀποστόλ. ΙΒ', 19.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, εἰπόντες,
(4) Γραπτέον ἴσ. ὑπὸ
(5) Ὡσηὲ Ϛ', 2.
(6) Γ' Βασιλ. ΙΖ', 17 κ' ἑπόμ.— καὶ Δ' Βασιλ. Δ', 20 καὶ ἑπόμ.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, Εἶτα δὲ καὶ Ἱεροσολυμῖται ἐπίσκοποι ἐξ Ἑβραίων κατὰ διαδοχὴν καταστάντες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τίνι τοίνυν τῷ λόγῳ, ἀποδέχεσθε μὲν τὰ οἰκεῖα, τὰ δὲ ἡμέτερα ἀποδοκιμάζετε· καὶ ταῦτα ὑπὸ τῶν παρ' ὑμῖν Ἑβραίων γεγραμμένα; Ἀλλ' ἀδύνατον, λέγει τις, τὸ ἀναστῆναι νεκρούς. Καὶ μὴν ἤγειρεν Ἐλισσαῖος δίς, καὶ ζῶν (1) καὶ τελευτήσας (2). Εἶτα, πιστεύομεν ὅτι Ἐλισσαίου νεκροῦ ὄντος ἅψατο νεκρὸς ἐπιῤῥιφεὶς, καὶ ἀνέστη· Χριστὸς δὲ ἆρα ἐκ νεκρῶν οὐκ ἐγήγερται; Ἀλλ' Ἐλισσαίου μὲν ἐκεῖ νεκρὸς ἁψάμενος ἀνέστη, καὶ αὐτὸς ὁ ἀναστήσας ἔμεινεν ὁμοίως νεκρός· ὧδε δὲ, καὶ ὁ νεκρὸς ὁ ἡμέτερος ἀνέστη, καὶ πολλοὶ μηδὲ ἁψάμενοι αὐτοῦ νεκροὶ ἀνέστησαν. «Πολλὰ γὰρ »σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη· καὶ ἐξελθόντες ἐκ τῶν »μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν» (δῆλον δὲ, ὅτι ταύτην, ἐν ᾗ νῦν ἐσμὲν), «καὶ ἐνεφανίσθησαν πολ»λοῖς» (3). Ἤγειρε μὲν οὖν Ἐλισσαῖος νεκρὸν, ἀλλ' οὐκ ἐκράτησεν οἰκουμένης. Ἤγειρεν Ἠλίας νεκρὸν, ἀλλ' οὐκ ἐν τῷ ὀνόματι Ἠλία δαίμονες ἀπελαύνονται. Οὐ κακῶς λέγομεν τοὺς προφήτας, ἀλλὰ τὸν Δεσπότην τὸν ἐκείνων μειζόνως ἀνυμνοῦμεν. Οὐ γὰρ ἐκεῖνα κακίζοντες, τὰ ἡμέτερα σεμνύνομεν· ἡμέτερα γὰρ κἀκεῖνα· ἀλλ' ἐκ τῶν παρ' αὐτοῖς τὰ ἡμέτερα πιστοποιοῦμεν.

Θ'. Ἀλλὰ πάλιν λέγουσιν, ὅτι νεκρὸς μὲν, ὁ πρόσφατον τότε τελευτήσας, ὑπὸ τοῦ ζῶντος ἐγήγερται· δείξατε δὲ ἡμῖν ὅτι ἐγχωρεῖ νεκρὸν τριήμερον ἀναστῆναι, καὶ ἐγχωρεῖ ἄνθρωπον ταφέντα, μετὰ τρεῖς ἡμέρας ἀναστῆναι. Ζητούντων δὲ ἡμῶν τὴν περὶ τούτων μαρτυρίαν, ἔδωσιν ἡμῖν ταύτην αὐτὸς ὁ Κύριος Ἰησοῦς ἐν Εὐαγγελίοις, λέγων· «Ὡς γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους »τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώ»που ἐν τῇ καρδίᾳ τῆς γῆς, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας» (4). Ἐξεταζόντων δὲ ἡμῶν τὴν κατὰ τὸν Ἰωνᾶν διήγησιν, πολλὴ τῆς ὁμοιότητός ἐστιν ἡ ἐνέργεια. Ἰησοῦς ἀπεστάλη μετάνοιαν κηρύξαι· καὶ Ἰωνᾶς ἀπεστάλη. Ἀλλ' ὁ μὲν ἔφυγεν, ἀγνοῶν τὸ ἐσόμενον· ὁ δὲ ἑκουσίως παραγέγονεν ἐπὶ μετανοίᾳ τῆς σωτηρίας. Ἰωνᾶς ἐκά-

(1) Δ' Βασιλ. Δ', 20 κ' ἑπόμ.
(2) Δ' Βασιλ. ΙΓ, 21.
(3) Ματθ. ΚΖ', 53.
(4) Ματθ. ΙΒ', 40.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θευδεν ἐν τῷ πλοίῳ, καὶ ἔρεγχε θαλάσσης χειμαζομένης· καὶ Ἰησοῦ καθεύδοντος, κατ οἰκονομίαν ἐπεγείρετο ἡ θάλασσα, πρὸς τὸ γνωσθῆναι μετὰ ταῦτα τοῦ καθεύδοντος τὴν δύναμιν. Ἐκείνῳ ἔλεγον· «Τί σὺ ῥέγχεις; ἀνάστηθι, ἐπικαλοῦ τὸν Θεόν σου, ἵνα διασώσῃ »ἡμᾶς ὁ Θεός» (1)· ὧδε λέγουσι τῷ Δεσπότῃ· «Κύριε σῶσον ἡμᾶς» (2). Ἐκεῖ εἶπον, τὸ *Ἐπικαλοῦ τὸν Θεόν σου* καὶ ὧδε, *Σῶσον*. Ἀλλ' ἐκεῖνος μὲν λέγει, «Ἄρατέ με, καὶ ἐμβάλετε εἰς τὴν θάλασσαν, » καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν» (3)· ὧδε αὐτὸς «Ἐπετίμη»σε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη» (4). Κἀκεῖνος μὲν ἐβλήθη εἰς κοιλίαν κήτους (5)· οὗτος δὲ κατῆλθεν ἑκουσίως, ὅπου τὸ νοητὸν τοῦ θανάτου κῆτος· ἑκουσίως δὲ κατῆλθεν, ἵνα ἐξεμέσῃ τοὺς καταποθέντας ὁ θάνατος, κατὰ τὸ γεγραμμένον· «Ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτούς, καὶ ἐκ χειρὸς θανά»του λυτρώσομαι αὐτούς» (6). Ἐνταῦθα γενόμενοι τοῦ λόγου, σκοπήσωμεν ποῖόν ἐστι δυσκολώτερον· ἄνθρωπον ταφέντα ἀπὸ γῆς ἀναστῆναι· ἢ ἄνθρωπον ἐν κοιλίᾳ κήτους, καὶ εἰς τοσαύτην θερμότητα τοῦ ζώου κατελθόντα, μὴ σαπῆναι; Τίς οὐκ οἶδεν ἀνθρώπων, ὅτι τοσαύτην θέρμην ἔχουσιν αἱ γαστέρες, ὡς καὶ ὀστέα καταποθέντα διασήπειν; πῶς τοίνυν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας ὢν [καὶ τρεῖς νύκτας] οὐ σέσηπεν (7); Πῶς δὲ καὶ φύσεως οὔσης ἅπασιν ἀνθρώποις, χωρὶς ἀναπνοῆς τῆς ἐν ἀέρι ταύτης, μὴ δύνασθαι ζῆν [ἡμᾶς], ἐκεῖνος ἐν τρισὶν ἡμέραις οὐκ ἀναπνέων τὸν ἀέρα τοῦτον ἔζησεν; Ἀλλ' ἀποκρίνονται Ἰουδαῖοι καὶ λέγουσι· Συγκατέβη τῷ Ἰωνᾷ ἡ δύναμις τοῦ Θεοῦ ἐν ᾅδῃ κλονουμένῳ. Εἶτα, δούλῳ μὲν οἰκείῳ συμπέμπων τὴν δύναμιν, παρέχει τὸ ζῆν ὁ Κύριος· αὐτὸς δὲ ἑαυτῷ παρασχεῖν ἆρα οὐ δύναται; εἰ πιστὸν ἐκεῖνο, καὶ τοῦτο πιστόν· εἰ τοῦτο ἄπιστον, κἀκεῖνο ἄπιστον· ἐμοὶ μὲν γὰρ ἀμφότερα ὁμοίως πιστά. Πιστεύω γὰρ

(1) Ἰων. Α', 6.
(2) Ματθ. Η', 25.
(3) Ἰων. Α', 12.
(4) Ματθ. Η', 26.
(5) Ἰων. Α', 13, καὶ Β', 1.
(6) Ὡσηὲ ΙΓ', 14.
(7) Ἐκ τοῦ ΒΓ.—Μ, τοῦ κήτους ὢν τρεῖς ἡμέρας οὐ σέσηπεν;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅτι καὶ Ἰωνᾶς διεφυλάχθη· « Πάντα γὰρ δυνατὰ παρὰ τῷ Θεῷ » (1). Πιστεύω ὅτι καὶ Χριστὸς ἐκ νεκρῶν ἐγήγερται· πολλὰς γὰρ ἔχω τὰς περὶ τούτου μαρτυρίας, ἔκ τε τῶν θείων Γραφῶν καὶ ἐκ τῆς μέχρι σήμερον τοῦ ἀναστάντος ἐνεργείας (2)· τοῦ μόνου μὲν καταβάντος εἰς ᾅδην, πολλοστοῦ δὲ ἀναβάντος. Κατῆλθε γὰρ εἰς τὸν θάνατον, « Καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη » (3) δι' αὐτοῦ.

ί. Ἐξεπλάγη ὁ θάνατος θεωρήσας καινόν τινα κατελθόντα εἰς ᾅδην, δεσμοῖς τοῖς αὐτόθι μὴ κατεχόμενον (4). Τίνος ἕνεκεν, ὦ πυλωροὶ ᾅδου, τοῦτον ἰδόντες ἐπτήξασθε (5); Τίς ὁ κατέχων ἡμᾶς ἀσυνήθης φόβος ; Ἔφυγεν ὁ θάνατος, καὶ φυγὴ τὴν δειλίαν ἠλέγχετο. Προσέτρεχον οἱ ἅγιοι προφῆται, καὶ Μωϋσῆς ὁ νομοθέτης, καὶ Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, Δαβίδ τε καὶ Σαμουὴλ, καὶ Ἡσαΐας, καὶ ὁ βαπτιστὴς Ἰωάννης, ὁ λέγων καὶ μαρτυρῶν· « Σὺ εἶ » ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν (6);» Ἐλυτροῦντο πάντες οἱ δίκαιοι, οὓς κατέπιεν ὁ θάνατος· ἔδει γὰρ τὸν κηρυχθέντα βασιλέα, τῶν καλῶν κηρύκων γενέσθαι λυτρωτήν. Εἶτα ἕκαστος τῶν δικαίων ἔλεγε· « Ποῦ σου, θάνατε, τὸ νῖκος; ποῦ σου, ᾅδη, τὸ κέντρον; » (7)· ἐλυτρώσατο γὰρ ἡμᾶς ὁ νικοποιός. Τούτου τοῦ Σωτῆρος ἡμῶν τὸν τύπον ἐτέλει ὁ προφήτης Ἰωνᾶς, ἐκ κοιλίας κήτους προσευχόμενος καὶ λέγων· « Ἐβόησα ἐν θλίψει μου· » καὶ ἐξῆς· « Ἐκ κοιλίας » ᾅδου » (8). Καὶ μὴν ἐν τῷ κήτει ἦν· ἀλλ' ἐν τῷ κήτει ὢν, ἐν τῷ ᾅδῃ ἑαυτὸν εἶναι λέγει. Τύπος γὰρ ἦν Χριστοῦ, τοῦ μέλλοντος εἰς ᾅδην καταβαίνειν. Καὶ μετ' ὀλίγα φησὶν ἐκ προσώπου τοῦ Χριστοῦ, λευκότατα προφητεύων· « Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς » ὀρέων » (9). Καὶ μὴν ἐν γαστρὶ κήτους ἦν. Ποῖα οὖν ὄρη σε

(1) Ματθ. ΙΘ', 26.
(2) Μ, τοῦ ἀναστάντος μαρτυρίας καὶ ἐνεργείας·
(3) Ματθ. ΚΖ', 52.
(4) Πράξ. Ἀποστόλ. Β', 24.
(5) Ἰὼβ ΑΗ', 17.
(6) Ματθ. ΙΑ', 3.
(7) Α' πρὸς Κορινθίους ΙΕ', 55. — Ησ. ΚΕ', 8. — Ὡσηὲ ΙΓ', 14.
(8) Ἰων. Β', 2.
(9) Αὐτόθι, 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔχει ; Ἀλλ' οἶδα, φησίν, ὅτι τύπον ἔχω τοῦ μέλλοντος ἐν τῷ λαξευτῷ μνήματι τῆς πέτρας τίθεσθαι· [Καὶ] ἐν τῇ θαλάσσῃ ὢν Ἰωνᾶς, λέγει· «Κατέβην εἰς γῆν» (1)· ἐπειδὴ τύπον ἔφερε τοῦ Χριστοῦ [τοῦ] καταβάντος εἰς τὴν καρδίαν τῆς γῆς. Καὶ προορῶν περὶ τῶν Ἰουδαίων τῶν ἀναπειθόντων (2) τοὺς στρατιώτας ψεύσασθαι, καὶ λεγόντων· «Εἴπατε ὅτι ἔκλεψαν αὐτὸν» (3), φησί· «Φυ» λασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτῶν ἐγκατέλιπον» (4). Ἦλθε γὰρ ὁ ἐλεῶν αὐτούς, καὶ ἐσαυρώθη, καὶ ἀνέστη· δοὺς ἑαυτοῦ τὸ αἷμα τὸ τίμιον ὑπὲρ Ἰουδαίων τε καὶ ἐθνῶν. Κἀκεῖνοι λέγουσιν, *Εἴπατε ὅτι ἔκλεψαν αὐτὸν*, φυλασσόμενοι μάταια καὶ ψευδῆ. Περὶ δὲ τῆς ἀναστάσεως αὐτοῦ καὶ Ἡσαΐας φησὶν, «Ὁ ἀνα» γαγὼν ἐκ γῆς ποιμένα τῶν προβάτων τὸν μέγαν» (5). Προσέθηκε, *τὸν μέγαν*, ἵνα μὴ τοῖς προλαβοῦσι ποιμέσιν ἰσότιμος εἶναι νομισθῇ.

ια'. Ἐχόντων τοίνυν ἡμῶν τὰς προφητείας, ἡ πίστις παρ' ἡμῖν ἔστω. Πιπτέτωσαν οἱ πίπτοντες ἐξ ἀπιστίας, ἐπειδὴ θέλουσι. Σὺ δὲ ἔστηκας ἐπὶ τὴν πέτραν τῆς πίστεως τῆς περὶ τῆς ἀναστάσεως· μή ποτέ σέ τις αἱρετικὸς πείσῃ δυσφημῆσαι τὴν ἀνάστασιν. Μέχρι γὰρ σήμερον Μανιχαῖοι λέγουσι, φαντασιώδη καὶ οὐκ ἀληθῆ τοῦ Σωτῆρος τὴν ἀνάστασιν γεγονέναι· παρακούοντες Παύλου τοῦ γράφοντος· «Τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρ» κα» (6). Καὶ πάλιν ἐξῆς λέγοντος· «Ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ » Χριστοῦ τοῦ Κυρίου ἡμῶν» (7). Καὶ πάλιν ἀποτείνει πρὸς αὐτούς, καὶ λέγει· «Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου» (8), καὶ τὰ ἑξῆς· «Ἢ » τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τοῦτ' ἔστι Χριστὸν ἐκ νεκρῶν » ἀναγαγεῖν» (9). Καὶ ὁμοίως ἀσφαλιζόμενος ἀλλαχοῦ, πάλιν

(1) Ἰων. Β', 7.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, τῶν ἀπειθούντων
(3) Ματθ. ΚΗ', 13.
(4) Ἰων. Β', 9.
(5) Ἡσ. ΞΓ', 11. —Πρὸς Ἑβρ. ΙΓ', 20.
(6) Πρὸς Ῥωμ. Α', 3.
(7) Αὐτόθι, 4.
(8) Πρὸς Ῥωμ. Ι', 6.
(9) Αὐτόθι, 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔγραφε· «Μνημονεύετε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν» (1)· καὶ πάλιν· «Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγ»μα ἡμῶν, κενὴ καὶ ἡ πίστις ἡμῶν. Εὑρισκόμεθα δὲ καὶ ψευδο»μάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ, ὅτι ἠ»γειρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν» (2). Ἀλλ' ἐξῆς φησι· «Νῦν »δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων (3). »Καὶ ὤφθη Κηφᾷ (4), ἔπειτα τοῖς δώδεκα» (5)· εἰ γὰρ τῷ ἑνὶ μάρτυρι οὐ πιστεύεις, ἔχεις δώδεκα μάρτυρας· «Ἔπειτα ὤφθη »ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ» (6). Εἰ τοῖς δώδεκα ἀπι»στοῦσι, τοὺς πεντακοσίους δεχέσθωσαν· «Ἔπειτα ὤφθη Ἰακώ»βῳ» (7), τῷ ἑαυτοῦ μὲν ἀδελφῷ, ἐπισκόπῳ δὲ πρώτῳ τῆς παροι»κίας ταύτης. Τοιούτου τοίνυν ἐπισκόπου πρωτοτύπως ἰδόντος ἀνα»στάντα τὸν Χριστὸν Ἰησοῦν, σὺ ὁ τούτου μαθητὴς μὴ ἀπιστήσῃς. Ἀλλὰ λέγεις ὅτι ὁ ἀδελφὸς Ἰάκωβος πρὸς χάριν ἐμαρτύρησεν· «Ἔπειτα καὶ ἐμοὶ ὤφθη» Παύλῳ, τῷ ἐχθρῷ (8). Ποία δὲ παρὰ ἐχθροῦ μαρτυρία κηρύσσοντος ἀμφιβάλλεται; Ὁ πρότερον διώκτης, νῦν εὐαγγελίζομαι τὴν ἀνάστασιν (9).

ιϐ'. Πολλοὶ μάρτυρές εἰσι τῆς τοῦ Σωτῆρος ἀναστάσεως. Νὺξ μὲν, καὶ πανσέληνον φῶς· ἑκκαιδεκάτη γὰρ ἡ νὺξ ἦν. Πέτρα τοῦ μνήματος, ἡ ὑποδεξαμένη· καὶ ὁ λίθος ἀντικαταστήσεται εἰς πρόσωπον Ἰουδαίων, αὐτὸς γὰρ εἶδε τὸν Κύριον. Καὶ ὁ λίθος ὁ τότε ἀποκυλισθεὶς (10), αὐτὸς μαρτυρήσει τῇ ἀναστάσει, μέχρι σήμερον κείμενος. Ἄγγελοι Θεοῦ παρόντες ἐμαρτύρησαν τῇ ἀναστάσει τοῦ Μονογενοῦς (11). Πέτρος καὶ Ἰωάννης, καὶ Θωμᾶς, καὶ οἱ λοι-

(1) Β' πρὸς Τιμόθ. Β', 8.
(2) Α' πρὸς Κορινθ. ΙΕ', 14—15.
(3) Αὐτόθι, 20.
(4) Αὐτόθι, 5.
(5) Μ, ἕνδεκα·
(6) Α' πρὸς Κορινθ. ΙΕ', 6.
(7) Αὐτόθι, 7.
(8) Αὐτόθι, 8.
(9) Α' πρὸς Τιμόθ. Α', 13.
(10) Ματθ. ΚΗ', 2.
(11) Λουκ. ΚΔ', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποὶ πάντες ἀπόστολοι (1)· [οἱ] μὲν ἐπὶ τὸ μνῆμα δραμόντες, καὶ τὰ ὀθόνια τῆς ταφῆς, οἷς ἐνετυλίχθη πρότερον, αὐτόθι κείμενα μετὰ τὴν ἀνάστασιν ἰδόντες, οἱ δὲ τὰς χεῖρας καὶ τοὺς πόδας ψηλαφήσαντες καὶ τοὺς τύπους τῶν ἥλων θεωρήσαντες· ὁμοῦ δὲ πάντες τοῦ σωτηριώδους ἐμφυσήματος ἀπολαύσαντες, καὶ τοῦ συγχωρεῖν ἁμαρτίας ἐν δυνάμει Πνεύματος ἁγίου καταξιωθέντες (2). Γυναῖκες, αἱ κρατήσασαι τοὺς πόδας (3)· τοῦ τε σεισμοῦ τὸ μέγεθος, καὶ τοῦ παρόντος ἀγγέλου τὴν λαμπηδόνα θεωρήσασαι (4). [Καὶ τὰ ὀθόνια], ἃ περιβαλλόμενος κατέλιπεν ἀναστάς (5). Οἱ στρατιῶται, καὶ τὸ ἀργύριον τὸ δοθέν (6). Ὁ τόπος αὐτὸς ἔτι φαινόμενος. Καὶ ὁ τῆς ἁγίας ἐκκλησίας οὗτος οἶκος, ὁ τῷ φιλοχρίστῳ προαιρέσει τοῦ ἐπὶ τῆς μακαρίας μνήμης Κωνσταντίνου [τοῦ] βασιλέως οἰκοδομηθείς τε, καὶ, ὡς ὁρᾷς, οὕτω φαιδρυνθείς. Μαρτυρεῖ τῇ ἀναστάσει τοῦ Ἰησοῦ καὶ ἡ ἐν τῷ ὀνόματι αὐτοῦ ἐκ νεκρῶν ἐγερθεῖσα Ταβιθά (7)· πῶς γὰρ ἀπιστηθήσεται Χριστὸς ἀναστὰς, ὅπου τε καὶ τὸ ὄνομα αὐτοῦ νεκροὺς ἤγειρε; Μαρτυρεῖ τῇ ἀναστάσει τοῦ Ἰησοῦ καὶ ἡ θάλασσα, καθὼς πρότερον ἤκουσας· μαρτυρεῖ καὶ ἡ τῶν ἰχθύων ἄγρα, καὶ ἡ ἀνθρακιὰ ἡ κειμένη, καὶ τὸ ὀψάριον τὸ ἐπικείμενον (8). Μαρτυρεῖ καὶ Πέτρος, ὁ πρότερον μὲν [τρὶς] ἀρνησάμενος, τὸ δὲ τρίτον ὁμολογήσας, καὶ ποιμαίνειν τὰ νοητὰ πρόβατα προσταχθείς (9). Ἕστηκε μέχρι σήμερον ὁ Ἐλαιὼν, τὸν ἐπὶ νεφέλης ἀναβάντα (10) τοῖς τῶν πιστῶν ὀφθαλμοῖς μονονουχὶ δεικνύων μέχρι σήμερον, καὶ τὴν οὐράνιον τῆς ἀνόδου πύλην (11). Εἰς μὲν γὰρ Βηθλεὲμ, ἐξ οὐρανῶν κατελήλυθεν· ἐκ δὲ τοῦ ὄρους

(1) Ἰωάν. Κ', 4, 6, 7.
(2) Αὐτόθι, 22. κ' ἑπόμ.
(3) Ματθ. ΚΗ', 9.
(4) Αὐτόθι, 2. καὶ 3.
(5) Ἰωάν. Κ', 6, 7.
(6) Ματθ. ΚΗ', 11—15.
(7) Πράξ. Ἀποστόλ. Θ', 40.
(8) Ἰωάν. ΚΑ', 6—9.
(9) Αὐτόθι, 15 κ' ἑπόμ.
(10) Πράξ. Ἀποστόλ. Α', 9—12.
(11) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ τὴν οὐρανίου τῆς ἀνόδου κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν Ἐλαιῶν εἰς οὐρανοὺς ἀνελήλυθεν· ἐκεῖθεν [μὲν εἰς ἀνθρώπους] τῶν ἀγώνων (1) ἀρξάμενος, ἐνταῦθα δὲ ἐπὶ τοῖς ἀγῶσι στεφανούμενος. Πολλοὺς οὖν ἔχεις τοὺς μάρτυρας· ἔχεις ἀναστάσεως τὸν τόπον τοῦτον· ἔχεις καὶ τὸν ἐξ ἀνατολῆς ἡμῶν τόπον τῆς ἀναβάσεως· ἔχεις καὶ μάρτυρας τοὺς ἐκεῖ μαρτυρήσαντας ἀγγέλους· καὶ τὴν νεφέλην ἣς ἐπέβη, καὶ τοὺς ἐκεῖθεν κατελθόντας μαθητάς (2).

ιγ'. Καὶ ἡ μὲν ἀκολουθία τῆς διδασκαλίας τῆς πίστεως (3) προέτρεπεν εἰπεῖν καὶ τὰ περὶ τῆς ἀναλήψεως· ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ᾠκονόμησε πληρέστατά σε ἀκοῦσαι, κατὰ τὴν ἡμετέραν ἀσθένειαν, τῇ χθὲς ἡμέρᾳ κατὰ τὴν Κυριακὴν, κατ' οἰκονομίαν τῆς θείας χάριτος, ἐν τῇ Συνάξει τῆς τῶν ἀναγνωσμάτων ἀκολουθίας, τὰ περὶ τῆς εἰς οὐρανοὺς ἀνόδου τοῦ Σωτῆρος ἡμῶν περιεχούσης. Ἐλέγετο δὲ τὰ λεγόμενα, μάλιστα μὲν διὰ πάντας, καὶ διὰ τὸ τῶν πιστῶν ὁμοῦ πλῆθος· ἐξαιρέτως δὲ, διὰ σέ. Ζητεῖται δὲ εἰ προσέσχες τοῖς λεγομένοις. Οἶδας (4) γὰρ ὅτι ἡ ἀκολουθία τῆς Πίστεως διδάσκει σε πιστεύειν *εἰς τὸν ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθίσαντα ἐκ δεξιῶν τοῦ Πατρός*. Μάλιστα μὲν οὖν μνημονεύειν σε νομίζω τῆς ἐξηγήσεως· πλὴν ἐν παραδρομῇ καὶ νῦν ὑπομιμνήσκω σε τῶν εἰρημένων. Μνημόνευε τοῦ γεγραμμένου σαφῶς ἐν ψαλμοῖς· « Ἀνέβη ὁ Θεὸς ἐν » ἀλαλαγμῷ » (5). Μνημόνευε ὅτι καὶ αἱ θεῖαι Δυνάμεις ἔλεγον πρὸς ἀλλήλας· « Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν » (6), καὶ τὰ ἑξῆς. Μνημόνευε καὶ τοῦ ψαλμοῦ λέγοντος· « Ἀνέβη εἰς ὕψος, ἠχμα- » λώτευσεν αἰχμαλωσίαν » (7). Μνημόνευε τοῦ προφήτου εἰπόντος· « Ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν τὴν ἀνάβασιν αὐτοῦ » (8), καὶ τὰ λοιπὰ, ὅσα εἴρητο χθὲς, διὰ τὰς τῶν Ἰουδαίων ἀντιλογίας.

(1) Ἐκ τοῦ ΒΤ.—Μ, ἐκεῖθεν μετὰ τῶν ἀγώνων κτλ.
(2) Πράξ. Ἀποστόλ. Α', 10—12.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, ἀκολουθία τῆς πίστεως τῆς διδασκαλίας
(4) Αὐτόθεν.—Μ, οἶδα
(5) Ψαλμ. Μζ', 6.
(6) Ψαλμ. ΚΓ', 7.
(7) Ψαλμ. ΞΖ', 19. καὶ πρὸς Ἐφες. Δ', 8.
(8) Ἀμὼς Θ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὅταν γὰρ ὡς ἀδυνάτῳ τῇ τοῦ Σωτῆρος ἀναβάσει ἀντιλέγωσι, μνημόνευε τῶν περὶ τῆς μεταθέσεως τοῦ Ἀββακοὺμ εἰρημένων. Εἰ γὰρ ὁ Ἀββακοὺμ ὑπὸ ἀγγέλου μετετέθη, βασταχθεὶς ἀπὸ τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ (1), πολὺ μᾶλλον ὁ καὶ προφητῶν καὶ ἀγγέλων δεσπότης, ἐξ ὄρους Ἐλαιῶν νεφέλῃ ἐπιβάς, οἰκείᾳ δυνάμει ποιεῖσθαι τὴν εἰς οὐρανοὺς ἄνοδον δυνατώτερος ἦν. Καὶ τὰ μὲν ὅμοια μνημόνευε τῶν θαυμάτων, τὴν δὲ ὑπεροχὴν τήρει τῷ δεσπότῃ τῷ θαυματοποιῷ· οἱ μὲν γὰρ ἐβαςάζοντο, ὁ δὲ βαςάζει τὰ πάντα (2). Μνημόνευε ὅτι Ἐνὼχ μετετέθη (3), ἀλλ' Ἰησοῦς ἀνῆλθε. Μνημόνευε τῶν περὶ Ἠλίαν τῶν χθὲς εἰρημένων· ὅτι Ἠλίας μὲν [ἐν] ἅρματι πυρὸς ἀνελήφθη (4), Χριστοῦ δὲ τὸ ἅρμα, « Μυριοπλάσιον χιλιάδες εὐφημούντων » (5)· καὶ ὅτι Ἠλίας μὲν ἀνελήφθη πρὸς ἀνατολὰς τοῦ Ἰορδάνου (6), Χριστὸς δὲ πρὸς ἀνατολὰς τοῦ Χειμάῤῥου τῶν Κέδρων ἀνῆλθε· καὶ ὅτι ἐκεῖνος [ὡς εἰς οὐρανὸν, Ἰησοῦς δὲ εἰς οὐρανόν· καὶ ὅτι ἐκεῖνος] μὲν εἶπε, δοθήσεται διπλᾶ ἐν Πνεύματι τῷ ἁγίῳ μαθητῇ (7)· Χριστὸς δὲ τοσαύτην παρέσχε τοῖς [ἰδίοις] μαθηταῖς ἀπόλαυσιν χάριτος τοῦ ἁγίου Πνεύματος, ὥςτε μὴ μόνον αὐτὸ ἔχειν ἐν ἑαυτοῖς, ἀλλὰ καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτῶν, τῆς κοινωνίας αὐτοῦ μεταδιδόναι τοῖς πιςεύουσι (8).

ιδ'. Καὶ ὅταν οὕτω πρὸς Ἰουδαίους παλαίσῃς, ὅταν ἐξ ὁμοιότητος νικήσῃς, τότε ἐλθὲ λοιπὸν ἐπὶ τὴν ὑπεροχὴν τῆς τοῦ Σωτῆρος δόξης· ὅτι οἱ μὲν δοῦλοι, ὁ δὲ υἱὸς τοῦ Θεοῦ. Καὶ οὕτω δὲ τῆς ὑπεροχῆς μνημονεύσεις, ἐννοῶν ὅτι τοῦ Χριστοῦ δοῦλος ἡρπάγη ἕως τρίτου οὐρανοῦ. Εἰ γὰρ Ἠλίας μὲν ἕως πρώτου ἔφθασε, Παῦλος δὲ ἕως τρίτου οὐρανοῦ (9)· προτιμοτέρας (10) ἄρα τετύχηκε τῆς ἀξίας. Μὴ ἐπαισχυνθῇς τοῖς σοῖς Ἀποστόλοις. Οὐκ εἰσὶ χείρονες Μωϋσέως, οὐδὲ δεύτεροι τῶν προφητῶν· ἀλλὰ καλοὶ μετὰ καλῶν, καὶ καλῶν

(1) Δαν. ΙΒ', 36.
(2) Πρὸς Ἑβρ. Α', 3.
(3) Γεν. Ε', 24.
(4) Δ' Βασιλ. Β', 11.
(5) Ψαλμ. ΞΖ', 18.
(6) Δ' Βασιλ. Β', 11 κ' ἑπόμ.
(7) Αὐτόθι, 9.
(8) Πράξ. Ἀποστόλ. Η', 17—18.
(9) Β' πρὸς Κορινθ. ΙΒ', 2.
(10) Ἐκ τοῦ ΒΤ.—Μ, προτιμότερος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καλλίονες· Ἠλίας μὲν γὰρ ἀνελήφθη εἰς οὐρανόν· ἀλλὰ Πέτρος ἔχει τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, ἀκούσας· « Ὅσα ἂν λύσῃς ἐπὶ τῆς γῆς, ἔσαι λελυμένα ἐν τοῖς οὐρανοῖς » (1). Ἠλίας εἰς οὐρανὸν μόνον· Παῦλος δὲ καὶ εἰς οὐρανὸν, καὶ εἰς παράδεισον, (ἔπρεπε γὰρ τοὺς μαθητὰς τοῦ Ἰησοῦ πολυπλασίονα λαβεῖν τὴν χάριν·) « Ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι » (2). Κατέβη δὲ ὁ Παῦλος ἄνωθεν πάλιν, οὐχ ὅτι ἀνάξιος ἦν τῆς ἐν τῷ τρίτῳ οὐρανῷ διατριβῆς, ἀλλ' ἵνα ἀπολαύσας τῶν ὑπὲρ ἄνθρωπον καὶ ἔντιμος καταβὰς, καὶ Χριστὸν κηρύξας, καὶ ὑπεραποθανὼν αὐτοῦ, λάβῃ καὶ τὸν τοῦ μαρτυρίου στέφανον. Παρέλιπον δὲ τὰ λοιπὰ τῆς κατασκευῆς, τὰ χθὲς ἐπὶ τῆς Συνάξεως εἰρημένα τῆς Κυριακῆς· παρὰ γὰρ τοῖς συνετοῖς ἀκροαταῖς, αὐτάρκης μόνον καὶ ὑπόμνησις εἰς μάθησιν.

ιέ. Μέμνησο δὲ καὶ τῶν εἰρημένων μοι πολλάκις περὶ τοῦ ἐκ δεξιῶν τοῦ Πατρὸς καθέζεσθαι τὸν Υἱὸν, διὰ τὴν τῆς Πίστεως ἀκολουθίαν τὴν λέγουσαν· « *Καὶ ἀνελθόντα εἰς* [τοὺς] *οὐρανοὺς καὶ καθίσαντα ἐκ δεξιῶν τοῦ Πατρός* ». Θρόνου μὲν ἰδιότητα μὴ πολυπραγμονῶμεν· ἀκατάληπτον γάρ. Μήτε δὲ ἀνεχώμεθα τῶν λεγόντων κακῶς, ὅτι μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, τότε ἤρξατο τοῦ ἐκ δεξιῶν τοῦ Πατρὸς καθέζεσθαι ὁ Υἱός. Οὐ γὰρ ἐκ προκοπῆς ἔσχε τὸν θρόνον, ἀλλὰ ἀφ' οὗ πέρ ἐστιν (ἔστι δὲ (3) ἀεὶ γεννηθείς), καὶ συγκαθέζεται τῷ Πατρί. Καὶ τοῦτον τὸν θρόνον πρὸ τῆς ἐνσάρκου παρουσίας τοῦ Σωτῆρος ἐωρακὼς ὁ προφήτης φησὶν Ἡσαΐας· « Εἶδον τὸν Κύριον » καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου » (4), καὶ τὰ ἑξῆς. Τὸν Πατέρα μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε (5)· ὁ δὲ τῷ προφήτῃ τότε φανεὶς, Υἱὸς ἦν. Καὶ ὁ ψαλμῳδός φησιν· « Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ » (6). Πολλῶν οὐσῶν τῶν περὶ τούτου μαρτυριῶν, διὰ τὸ πολὺ (7) τῆς ὥρας ἀρκούμε-

(1) Ματθ. ΙΣ', 19. (2) Β' πρὸς Κορινθ. ΙΒ', 4.
(3) Ὁ δὲ ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, γάρ
(4) Ἡσ. Σ', 1.
(5) Ἰωάν. Α', 18. (6) Ψαλμ. ΡΒ', 2.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, διὰ τὸ βραδὺ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θα καὶ ταύταις. Νῦν δὲ ὑμᾶς ὑπομνηστέον ὀλίγων τῶν ἐκ πολλῶν εἰρημένων περὶ τοῦ ἐκ δεξιῶν τοῦ Πατρὸς καθέζεσθαι τὸν Υἱόν. Ὁ μὲν γὰρ ἑκατοστὸς ἔννατος ψαλμὸς σαφῶς φησιν· « Εἶπεν ὁ Κύ» ριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχ» θρούς σου ὑποπόδιον τῶν ποδῶν σου » (1). Βεβαιῶν δὲ ὁ Σωτὴρ τὸ εἰρημένον ἐν Εὐαγγελίοις, φησὶ τὸν Δαβὶδ, οὐκ ἀφ' ἑαυτοῦ ταῦτα, ἀλλ' ἐξ ἐπιπνοίας τοῦ ἁγίου Πνεύματος εἰρηκέναι, λέγων· « Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν » ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; » (2)· καὶ τὰ ἑξῆς. Καὶ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, ἐν τῇ τῆς Πεντηκοστῆς ἡμέρᾳ σταθεὶς ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, καὶ τοῖς Ἰσραηλίταις διαλεγόμενος, τῆς ἐν τῷ ἑκατοστῷ ἐννάτῳ ψαλμῷ ταύτης αὐτολεξεὶ τῆς μαρτυρίας ἐμνημόνευσεν (3). Ὑπομνηστέον δὲ καὶ ἄλλων ὀλίγων μαρτυριῶν ὁμοίως περὶ τοῦ ἐκ δεξιῶν (4) [τοῦ Πατρὸς] καθέζεσθαι τὸν Υἱόν. Ἐν μὲν γὰρ τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ γέγραπται· « Πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν Υἱὸν τοῦ » ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως » (5), καὶ τὰ ἑξῆς. Οἷς ἀκολούθως καὶ ὁ Ἀπόστολος Πέτρος φησὶ, γράφων· « Δι' ἀνα» στάσεως Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, πορευθεὶς » εἰς οὐρανόν » (6). Ὁ δὲ Ἀπόστολος Παῦλος, Ῥωμαίοις μὲν γράφων φησί· « Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθείς, ὅς καὶ » ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ » (7)· Ἐφεσίοις δὲ ἐπιστέλλων, οὕτως εἴρηκε· « Κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν » ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ καθίσας » ἐν δεξιᾷ αὐτοῦ » (8), καὶ τὰ ἑξῆς. Τοὺς δὲ ἐν Κολοσσαῖς οὕτως ἐδίδαξεν· « Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ » ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενος » (9). Ἐν δὲ τῇ

(1) Ψαλμ. ΡΘ', 1. (2) Ματθ. ΚΒ', 43—44.
(3) Πράξ. Ἀποστόλ. Β', 14, 34—35.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ὁμοίως τοῦ περὶ ἐκ δεξιῶν κτλ.
(5) Ματθ. ΚΤ', 64.
(6) Α' Πέτρ. Γ', 21.
(7) Πρὸς Ῥωμ. Η', 34.
(8) Πρὸς Ἐφεσ. Α', 19—20.
(9) Πρὸς Κολοσ. Γ', 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρὸς Ἑβραίους φησί· « Καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, » ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς » (1). Καὶ πάλιν· « Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε· Κάθου ἐκ δεξιῶν μου, » ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; » (2). Καὶ πάλιν· « Αὐτὸς δὲ μίαν ὑπὲρ πάντων προσενέγκας θυσίαν εἰς τὸ » διηνεκὲς, ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ· τὸ λοιπὸν ἐκδεχόμενος, » ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ » (3). Καὶ πάλιν· « Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειω- » τὴν Ἰησοῦν· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυ- » ρὸν, αἰσχύνης καταφρονήσας· ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ » κεκάθικε » (4). Καὶ ἄλλων δὲ οὐσῶν μαρτυριῶν περὶ τῆς ἐκ δε- ξιῶν τοῦ Θεοῦ καθέδρας τοῦ Μονογενοῦς, αὐτάρκεις ἡμῖν ἐν τῷ παρόντι καὶ αὗται· τὴν αὐτὴν πάλιν ἡμῶν ποιουμένων ὑπόμνησιν, ὅτι οὐ μετὰ τὴν ἔνσαρκον παρουσίαν τῆς καθέδρας ταύτην ἔσχε τὴν ἀξίαν, ἀλλὰ γὰρ καὶ πρὸ πάντων τῶν αἰώνων, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, Κύριος δὲ ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, τὸν ἐν δεξιᾷ τοῦ Πατρὸς ἀεὶ κατέχει θρόνον. Αὐτὸς δὲ ὁ τῶν ὅλων Θεὸς [ὁ] τοῦ Χριστοῦ Πατὴρ, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ καταβὰς, καὶ ἀναβὰς (5), καὶ τῷ Πατρὶ συγκαθεζόμενος, φυλάξειε τὰς ὑμετέ- ρας (6) ψυχάς· ἄσειστον ὑμῶν καὶ ἄτρεπτον τὴν ἐλπίδα τὴν εἰς τὸν ἀναστάντα διατηρήσειε· συνεξεγείρειεν ὑμᾶς ἐκ τῶν νεκρῶν ὑμῶν ἁμαρτημάτων, εἰς τὴν ἐπουράνιον αὐτοῦ δωρεάν· καταξιώσειεν ὑμᾶς ἁρπαγῆναι ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα ἐν καιρῷ εὐθέτῳ (7)· καὶ ἕως ὁ καιρὸς ἐκεῖνος ἔρχεται τῆς ἐνδόξου δευτέρας αὐτοῦ παρουσίας (8), ἐγγράψειεν ὑμῶν τὰ ὀνόματα πάντων ἐν βίβλῳ ζώντων, καὶ ἐγγράψας μηκέτι ἐξαλείψειε· πολ- λῶν γὰρ ἐξαλείφεται τῶν ἀποπιπτόντων (9). Παράσχοι δὲ τοῖς

(1) Πρὸς Ἑβρ. Α', 3. (2) Αὐτόθι, 13.
(3) Αὐτόθι, Γ', 12—13.
(4) Αὐτόθι, ΙΒ', 2.
(5) Πρὸς Ἐφεσ. Δ', 10.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, ἡμετέρας
(7) Α' πρὸς Θεσσαλ. Δ', 17.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, τῆς εὐθέτου καὶ ἐνδόξου δευτέρας κτλ.
(9) Ψαλμ. ΞΗ', 29.—Ἀποκάλ. Ἰωάν. Γ', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πᾶσιν ὑμῖν (1) πιστεύειν [μὲν] εἰς τὸν ἀναστάντα, ἐκδέχεσθαι δὲ τὸν ἀνελθόντα καὶ πάλιν ἐρχόμενον· (ἐρχόμενον δὲ οὐκ ἀπὸ γῆς. Ἀσφαλίζου γὰρ, ἄνθρωπε, σεαυτὸν διὰ τοὺς μέλλοντας ἔρχεσθαι πλάνους.) τὸν ἄνω καθεζόμενον, καὶ ἡμῖν ὧδε συμπαρόντα· τὸν ἑκάστου βλέποντα τὴν τάξιν, καὶ τὸ στερέωμα τῆς πίστεως (2). Μὴ γὰρ, ὅτι σαρκὶ νῦν ἄπεστι, παρὰ τοῦτο νομίσῃς, ὅτι καὶ πνεύματι. Μέσος ἐνταῦθα πάρεστιν (3), ἀκούων τὰ περὶ αὐτοῦ λεγόμενα, καὶ βλέπων τὰ ἐν σοὶ νοούμενα, καὶ ἐτάζων νεφροὺς καὶ καρδίας (4). Ὃς καὶ νῦν ἕτοιμός ἐστι τοὺς προσιόντας τῷ βαπτίσματι, καὶ πάντας ὑμᾶς (5) ἐν ἁγίῳ Πνεύματι προσενέγκαι τῷ Πατρὶ, καὶ εἰπεῖν· « Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν (6) » ὁ Θεός » (7)· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΙΕ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα εἰς τὸ, ΚΑΙ ΕΡΧΟΜΕΝΟΝ ΚΡΙΝΑΙ ΖΩΝΤΑΣ ΚΑΙ ΝΕΚΡΟΥΣ· [ΟΥ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΟΥΚ ΕΣΤΑΙ ΤΕΛΟΣ·] *καὶ περὶ τοῦ Ἀντιχρίστου· καὶ ἀνάγνωσις ἐκ τοῦ Δανιὴλ· « Ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο »* (8)· *καὶ ἑξῆς· « Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, » καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, » ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος »* (9), *καὶ τὰ ἑξῆς.*

ά. ΧΡΙΣΤΟΥ παρουσίαν καταγγέλλομεν, οὐ μίαν μόνον, ἀλλὰ καὶ δευτέραν τῆς προτέρας πολὺ καλλίονα. Ἡ μὲν γὰρ, ὑπομονῆς

(1) Ἐκ τοῦ ΒΤ.—Μ. τοῖς πᾶσιν ἡμῖν
(2) Πρὸς Κολοσ. Β', 5.
(3) Ἰωάν. Α', 26.
(4) Ψαλμ. Ζ', 10. καὶ Ἀποκάλ. Ἰωάν. Β', 23.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, πάντας ἡμᾶς
(6) Μ, ἅμοι ἔδωκας ὁ Θεός·
(7) Ἡσ. Η', 18. καὶ πρὸς Ἑβρ. Β', 13.
(8) Δανιὴλ Ζ', 9.
(9) Αὐτόθι, 13.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶχεν ἐπίδειξιν (1), ἡ δὲ θείας βασιλείας φέρει τὸ διάδημα. Ὡς γὰρ ἐπὶ τὸ πλεῖστον, πάντα διπλᾶ παρὰ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. Διπλῆ γέννησις· μία ἐκ τοῦ Θεοῦ πρὸ τῶν αἰώνων, καὶ μία ἐκ παρθένου [ἐπὶ συντελείᾳ τῶν αἰώνων]· διπλαῖ αἱ κάθοδοι, μία ἡ ἀσυμφανὴς, ἡ ὡς ἐπὶ πόκον (2)· καὶ δευτέρα ἡ ἐπιφανὴς, ἡ μέλλουσα. Ἐν τῇ προτέρᾳ παρουσίᾳ, ἐσπαργανώθη ἐν τῇ φάτνῃ (3)· ἐν τῇ δευτέρᾳ, ἀναβάλλεται « τὸ φῶς ὡς ἱμάτιον» (4). Ἐν τῇ προτέρᾳ «ὑπέμεινε » σταυρὸν, αἰσχύνης καταφρονήσας » (5)· ἐν τῇ δευτέρᾳ, ἔρχεται ὑπὸ στρατιᾶς ἀγγέλων δορυφορούμενος [καὶ] δοξαζόμενος (6). Οὐχ ἱστάμεθα τοίνυν (7) ἐπὶ τῇ πρώτῃ παρουσίᾳ μόνον, ἀλλὰ καὶ τὴν δευτέραν προσδοκῶμεν. Καὶ ἐν τῇ προτέρᾳ μὲν εἰπόντες « Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου » (8), καὶ ἐν τῇ δευτέρᾳ ἐροῦμεν πάλιν τὸ αὐτὸ (9)· ἵνα μετ' ἀγγέλων συναντήσαντες τῷ δεσπότῃ (10), προσκυνοῦντες εἴπωμεν· « Εὐλογημένος ὁ ἐρχόμενος » ἐν ὀνόματι Κυρίου» (11). Ἔρχεται ὁ Σωτὴρ, οὐ δικασθῆναι πάλιν, ἀλλὰ δικάσαι τοὺς δικάσαντας. Ὁ πρότερον ἐν τῷ κρίνεσθαι σιωπήσας (12), ὑπομιμνήσκων λέγει τοῖς παρανόμοις, [τοῖς] τὰ τολμηρὰ ἐπὶ τοῦ σταυροῦ πεποιηκόσι· «Ταῦτα ἐποίησας, καὶ ἐσίγησα» (13). Δι' οἰκονομίαν τότε ἦλθε, σὺν πειθοῖ διδάσκων ἀνθρώπους· τότε δὲ καὶ ἀνάγκῃ βασιλευθήσονται, κἂν μὴ θέλωσι. Καὶ περὶ τῶν δύο τούτων παρουσιῶν λέγει Μαλαχίας ὁ προφήτης· «Καὶ ἐξαί- » φνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε » (14). Ἰδοὺ μία παρουσία. Καὶ πάλιν περὶ τῆς δευτέρας παρουσίας φησί·

(1) Ἐκ τοῦ ΒΤ.—Μ, ὑπόδειξιν,
(2) Ψαλμ. ΟΑ', 6.
(3) Λουκ. Β', 7.
(4) Ψαλμ. ΡΓ', 2.
(5) Πρὸς Ἑβρ. ΙΒ', 2.
(6) Ματθ. ΚΕ', 31.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, Οὐχ ἱστάμεθα νῦν
(8) Ματθ. ΚΑ', 9.
(9) Αὐτόθι, ΚΓ', 39.
(10) Α' πρὸς Θεσσαλ. Δ', 16—17.
(11) Μάρκ. ΙΑ', 9—11.
(12) Ματθ. ΚϚ', 62—63. καὶ ΚΖ', 12.
(13) Ψαλμ. ΜΘ', 21.
(14) Μαλαχ. Γ', 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ἡμεῖς ζητεῖτε, ἰδοὺ ἔρχεται » Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ ; » ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰσπορεύε- » ται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων· καὶ καθιεῖται » χωνεύων καὶ καθαρίζων » (1). Καὶ ἑξῆς εὐθὺς ὁ Σωτὴρ φησιν αὐτός· « Καὶ προσάξω πρὸς ὑμᾶς ἐν κρίσει· καὶ ἔσομαι μάρτυς τα- » χὺς ἐπὶ τοὺς φαρμακοὺς, καὶ ἐπὶ τὰς μοιχαλίδας, καὶ ἐπὶ τοὺς » ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει » (2), καὶ τὰ ἑξῆς. Διὰ τοῦτο προασφαλιζόμενος ἡμᾶς (3) ὁ Παῦλος φησίν· « Εἴ τις ἐποι- » κοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν καὶ ἄργυρον, καὶ λί- » θους τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν » γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτε- » ται » (4). Ἤδη καὶ ὁ Παῦλος τὰς δύο παρουσίας ταύτας σημαίνει, γράφων πρὸς Τίτον, καὶ λέγων· « Ἐπεφάνη ἡ χάρις τοῦ » Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρ- » νησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως » καὶ εὐσεβῶς καὶ δικαίως ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμε- » νοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγά- » λου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ » (5). Βλέπεις ὅπως εἶπε πρώτην μὲν, ἐφ' ᾗ (6) εὐχαριστεῖ· δευτέραν δὲ, ἣν προσδοκῶμεν. Διὰ τοῦτο καὶ τὰ τῆς Πίστεως τῆς ἐπαγγελλομένης ὑφ' ἡμῶν (7) νῦν οὕτω παρεδόθη, πιστεύειν εἰς τὸν (8) « *Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθίσαντα ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐρχόμενον ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας* (9) *οὐκ ἔσται τέλος.*

Ϛ'. Ἔρχεται τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐξ οὐρανῶν.

---

(1) Μαλαχ. Γ', 1—3.
(2) Αὐτόθι, 5.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, ὑμᾶς,
(4) Α' πρὸς Κορινθ. Γ', 12—13.
(5) Πρὸς Τίτ. Β', 11—13.
(6) Γραπτέον ἴσ. ἐφ' ᾗ
(7) Ἐκ τοῦ ΒΤ.—Μ, ἐφ' ἡμῶν.
(8) Αὐτόθεν.—Μ, εἰς τὸ,
(9) Ἐκ τοῦ ΒΓ.—Μ, Οὗ τῆς βασιλείας αὐτοῦ οὐκ ἔστι κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἔρχεται δὲ περὶ τὴν συντέλειαν τοῦ κόσμου τούτου μετὰ δόξης, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Γίνεται γὰρ τοῦ κόσμου τούτου συντέλεια, καὶ ὁ γενητὸς οὗτος ὁ κόσμος πάλιν ἀνακαινοποιεῖται. Ἐπειδὴ γὰρ [καὶ] φθορὰ, καὶ κλοπὴ, καὶ μοιχεία, καὶ πᾶν εἶδος ἁμαρτιῶν ἐχύθη ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασιν ἐμίγη ἐν τῷ κόσμῳ (1)· ἵνα οὖν μὴ μείνῃ τὸ θαυμαστὸν τοῦτο οἰκητήριον ἀνομίας πεπληρωμένον, παρέρχεται ὁ κόσμος οὗτος, ἵνα ὁ καλλίων ἀναδειχθῇ. Καὶ θέλεις λαβεῖν τὴν ἀπόδειξιν ἀπὸ τῶν ῥητῶν; Ἄκουε Ἡσαΐου λέγοντος· « Καὶ εἰληθήσεται ὡς βιβλίον ὁ οὐρανὸς, καὶ πάντα τὰ » ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου, καὶ ὡς πίπτει φύλλα » ἀπὸ συκῆς » (2). Καὶ τὸ Εὐαγγέλιόν φησιν· « Ὁ ἥλιος σκοτισθή- » σεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες » πεσοῦνται ἐκ τοῦ οὐρανοῦ » (3). Μὴ λυπηθῶμεν ὡς μόνοι τελευτῶντες· καὶ ἀστέρες τελευτῶσιν (4), ἀλλ' ἴσως πάλιν ἐγείρονται· Εἰλίσσει δὲ τοὺς οὐρανοὺς ὁ Κύριος, οὐχ ἵνα ἀπολέσῃ τούτους· ἀλλ' ἵνα αὐτοὺς πάλιν καλλίονας ἐγείρῃ. Ἄκουε Δαβὶδ τοῦ προφήτου λέγοντος· « Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ » ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ » διαμένεις » (5). Ἀλλ' ἐρεῖ τις· Ἰδὲ, λέγει σαφῶς ὅτι *ἀπολοῦν-*ται (6). [Ἄκουε πῶς λέγει τὸ ἀπολοῦνται]· διὰ τῶν ἑξῆς δῆλον· « Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον » ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται » (7). Ὡς περ γὰρ ἀπώλεια ἀνθρώπου λέγεται κατὰ τὸ εἰρημένον· « Ἴδετε ὡς ὁ δίκαιος ἀ- » πώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ » (8), καὶ ταῦτα τῆς ἀναστάσεως προσδοκωμένης· οὕτως ἀνάστασιν ὡς περ προσδοκῶμεν καὶ τῶν οὐρανῶν. « Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ » ἡ σελήνη εἰς αἷμα » (9). Παιδευέθωσαν οἱ ἐκ Μανιχαίων ἐπιτρέ-

(1) Ὡσηὲ Δ', 2.
(2) Ἡσ. ΛΔ', 4. (3) Ματθ. ΚΔ', 29.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ ἀστέρες τελευτῶντες,
(5) Ψαλμ. ΡΑ', 26—27.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, Ἀλλ' ἐρεῖ τις, τί δὲ λέγει σαφῶς τὸ ἀπολοῦνται;
(7) Ψαλμ. ΡΑ', 27.
(8) Ἡσ. ΝΖ', 1.
(9) Ἰωὴλ Β', 31. καὶ Πράξ. Ἀποστόλ. Β', 20.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ψαντες, καὶ τοὺς φωστῆρας μηκέτι θεοποιείτωσαν· μηδὲ τὸν σκοτισθησόμενον τοῦτον ἥλιον, τὸν Χριστὸν εἶναι δυσσεβῶς νομιζέτωσαν. Καὶ πάλιν ἄκουε τοῦ Κυρίου λέγοντος· « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν » (1). Οὐ γὰρ ἰσότιμα τὰ ποιήματα τοῖς λόγοις τοῦ δεσπότου. Παρέρχεται τοίνυν τὰ φαινόμενα, καὶ ἔρχεται τὰ προσδοκώμενα, τὰ τούτων καλλίονα· ἀλλὰ τὸν καιρὸν μηδεὶς πολυπραγμονείτω· « Οὐ γὰρ ὑμῶν [φησὶν] ἐστὶ γνῶναι χρόνους ἢ καιροὺς, οὓς ἔθετο ὁ πατὴρ ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ » (2). Καὶ μὴ τολμήσῃς ἀποφήνασθαι τὸ, πότε ταῦτα γίνεται· μήτε πάλιν ὑπτίως κοιμηθῇς· « Ἀγρυπνεῖτε γὰρ, φησὶν, ὅτι ὥρᾳ ἧ οὐ προσδοκᾶτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται » (3).

γ'. [Ἀλλ'] ἐπειδὴ ἔδει ἡμᾶς γνῶναι τῆς συντελείας τὰ σημεῖα, καὶ ἐπειδὴ Χριστὸν προσδοκῶμεν· ἵνα μὴ ἀποθάνωμεν ἀπατηθέντες, καὶ ὑπὸ τοῦ ψευδοῦς Ἀντιχρίστου πλανηθῶμεν· θείᾳ προαιρέσει κινηθέντες, κατ' οἰκονομίαν οἱ Ἀπόστολοι προσέρχονται τῷ ἀληθινῷ διδασκάλῳ, καὶ φασίν· « Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ συντελείας τοῦ αἰῶνος; (4) ». Προσδοκῶμέν σε πάλιν ἐρχόμενον, ἀλλ' « ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός» (5)· ἀσφάλισαι οὖν ἡμᾶς, ἵνα μὴ ἄλλον ἀντὶ σοῦ προσκυνήσωμεν. Ὁ δὲ τὸ θεῖον αὐτοῦ καὶ μακάριον ἀνοίξας στόμα, λέγει· « Βλέπετε μή τις ὑμᾶς πλανήσῃ » (6). Καὶ ὑμεῖς οἱ ἀκροαταὶ, νῦν τοῖς τῆς διανοίας ὀφθαλμοῖς ὡς ἐκεῖνον ὁρῶντες, τὰ αὐτὰ καὶ πρὸς ὑμᾶς ἀκούετε λέγοντος· *Βλέπετε μή τις ἡμᾶς πλανήσῃ*· καὶ παρακαλεῖ πάντας ὑμᾶς ὁ λόγος προσέχειν τοῖς λεγομένοις. Οὐ γὰρ ἱστορία παρελθόντων ἐστὶ πραγμάτων, ἀλλὰ προρητεία μελλόντων καὶ πάντως ἡξόντων· οὐχ ἡμῶν προρητευόντων, ἀνάξιοι γάρ· ἀλλὰ τῶν γεγραμμένων εἰς μέσον προσφερομένων, καὶ λεγομένων τῶν σημείων. Βλέπε σὺ, τίνα μὲν γέγονεν ἤδη, τίνα δὲ ἔτι λείπει, καὶ ἀσφαλίζου σεαυ-

(1) Ματθ. ΚΔ', 35.
(2) Πράξ. Ἀποστόλ. Α', 7.
(3) Ματθ. ΚΔ', 42—44.
(4) Ματθ. ΚΔ', 3.
(5) Β' πρὸς Κορινθ. ΙΑ', 14.
(6) Ματθ. ΚΔ', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τόν· «Βλέπετε μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ » τῷ ὀνόματί μου λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς πλα- » νήσουσι» (1). Ταῦτα γέγονεν ἐκ μέρους· ἤδη γὰρ τοῦτο (2) εἴ- ρηκε Σίμων ὁ Μάγος, καὶ Μένανδρος, καὶ ἄλλοι τινὲς τῶν ἀθέων αἱρεσιαρχῶν. Ἐροῦσι δὲ ἐφ' ἡμῶν, ἢ καὶ μεθ' ἡμᾶς ἕτεροι. Δεύτερον σημεῖον· « Μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων » (3). Γίνεται δὲ ἆρα νῦν Περσῶν πρὸς Ῥωμαίους περὶ τὴν Μεσοπο- ταμίαν πόλεμος, ἢ οὔ; Ἐγείρεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν, ἢ οὔ; « Καὶ ἔσονται λιμοὶ καὶ λοιμοί, καὶ σεισμοὶ » κατὰ τόπους» (4). Ταῦτα ἤδη γέγονε. Καὶ πάλιν· « Φόβητρά » τε ἀπ' οὐρανοῦ » (5), καὶ μεγάλοι χειμῶνες· « Γρηγορεῖτε οὖν, » φησὶν, ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ ὁ Κύριος ἡμῶν ἔρχεται » (6).

δ'. Ἀλλὰ ζητοῦμεν τῆς παρουσίας ἡμέτερον σημεῖον· ἐκκλησια- στικὸν ζητοῦμεν οἱ ἐκκλησιαστικοί. Ὁ δὲ Σωτὴρ φησι· « Καὶ τότε » σκανδαλισθήσονται πολλοὶ, καὶ ἀλλήλους παραδώσουσι, καὶ » μισήσουσιν ἀλλήλους » (7) Ἐὰν ἀκούσῃς ὅτι ἐπίσκοποι κατ' ἐπι- σκόπων, καὶ κληρικοὶ κατὰ κληρικῶν, καὶ λαοὶ κατὰ λαῶν μέχρις αἵματος ἔρχονται, μὴ ταραχθῇς· προγέγραπται γάρ (8). Μὴ πρό- σεχε τοῖς νῦν γενομένοις, ἀλλὰ τοῖς γεγραμμένοις. Οὔτε ἂν ἐγὼ ὁ διδάσκων σε ἀπόλωμαι, καὶ σύ μοι συναπολῇ· ἀλλ' ἔξεστι καὶ ἀκροατὴν καλλίονα γενέσθαι τοῦ διδασκάλου, καὶ τὸν ἔσχατον ἐλθόντα γενέσθαι πρῶτον· ἐπειδὴ καὶ τοὺς περὶ τὴν ἑνδεκάτην ὥ- ραν δέχεται ὁ Δεσπότης (9). Εἰ ἐν ἀποστόλοις εὑρέθη προδοσία, θαυμάζεις εἰ καὶ (10) ἐν ἐπισκόποις εὑρίσκεται μισαδελφία; ἀλλ' οὐ μόνον περὶ τῶν ἀρχόντων τὸ σημεῖον, ἀλλὰ καὶ περὶ τῶν λαῶν· φησὶ γάρ· «Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται τῶν

(1) Ματθ. ΚΔ', 4—5.
(2) Ἐκ τοῦ ΒΓ.—Μ, ταῦτα
(3) Ματθ. ΚΔ', 6.
(4) Ματθ. ΚΔ', 7.
(5) Λουκ. ΚΑ', 11. (6) Ματθ. ΚΔ', 42.
(7) Αὐτόθι, 10.
(8) Ἐκ τοῦ ΒΓ.—Μ, γέγραπται γάρ,
(9) Ματθ. Κ', 16. καὶ αὐτόθι, 6, 9.
(10) Ἐκ τοῦ ΒΓ.—Μ, θαυμάζεις καὶ εἰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» πολλῶν ἡ ἀγάπη » (1). Καυχᾶσεταί τις ἆρα τῶν παρόντων, ἀνυπόκριτον ἔχειν πρὸς τὸν πλησίον τὴν φιλίαν; Οὐχὶ τὰ μὲν χείλη πολλάκις φιλεῖ, καὶ τὸ πρόσωπον μειδιᾷ, καὶ οἱ ὀφθαλμοὶ δῆθεν ἱλαροί· ἡ δὲ καρδία τεκταίνεται δόλον, [καὶ] κατασκευάζει κακὰ λαλῶν εἰρηνικά (2); Ἔχεις καὶ τοῦτο τὸ σημεῖον· «Καὶ » κηρυχθήσεται τὸ Εὐαγγέλιον τοῦτο τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰ» κουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέ» λος » (3). Καὶ σχεδὸν, ὡς ὁρῶμεν, ὁ κόσμος ἅπας τῆς περὶ Χριστοῦ διδασκαλίας πεπλήρωται. Καὶ τί μετὰ τοῦτο γίνεται; φησὶν ἑξῆς· «Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥη» θὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγι» νώσκων νοείτω» (4). Καὶ πάλιν· «Τότε, ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ » ὧδε ὁ Χριστὸς, ἢ ἰδοὺ ἐκεῖ, μὴ πιστεύσητε » (5). Ἡ μισαδελφία δίδωσι λοιπὸν χώραν τῷ Ἀντιχρίστῳ. Προετοιμάζει γὰρ ὁ διάβολος τὰ σχίσματα τῶν λαῶν, ἵνα εὐπαράδεκτος γένηται ὁ ἐρχόμενος. Μὴ γένοιτο δὲ μηδένα τῶν ἐνταῦθα, μηδὲ τῶν ἀλλαχοῦ δούλων τοῦ Χριστοῦ, προσδραμεῖν τῷ ἐχθρῷ. Περὶ τούτου γράφων ὁ Ἀπόστολος Παῦλος, φανερὸν ἔδωκε σημεῖον, λέγων· «Ὅτι ἐὰν μὴ » ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἀνο» μίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ » πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ » Θεοῦ [ὡς Θεὸν] καθίσαι, ἀποδεικνύοντα ἑαυτὸν ὅτι ἐστὶ Θεός. Οὐ » μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν; Καὶ νῦν » τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ αὐτοῦ » καιρῷ. Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον » ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται· καὶ τότε ἀποκαλυ» φθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος ἀνελεῖ τῷ πνεύματι τοῦ στό» ματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας » αὐτοῦ· Οὗ ἐστιν ἡ παρουσία, κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἐν

(1) Ματθ. ΚΔ', 12.
(2) Ψαλμ. ΚΖ', 3.
(3) Ματθ. ΚΔ', 14.
(4) Ματθ. ΚΔ', 15. καὶ Μάρκ. ΙΓ', 14. καὶ Δανιὴλ Θ', 27.
(5) Ματθ. ΚΔ'. 23.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους, καὶ ἐν πάσῃ » ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις » (1). Ταῦτα μὲν ὁ Παῦλος. Νῦν δέ ἐστιν [ἡ] ἀποστασία. Ἀπέστησαν γὰρ οἱ ἄνθρωποι τῆς ὀρθῆς πίστεως· καὶ οἱ μὲν υἱοπατορίαν καταγγέλλουσιν, οἱ δὲ τὸν Χριστὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενεχθέντα λέγειν τολμῶσι. Καὶ πρότερον μὲν ἦσαν φανεροὶ [οἱ] αἱρετικοί, νῦν δὲ πεπλήρωται ἡ Ἐκκλησία κεκρυμμένων αἱρετικῶν. Ἀπέστησαν γὰρ οἱ ἄνθρωποι ἀπὸ τῆς ἀληθείας, καὶ κνήθονται τὴν ἀκοήν (2). Λόγος πιθανός; καὶ πάντες ἀκούουσιν ἡδέως· λόγος ἐπιστροφῆς; καὶ πάντες ἀποστρέφονται. Ἀπέστησαν οἱ πλεῖστοι τῶν ὀρθῶν λόγων· καὶ μᾶλλον τὸ κακὸν αἱροῦνται, ἢ τὸ ἀγαθὸν προαιροῦνται. Αὕτη τοίνυν ἐστὶν ἡ ἀποστασία, καὶ μέλλει προσδοκᾶσθαι ὁ ἐχθρός· καὶ τέως κατὰ μέρος ἤρξατο ἀποστέλλειν τοὺς ἑαυτοῦ προδρόμους, ἵνα ἕτοιμος ἐλθῃ λοιπὸν ἐπὶ τὴν θύραν. Βλέπε τοίνυν σεαυτόν, ἄνθρωπε, καὶ ἀσφαλίζου τὴν ψυχήν. Διαμαρτύρεταί σε ἡ ἐκκλησία νῦν ἐπὶ Θεοῦ ζῶντος, προδιαλέγεταί σοι (3) τὰ περὶ τοῦ Ἀντιχρίστου πρὶν παραγενέσθαι. Καὶ εἴτε ἐπὶ σοῦ γίνεται, οὐκ οἴδαμεν [εἴτε μετὰ σὲ γίνεται, οὐκ οἴδαμεν]· καλὸν δέ ἐστι, ταῦτα εἰδότα σε προασφαλίσασθαι (4).

ε. Ὁ Χριστὸς ὁ ἀληθής, ὁ τοῦ Θεοῦ μονογενὴς υἱός, οὐκέτι ἀπὸ γῆς ἔρχεται. Ἐάν τις ἔλθῃ ἐν ἐρήμοις φαντασιοσκοπῶν, μὴ ἐξέλθῃς (5)· ἐὰν εἴπωσιν, « Ἰδοὺ ὧδε ὁ Χριστός, ἰδοὺ ἐκεῖ, μὴ πι» στεύσῃς » (6). Κάτω καὶ εἰς γῆν μὴ βλέπε λοιπόν· ἐξ οὐρανῶν γὰρ ὁ δεσπότης κατέρχεται, οὐ μόνος ὡς πρὸ τούτου, ἀλλὰ πολλοστὸς ὑπὸ μυριάδων ἀγγέλων δορυφορούμενος (7)· οὐδὲ κεκρυμμένως (8), ὡς ὑετὸς ἐπὶ πόκον (9)· ἀλλ' ὡς ἀστραπὴ φανερῶς ἐκ-

(1) Β' πρὸς Θεσσαλ. Β', 3—10.
(2) Β' πρὸς Τιμόθ. Δ', 3—4.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, προασφαλίζεται τὰ περὶ κτλ.
(4) Αὐτόθεν.—Μ, προασφαλᾶσθαι.
(5) Ματθ. ΚΔ', 26.
(6) Μάρκ. ΙΓ', 21.
(7) Ἰούδα Καθολ. ἐπιστολ. 14.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, κεκρυμμένος
(9) Ψαλμ. ΟΑ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λάμπων (1). Αὐτὸς γὰρ εἴρηκεν· « Ὡς περ ἡ ἀστραπὴ ἐξέρχεται » ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ » παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου » (2). Καὶ πάλιν· « Καὶ ὄψον- » ται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐ- » ρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Καὶ ἀποστελεῖ τοὺς » Ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης » (3)· καὶ τὰ ἑξῆς. Ἀλλ' ὥς περ μέλλοντος αὐτοῦ πρότερον ἐνανθρωπεῖν, καὶ ἐκ παρ- θένου γεννᾶσθαι προσδοκωμένου Θεοῦ, προδιέβαλεν ὁ διάβολος τὸ πρᾶγμα κακούργως ἐν εἰδωλολατρείᾳ, Θεοὺς ψευδεῖς γεννῶντας καὶ γεννωμένους ὑπὸ γυναικῶν προμυθολογήσας, ἵνα προλαβόν- τος τοῦ ψεύδους, ὡς ἐνόμιζεν, ἀπιστηθῇ καὶ τὸ ἀληθές· οὕτω μέλ- λοντος Χριστοῦ δεύτερον ἔρχεσθαι τοῦ ἀληθοῦς, ἐφόδιον λαμβά- νων τὴν τῶν ἀκάκων προσδοκίαν ὁ Ἀντικείμενος, καὶ μάλιστα τῶν ἐκ περιτομῆς, ἄγει τινὰ ἄνθρωπον μάγον, καὶ τῆς ἐν φαρ- μακείαις καὶ ἐπαοιδαῖς ἀπατηλῆς κακοτεχνίας ἐμπειρότατον, ἁρ- πάζοντα μὲν ἑαυτῷ τῆς Ῥωμαίων βασιλείας τὴν ἐξουσίαν, ψευ- δῶς δὲ Χριστὸν ἑαυτὸν ἀποκαλοῦντα· καὶ διὰ μὲν τῆς τοῦ Χρι- στοῦ προσηγορίας, Ἰουδαίους τοὺς τὸν Ἠλειμμένον (4) προσδοκῶντας ἀπατῶντα, τοὺς ἐξ ἐθνῶν δὲ, ταῖς μαγικαῖς φαντασίαις (5) ὑπα- γόμενον. Ἔρχεται δὲ ὁ προειρημένος Ἀντίχριστος οὗτος, ὅταν πληρωθῶσιν οἱ καιροὶ τῆς Ῥωμαίων βασιλείας, καὶ πλησιάζοι (6) λοιπὸν τὰ τῆς τοῦ κόσμου συντελείας. Δέκα μὲν ὁμοῦ Ῥωμαίων ἐγείρονται βασιλεῖς, ἐν διαφόροις μὲν ἴσως τόποις, κατὰ δὲ τὸν αὐ- τὸν βασιλεύοντες (7) καιρόν. Μετὰ δὲ τούτους ἑνδέκατος ὁ Ἀντί- χριστος, ἐκ τῆς μαγικῆς κακοτεχνίας τὴν Ῥωμαϊκὴν ἐξουσίαν ἁρ- πάσας. Τρεῖς μὲν τῶν πρὸ αὐτοῦ βασιλευσάντων ταπεινώσει (8) τοὺς ἑπτὰ τοὺς ἐπιλοίπους (9) ὑφ' ἑαυτὸν ἔχων. Τὰ πρῶτα μὲν

(1) Λουκ. ΙΖ', 24.
(2) Ματθ. ΚΔ', 27.
(3) Αὐτόθι, 30—31.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ἠλιμμένον.
(5) Αὐτόθεν.—Μ, τὰς μαγικὰς φαντασίας
(6) Αὐτόθεν.—Μ, πλησιάζει
(7) Αὐτόθεν.—Μ, βασιλεύουσι (8) Δανιὴλ Ζ', 24.
(9) Ἐκ τοῦ ΒΤ.—Μ, κατὰ δοτικὴν· τοῖς ἐπιλοίποις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπιείκειαν, ὡσανεὶ λόγιός τις καὶ συνετὸς, σωφροσύνην τε καὶ φιλανθρωπίαν ὑποκρίνεται· σημείοις τε καὶ τέρασι τοῖς ἐκ μαγικῆς ἀπάτης ψευδέσιν (1), Ἰουδαίους, ὡσανεὶ Χριστὸς [ὁ] προσδοκώμενος (2), ἀπατήσας, παντοίοις ὕστερον ἀπανθρωπίας καὶ παρανομίας ἐπιγραφήσεται κακοῖς, ὡς πάντας ὑπερβαλέσθαι τοὺς πρὸ αὐτοῦ γενομένους ἀδίκους καὶ ἀσεβεῖς (3)· φρενικὴν καὶ ἀποτομωτάτην, καὶ ἀνηλεῆ, καὶ ποικίλην, κατὰ πάντων μὲν, ἐξαιρέτως δὲ καθ' ἡμῶν τῶν Χριστιανῶν τὴν διάνοιαν ἔχων. Ἐπὶ τρία δὲ ἔτη μόνα καὶ μῆνας ἓξ τὰ τοιαῦτα τολμήσας, ὑπὸ τῆς δευτέρας ἐξ οὐρανῶν ἐνδόξου παρουσίας τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καταργεῖται, τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ, Χριστοῦ τοῦ ἀληθοῦς· ὃς ἀνελὼν τὸν Ἀντίχριστον τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, τῷ τῆς γεέννης παραδώσει πυρί (4).

ς'. Ταῦτα δὲ διδάσκομεν, οὐχ εὑρεσιλογοῦντες, ἀλλ' ἐκ τῶν θείων ἐκκλησιαζομένων Γραφῶν, καὶ μάλιστα ἐκ τῆς ἀρτίως ἀναγνωσθείσης τοῦ Δανιὴλ προφητείας, μεμαθηκότες· καθὼς καὶ Γαβριὴλ ὁ ἀρχάγγελος ἡρμήνευσε λέγων οὕτω· « Τὸ θηρίον τὸ τέταρ-» τον, βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει πάσας » τὰς βασιλείας » (5). Ταύτην δὲ εἶναι τὴν Ῥωμαίων (6) οἱ ἐκκλησιαστικοὶ παραδεδώκασιν ἐξηγηταί. Πρώτης γὰρ ἐπισήμου γενομένης, τῆς Ἀσσυρίων βασιλείας· καὶ δευτέρας, τῆς Μήδων ὁμοῦ καὶ Περσῶν· καὶ μετὰ ταύτας, τῆς Μακεδόνων τρίτης· ἡ τετάρτη βασιλεία νῦν ἡ Ῥωμαίων ἐστίν. Εἶτα ἑξῆς ὁ Γαβριὴλ ἑρμηνεύων φησί· « Τὰ δέκα κέρατα αὐτοῦ, δέκα βασιλεῖς ἀναστήσονται· καὶ » ὀπίσω αὐτῶν ἀναστήσεται βασιλεὺς ἕτερος, ὃς ὑπερόψει κακοῖς » πάντας τοὺς ἔμπροσθεν » (7)· οὐ μόνον φησὶ τοὺς δέκα, ἀλλὰ καὶ πάντας τοὺς προγεγονότας. « Καὶ τρεῖς βασιλεῖς ταπεινώ-

(1) Ἐκ τοῦ ΒΤ.—Μ, ψεύδεσιν
(2) Αὐτόθεν —Μ, ὁ Χριστὸς προσδοκώμενος,
(3) Δανιὴλ Ζ', 24.
(4) Β' πρὸς Θεσσαλ. Β', 8.
(5) Δανιὴλ Ζ', 23.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, τῶν Ῥωμαίων
(7) Δανιὴλ Ζ', 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» σει» (1)· δῆλον καὶ ἀπὸ τῶν δέκα τῶν προτέρων· ἀπὸ [δὲ] τῶν δέκα τούτων τοὺς τρεῖς ταπεινῶν, πάντως ὅτι αὐτὸς ἄγδοος βασιλεύσει (2). « Καὶ λόγους, φησὶ, πρὸς τὸν ὕψιστον λαλήσει » (3)· βλάσφημος ὁ ἀνὴρ καὶ παράνομος, οὐκ ἐκ πατέρων λαβὼν τὴν βασιλείαν, ἀλλ' ἐκ τῆς μαγικῆς τὸ ἄρχειν ἁρπάσας. Καὶ τίς ἐστιν οὗτος, ἢ ἐκ ποίας ἐνεργείας; Ἑρμήνευσον, ὦ Παῦλε· « Οὗ ἐστι, φη» σὶν, ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἐν πάσῃ δυνάμει » καὶ σημείοις καὶ τέρασι ψεύδους » (4). Τοῦτο αἰνιττόμενος, ὅτι ὁ Σατανᾶς ὀργάνῳ κέχρηται ἐκείνῳ, αὐτοπροσώπως [δι' αὐτοῦ] ἐνεργῶν. Εἰδὼς γὰρ ὅτι οὐ μέλλει λοιπὸν ἄνεσις γίνεσθαι αὐτοῦ τῇ κρίσει, οὐκέτι διὰ τῶν ὑπηρετῶν αὐτοῦ συνήθως, ἀλλὰ δι' ἑαυτοῦ λοιπὸν πολεμεῖ φανερώτερον. *Ἐν πᾶσι δὲ σημείοις καὶ τέρασι ψεύδους.* Ὁ γὰρ πατὴρ τοῦ ψεύδους (5), τὰ τοῦ ψεύδους ἔργα φαντασιοσκοπεῖ (6), ἵνα τὰ πλήθη νομίσῃ (7) θεωρεῖν νεκρὸν ἐγειρόμενον τὸν μὴ ἐγειρόμενον· καὶ χωλοὺς περιπατοῦντας, καὶ τυφλοὺς ἀναβλέποντας, μὴ γενομένης τῆς ἰάσεως.

ζ'. Καὶ πάλιν φησίν· « Ὁ Ἀντικείμενος, καὶ ὑπεραιρόμενος ἐπὶ » πάντα λεγόμενον Θεὸν ἢ σέβασμα » (8). Ἐπὶ πάντα δὲ Θεόν· μέλλει δῆθεν τὰ εἴδωλα μισεῖν ὁ Ἀντίχριστος· « Ὥστε αὐτὸν εἰς » τὸν ναὸν τοῦ Θεοῦ καθίσαι » (9). Ποῖον ἆρα ναόν; Τὸν καταλελυμένον τῶν Ἰουδαίων φησί· Μὴ γένοιτο γὰρ τοῦτον, ἐν ᾧ ἐσμέν. Διὰ τί τοῦτο λέγομεν; ἵνα μὴ νομιζώμεθα χαρίζεσθαι ἑαυτοῖς. Εἰ γὰρ ὡς Χριστὸς πρὸς Ἰουδαίους ἔρχεται, καὶ ὑπὸ Ἰουδαίων προσκυνεῖσθαι βούλεται· ἵνα αὐτοὺς μειζόνως ἀπατήσῃ, περισπούδαστον ποιεῖται τὸν ναόν· ὑποψίαν διδοὺς, ὅτι αὐτός ἐστιν ὁ ἐκ γένους Δαβὶδ, ὁ τὸν ὑπὸ Σολομῶντος ναὸν κατασκευασθέντα μέλ-

(1) Δανιὴλ Ζ', 24.
(2) Ἀποκάλ. Ἰωάν. ΙΖ', 11 κ' ἑπόμ.
(3) Δανιὴλ Ζ', 25.
(4) Β' πρὸς Θεσσαλ. Β', 9.
(5) Ἰωάν. Η', 44.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, φυσιοσκοπεῖ
(7) Αὐτόθεν.—Μ, λογισθῇ
(8) Β' πρὸς Θεσσαλ. Β', 4.
(9) Αὐτόθι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λων οἰκοδομεῖν. Ἔρχεται δὲ ὁ Ἀντίχριστος τότε, ὅταν ἐν τῷ ναῷ τῶν Ἰουδαίων λίθος ἐπὶ λίθον μὴ μείνῃ, κατὰ τὴν τοῦ Σωτῆρος ἀπόφασιν (1). Ὅταν γὰρ ἡ (2) διὰ παλαιότητα πτῶσις, ἢ προφάσει οἰκοδομῆς κατάλυσις, ἢ ἔκ τινων ἑτέρων παρακολουθήσασα, καθέλῃ (3) πάντας τοὺς λίθους· οὐ λέγω τοῦ περιβόλου τοῦ ἔξωθεν (4), ἀλλὰ τοῦ ναοῦ τοῦ ἔνδοθεν (5), ἔνθα τὰ Χερουβὶμ ἦν· τότε ἔρχεται ἐκεῖνος *ἐν πᾶσι σημείοις καὶ τέρασι ψεύδους, κατεπαιρόμενος εἰδώλων ἁπάντων· τὰ πρῶτα μὲν φιλανθρωπίαν ὑποκρινόμενος, ὕστερον δὲ τὸ ἀπότομον ἐνδεικνύμενος, καὶ μάλιστα πρὸς τοὺς ἁγίους τοῦ Θεοῦ. Φησὶ γάρ·* «Ἐθεώρουν, καὶ τὸ κέρας »ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων» (6). Καὶ πάλιν ἀλλαχοῦ· «Ἔσται καιρὸς θλίψεως, θλῖψις οἵα οὐ γέγονεν ἀφ' οὗ γεγέ»νηται ἔθνος ἐπὶ τῆς γῆς, ἕως τοῦ καιροῦ ἐκείνου» (7). Δεινὸν τὸ θηρίον, δράκων μέγας ἀνθρώποις ἀκαταγώνιστος, ἕτοιμος εἰς τὸ καταπιεῖν· περὶ οὗ πλείονα ἔχοντες λαλεῖν ἐκ τῶν θείων Γραφῶν, τούτοις ἀρκούμεθα τέως συμμετρίας ἕνεκεν. Διὰ τοῦτο εἰδὼς τοῦ ἀντιπάλου τὸ μέγεθος, συγγνώμην τοῖς εὐλαβέσι διδοὺς ὁ Κύριος, φησί· «Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη» (8). Εἰ δέ τις σύνοιδεν ἑαυτῷ στερρότατῳ ὄντι, ἵνα τῷ Σατανᾷ ἀντιπαλαίσῃ, στηκέτω· οὐ γὰρ ἀπελπίζω τῆς Ἐκκλησίας τὰ νεῦρα· καὶ λεγέτω· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;» (9), καὶ τὰ ἑξῆς. Ἀλλ' οἱ δειλοὶ μὲν, ἑαυτοὺς ἀσφαλιζώμεθα· οἱ δὲ εὐθαρσεῖς, παραστήκωμεν· «Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν »ἀπ' ἀρχῆς κτίσεως ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται» (10). Ἀλλὰ τῷ Θεῷ χάρις τῷ τὸ μέγεθος τῆς θλίψεως εἰς ὀλίγας ἡμέρας

(1) Ματθ. ΚΔ', 2.
(2) Τὸ ἢ τοῦτο, καὶ τὰ ἑπόμενα δύο ἤ, ἐκ τοῦ ΒΤ. ἀντὶ τοῦ ἐν τῷ Μ, ἡ
(3) Ἐκ τοῦ ΒΤ.—Μ, καθελεῖ
(4) Αὐτόθεν.—Μ. τὰ ἔξωθεν,
(5) Αὐτόθ —Μ, τὰ ἔνδοθεν,
(6) Δανιὴλ Ζ', 21.
(7) Δανιὴλ ΙΒ', 1.
(8) Ματθ. ΚΔ', 16.
(9) Πρὸς Ῥωμ. Η', 35.
(10) Ματθ. ΚΔ', 21.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

περιγράψαντι· λέγει γάρ, « Διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσον-» ται αἱ ἡμέραι ἐκεῖναι » (1). Βασιλεύσει δὲ ὁ Ἀντίχριστος τρία καὶ ἥμισυ ἔτη μόνα. Οὐκ ἐξ ἀποκρύφων λέγομεν, ἀλλ' ἐκ τοῦ Δανιήλ. Φησὶ γάρ· « Καὶ δοθήσεται [ἐν χειρὶ αὐτοῦ] ἕως καιροῦ, καὶ » καιρῶν, καὶ ἥμισυ καιροῦ » (2). *Καιρὸς* μέν, ὁ εἷς ἐνιαυτὸς, ἐν ᾧ τέως αὔξει ἡ παρουσία αὐτοῦ· *Καιροὶ* δὲ, τὰ ἐπίλοιπα δύο ἔτη τῆς παρανομίας, εἰς τρία ὁμοῦ συναριθμούμενα· καὶ τὸ *ἥμισυ τοῦ καιροῦ*, ἡ ἑξάμηνος. Καὶ πάλιν ἀλλαχοῦ τὸ αὐτό φησιν ὁ Δανιήλ· « Καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τὸν αἰῶνα, ὅτι εἰς » καιρὸν, καὶ καιροὺς, καὶ ἥμισυ καιροῦ » (3). Τάχα δέ τινες εἰς τοῦτο ἐξέλαβον καὶ τὸ ἑξῆς· « Ἡμέραι χίλιαι διακόσιαι ἐννενή-κοντα » (4)· καὶ τὸ, « Μακάριος ὁ ὑπομένων, καὶ φθάσας εἰς ἡμέ-» ρας χιλίας τριακοσίας τριάκοντα πέντε » (5). Διὰ τοῦτο δεῖ παρακαλύπτεσθαι καὶ φεύγειν· ἴσως γὰρ οὐ μὴ τελέσωμεν τὰς πόλεις τοῦ Ἰσραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου (6).

ιή. Τίς ἆρα μακάριος, ὁ ὑπὲρ Χριστοῦ μετ' εὐσεβείας μαρτυρῶν τότε; Ὑπὲρ γὰρ πάντας μάρτυρας ἐγὼ φημι εἶναι τοὺς τότε μάρτυρας. Οἱ μὲν γὰρ πρὸ τούτου, μόνοις ἀνθρώποις ἐπάλαισαν· οἱ δὲ ἐπὶ τοῦ Ἀντιχρίστου, αὐτῷ τῷ Σατανᾷ αὐτοπροσώπως πολεμήσουσι. Καὶ οἱ μὲν πρότερον διώκοντες βασιλεῖς, ἐφόνευον μόνον· νεκροὺς δὲ οὐ προσεποιοῦντο ἐγείρειν, οὐδὲ σημείων καὶ τεράτων φαντασίας ἐδείκνυον· ὧδε δὲ καὶ τοῦ φόβου καὶ τῆς ἀπάτης προτροπὴ κακὴ, ὥς τε πλανᾶσθαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς (7). Μή ποτε εἰς καρδίαν ἀναβῇ τινος τῶν τότε, τί πλέον ὁ Χριστὸς ἐποίησεν; ἐκ ποίας δὲ δυνάμεως οὗτος ἐργάζεται ταῦτα; εἰ μὴ Θεὸς ἤθελεν, οὐκ ἂν συνεχώρησεν. Ἀσφαλίζεται σε καὶ προλέγει ὁ Ἀπόστολος· « Καὶ διὰ τοῦτο πέμπει αὐτοῖς ὁ Θεὸς ἐνέρ-» γειαν πλάνης » (8)· τὸ δὲ *πέμπει*, ἀντὶ τοῦ, συγχωρεῖ γίνεσθαι·

(1) Ματθ. ΚΔ', 22.
(2) Δανιὴλ Ζ', 25.
(3) Δανιὴλ ΙΒ', 7.
(4) Αὐτόθι, 11.
(5) Αὐτόθι, 12.
(6) Ματθ. Ι', 23.
(7) Ματθ. ΚΔ', 24. (8) Β' πρὸς Θεσσαλ. Β', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οὐχ ἵνα ἀπολογήσωνται, ἀλλ' «Ἵνα κατακριθῶσι» διὰ τί; «Οἱ μὴ »πιστεύσαντες τῇ ἀληθείᾳ,» τοῦτ' ἔστι τῷ ἀληθινῷ Χριστῷ· «ἀλ»λ' εὐδοκήσαντες τῇ ἀδικίᾳ» (1), τοῦτ' ἔστι τῷ Ἀντιχρίστῳ. Συγχωρεῖ δὲ ταῦτα ὁ Θεὸς ἔν [τε] τοῖς κατὰ καιρὸν διωγμοῖς, καὶ τότε, οὐκ ἀδυνατῶν κωλύειν, ἀλλὰ δι' ὑπομονῆς συνήθως στεφανῶν τοὺς οἰκείους ἀθλητάς, παραπλησίως τοῖς ἑαυτοῦ (2) προφήταις καὶ Ἀποστόλοις· ἵνα πρὸς ὀλίγον χρόνον καμόντες, τὴν αἰώνιον κληρονομήσωσι τῶν οὐρανῶν βασιλείαν, καθὼς Δανιὴλ φησι· «Καὶ ἐν τῷ καὶ»ρῷ ἐκείνῳ σωθήσεται ὁ λαός σου πᾶς, ὁ γεγραμμένος ἐν τῇ βί»βλῳ»· δῆλον δὲ ὅτι τῆς ζωῆς. «Καὶ πολλοὶ τῶν καθευδόντων ἐν »γῆς χώματι ἐξεγερθήσονται· οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι »εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον. Καὶ οἱ συνιέντες ἐκλάμψου»σιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος· καὶ ἀπὸ τῶν δικαίων τῶν »πολλῶν, ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας, καὶ ἔτι» (3). Ἀσφάλιζε τοίνυν σεαυτὸν, ἄνθρωπε. Ἔχεις τὰ σημεῖα τοῦ Ἀντιχρίστου· καὶ μὴ μόνος μνημόνευε τούτων, ἀλλὰ καὶ ἀρθόνως πᾶσι μεταδίδου (4) Εἰ τέκνον ἔχεις κατὰ σάρκα, τοῦτο ἤδη νουθέτει· καὶ εἰ διά κατηχήσεως ἐγέννησάς τινα, καὶ τοῦτον προασφαλίζου· ἵνα μὴ τὸν ψευδῆ δέξηται ὡς ἀληθῆ· «Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας» (5). Φοβοῦσί με οἱ πόλεμοι τῶν ἐθνῶν· φοβεῖ με τὰ σχίσματα τῶν ἐκκλησιῶν· φοβεῖ με ἡ μισαδελφία τῶν ἀδελφῶν. Καὶ λεγέσθω μὲν ταῦτα. Μὴ γένοιτο δὲ, ἵνα ἀφ' ἡμῶν πληρωθῇ· πλὴν ἀσφαλιζώμεθα. Καὶ περὶ μὲν τοῦ Ἀντιχρίστου ταῦτα.

θ'. Ἐκδεχώμεθα δὲ καὶ προσδοκῶμεν τὸν Κύριον ἐκ τῶν οὐρανῶν ἐρχόμενον ἐπὶ τῶν νεφελῶν. Σάλπιγγες ἀγγελικαὶ τότε ἠχοῦσιν· οἱ νεκροὶ ἐν Χριστῷ, πρῶτοι ἐγείρονται· οἱ ζῶντες εὐλαβεῖς, ἐν νεφέλαις ἁρπάζονται, ἔπαθλον τῶν καμάτων λαμβάνοντες τὸ ὑπὲρ ἄνθρωπον τιμηθῆναι, ἐπειδὴ καὶ ὑπὲρ ἄνθρωπον ἠγωνίσαντο· καθὼς Παῦλος ὁ Ἀπόστολος γράφων φησίν· «Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύ»σματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσε-

(1) Β' πρὸς Θεσσαλ. Β', 12.
(2) Ἐκ τοῦ ΒΤ,—Μ, αὐτοῦ
(3) Δανιὴλ ΙΒ', 1—3.
(4) Σοφ. Σολομ. Ζ', 13.
(5) Β' πρὸς Θεσσαλ. Β', 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

»ται ἀπὸ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· »ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπα»γησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕ»τω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα» (1). Ἤδει (2) ταύτην τὴν τοῦ Κυρίου παρουσίαν, καὶ τὴν τοῦ κόσμου συντέλειαν ὁ Ἐκκλησιαστὴς, λέγων· « Εὐφραίνου νεανίσκε ἐκ νεότητός σου », καὶ ἑξῆς· « Καὶ »ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν »ἀπὸ σαρκός σου. Καὶ μνήσθητι τοῦ κτίσαντός σε, ἕως οὗ μὴ ἔλ»θωσιν αἱ ἡμέραι τῆς κακίας, ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος, καὶ τὸ »φῶς, καὶ ἡ σελήνη, καὶ οἱ ἀστέρες. Καὶ σκοτάσουσιν αἱ βλέπου»σαι ἐν ταῖς ὀπαῖς» (τὴν ὁρατικὴν δύναμιν αἰνισσόμενος)· «Ἕως »οὗ μὴ ἀνατραπῇ τὸ σχοινίον τοῦ ἀργυρίου» (τῶν ἄτρων τὴν συμ»πλοκὴν διδάσκων· ἀργυροειδὴς γὰρ ἡ ὄψις). «Καὶ συντριβῇ τὸ ἀν»θέμιον τοῦ χρυσίου» (τὸν χρυσοειδῆ οὕτως ἥλιον αἰνισσόμενος. Ἡ γὰρ ἄνθεμις γνώριμός ἐστι βοτάνη, πολλὰς ἔχουσα πέριξ ἀκτινοειδεῖς φυλλάδων ἐκφύσεις)· «Καὶ ἀναστήσονται εἰς φωνὴν τοῦ »στρουθίου, καί γε ἀπὸ τοῦ ὕψους ὄψονται, καὶ θάμβοι ἐν τῇ ὁ»δῷ» (3). Τί ὄψονται; «Τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρ»χόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ» (4)· «Καὶ κόψονται φυ»λαὶ κατὰ φυλάς» (5). Καὶ τί γίνεται ἐλθόντος τοῦ Κυρίου; «Ἀνθήσει τὸ ἀμύγδαλον, καὶ παχυνθήσεται ἡ ἀκρὶς, καὶ διασκε»δασθήσεται ἡ κάππαρις» (6). Ὡς δὲ [οἱ] ἐξηγηταί φασιν, *ἀμύγδαλον ἄνθος* (7) δηλοῖ τοῦ χειμῶνος τὸ παρελθόν. Μέλλει δὲ τὰ σώματα ἡμῶν μετὰ τὸν χειμῶνα τότε ἀνθεῖν ἐπουράνιον ἄνθος. *Καὶ παχύνεται ἡ ἀκρὶς* ἡ πτερωτὴ ψυχὴ, τὸ σῶμα περιβαλλομένη. *Καὶ διασκεδασθήσεται ἡ κάππαρις*· οἱ ἀκανθώδεις παράνομοι διασκορπισθῶσι. Βλέπεις πῶς προλέγουσι πάντες τὴν

(1) Α' πρὸς Θεσσαλ. Δ', 15—17.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἡ δὲ ἡ
(3) Ἐκκλησιαστ. ΙΑ', 9, 10. καὶ ΙΒ', 1—6.
(4) Ματθ. ΚΔ', 30.
(5) Ζαχαρ. ΙΒ', 12.
(6) Ἐκκλησιαστ. ΙΒ', 5.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, ἀμύγδαλον ἐλαῖον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παρουσίαν τοῦ Κυρίου· βλέπεις πῶς οἴδασι τὴν φωνὴν τοῦ στρουθίου; ποίαν φωνὴν, εἴδωμεν· «Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, »ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ» (1). Ἀρχάγγελος προσφωνεῖ, καὶ λέγει τοῖς πᾶσιν· Ἐγείρεσθε εἰς ἀπάντησιν τοῦ Κυρίου. Καὶ φοβερὰ ἡ κάθοδος τοῦ Δεσπότου. Ὁ Δαβὶδ φησιν· « Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, » καὶ οὐ παρασιωπήσεται. Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ » κύκλῳ αὐτοῦ καταιγὶς σφοδρὰ » (2), καὶ τὰ ἑξῆς. Ἔρχεται πρὸς τὸν Πατέρα, κατὰ τὴν Γραφὴν τὴν ἀρτίως ἀναγνωσθεῖσαν, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῶν νεφελῶν [τοῦ οὐρανοῦ], ποταμοῦ πυρὸς ἑλκοντος (3), δοκιμαστικοῦ τῶν ἀνθρώπων. Εἴ τις χρυσίου ἔχει τὰ ἔργα, λαμπρότερος γίνεται· εἴ τις καλαμώδη ἔχει τὴν πρᾶξιν καὶ ἀνυπόστατον, κατακαίεται (4) ὑπὸ τοῦ πυρός (5). Καὶ ὁ μὲν Πατὴρ καθέζεται, ἔχων τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών (6)· καὶ τὴν τρίχα τῆς κεφαλῆς ὡς ἔριον καθαρόν (7). Ἀνθρωπίνως δὲ τοῦτο εἴρηται. Διὰ τί; ἐπειδὴ βασιλεύς ἐστι τῶν μὴ ἐν ἁμαρτίαις μεμολυσμένων· « Λευκανῶ γὰρ, φησὶν, ὑμῶν τὰς ἁ- » μαρτίας ὡς χιόνα, καὶ ὡσεὶ ἔριον » (8)· ὅπερ ἐστὶ συγχωρήσεως ἁμαρτιῶν, ἢ καὶ ἀναμαρτησίας, σημεῖον. Ἔρχεται δὲ ἐκ τῶν οὐρανῶν ὁ Κύριος ἐπὶ νεφελῶν, ὁ ἐπὶ νεφελῶν ἀναβάς (9). Αὐτὸς γὰρ εἴρηκε· « Καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ » τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολ- » λῆς » (10).

ι'. Ἀλλὰ ποῖον τῆς παρουσίας αὐτοῦ σημεῖόν ἐστι, μή ποτε τολμήσῃ δύναμις ἐναντία μιμήσασθαι; « Καὶ τότε φανήσεται, φησὶ,

(1) Α' πρὸς Θεσσαλ. Δ', 16.
(2) Ψαλμ. ΜΘ', 3.
(3) Δανιὴλ Ζ', 10, 13.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, κατέχεται.
(5) Α' πρὸς Κορινθ. Γ', 12—15.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιών, καὶ λευκόν·
(7) Δανιὴλ Ζ', 9.
(8) Ἡσ. Α', 18.
(9) Πράξ. Ἀποστόλ. Α', 9—16.
(10) Ματθ. ΚΔ', 30.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ » (1). Σημεῖον δὲ ἀληθὲς ἰδικὸν τοῦ Χριστοῦ ἐστιν ὁ σταυρός. Φωτοειδοῦς σταυροῦ σημεῖον προάγει τὸν βασιλέα, δηλοῦν τὸν σταυρωθέντα πρότερον· ἵνα ἰδόντες οἱ πρότερον ἐκκεντήσαντες καὶ ἐπιβουλεύσαντες Ἰουδαῖοι, κόψωνται φυλαὶ κατὰ φυλάς, λέγοντες· Οὗτός ἐστιν ὁ ῥαπισθείς· οὗτός ἐστιν, οὗ εἰς πρόσωπον ἐνέπτυσαν ἐκεῖνοι· οὗτός ἐστιν, ὃν δεσμοῖς περιεβεβλήκασιν· οὗτός ἐστιν, ὃν σαυρωθέντα πρότερον ἐξηυτέλισαν. Ποῦ φύγωμεν ἀπὸ προσώπου τῆς ὀργῆς σου; (2) ἐροῦσιν. Ἀγγελικῶν [δὲ] στρατιῶν περιβαλλουσῶν, οὐδαμοῦ φυγεῖν δυνήσονται. Φόβος τοῖς ἐχθροῖς, τοῦ σταυροῦ τὸ σημεῖον· καὶ χαρὰ τοῖς φίλοις τοῖς εἰς αὐτὸν πιστεύσασιν (3), ἠκηρύξασιν αὐτὸν, ἢ ὑπὲρ αὐτοῦ παθοῦσι. Τίς ἄρα μακάριος τότε, ὃς φίλος Χριστοῦ εὑρεθήσεται; Οὐ καταῤῥονεῖ τῶν οἰκείων δούλων ὁ τοσοῦτος ἔνδοξος βασιλεὺς, ὁ ὑπὸ τῶν Ἀγγέλων δορυφορούμενος, ὁ τοῦ Πατρὸς σύνθρονος. Ἵνα γὰρ μὴ συμφυρῶσιν οἱ ἐκλεκτοὶ μετὰ τῶν ἐχθρῶν, « Ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος [φωνῆς] »μεγάλης· καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων » ἀνέμων » (4). Ἑνὸς τοῦ Λὼτ οὐ κατεφρόνησε· πῶς ἄρα πολλῶν δικαίων καταφρονήσει; « Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου » (5), ἐρεῖ τοῖς τότε νεφελώδεσιν ἅρμασιν ἐποχουμένοις, καὶ ὑπὸ ἀγγέλων συλλεχθεῖσιν. Ἀλλ' ἐρεῖ τις τῶν παρόντων· πένης εἰμὶ, ἢ καὶ τότε ἴσως ἀσθενὴς ἐπὶ κλίνης εὑρεθήσομαι· ἢ γύναιον, ἐν μύλωνι καταληφθήσομαι (6)· μὴ ἄρα καταφρονηθῶμεν; Θάρσησον, ἄνθρωπε, ὁ κριτὴς ἀπροσωπόληπτός ἐστιν· « Οὐ κατὰ τὴν δόξαν κρινεῖ, » οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει » (7)· οὐ προτιμᾷ λογίους ἰδιωτῶν, οὐδὲ πλουσίους πενήτων Κἂν ἐν ἀγρῷ ᾖς, λαμβάνουσί [σε] οἱ Ἄγγελοι (8). Μὴ νομίσῃς ὅτι τοὺς γαιοῦχους λαμβάνει, καὶ σὲ τὸν γεωργὸν καταλείπει. Κἂν δοῦλος ᾖς, κἂν πένης, μηδὲν ἀγω-

(1) Ματθ. ΚΔ', 30. (2) Ναοὺμ Α', 5.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, πιστεύουσιν,
(4) Ματθ. ΚΔ', 31.
(5) Ματθ. ΚΕ', 34.
(6) Λουκ. ΙΖ', 34—35. καὶ Ματθ. ΚΔ', 41.—(Ἐν τῷ Μ, κατὰ τρίτον πρόσωπον καὶ ἐρωτηματικῶς· καταληφθήσεται;)
(7) Ἡσ. ΙΑ', 3. (8) Ματθ. ΚΔ', 40.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νιάσης· ὁ μορφὴν δούλου λαβὼν (1), τῶν δούλων οὐ καταφρονεῖ. Κἂν νοσῶν κείμενος ἧς ἐπὶ κλίνης, γέγραπται· « Τότε δύο ἔσονται » ἐπὶ κλίνης μιᾶς, εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται » (2). Κἂν κατ' ἀνάγκην μύλωνι παραδοθῇς, ἀνὴρ ἢ γυνὴ, κἂν παῖδας ἔχῃς, καὶ τῷ μύλωνι παρεδρεύσῃς, ἀλλ' οὐ παροράᾳ σε « Ὁ ἐξάγων » πεπεδημένους ἐν ἀνδρείᾳ » (3). Ὁ ἐξαγαγὼν τὸν Ἰωσὴφ εἰς βασιλείαν ἐκ δουλείας καὶ φυλακῆς, καὶ σὲ λυτροῦται ἐκ τῶν θλίψεων εἰς βασιλείαν οὐρανῶν. Μόνον θάρσησον, μόνον ἔργασαι, μόνον ἀγώνισαι προθύμως· οὐδὲν γὰρ ἀπόλλυται. Ἀνάγραπτός ἐστί σου πᾶσα προσευχὴ καὶ ψαλμῳδία· ἀνάγραπτός ἐστι πᾶσα ἐλεημοσύνη· ἀνάγραπτός ἐστι πᾶσα νηστεία· ἀνάγραπτός ἐστι πᾶς ὁ διαφυλαχθεὶς γάμος καλῶς· ἀνάγραπτός ἐστιν ἐγκράτεια διὰ Θεὸν τελεσθεῖσα. Τὰ πρωτεῖα δὲ τῶν στεφάνων ἐν ἀναγραφαῖς ἔχει παρθενία καὶ ἁγνεία, καὶ μέλλεις λάμπειν ὡς ἄγγελος. Ἀλλ' ὥς περ ἤκουσας ἡδέως τὰ καλὰ, [οὕτως] ἄκουε πάλιν ἀδυσωπήτως τὰ ἐναντία. Ἀνάγραπτός σου ἐστὶ πᾶσα πλεονεξία· ἀνάγραπτός σου ἐστὶ πᾶσα πορνεία· ἀνάγραπτός σου πᾶσά ἐστι ἐπιορκία, καὶ βλασφημία, καὶ φαρμακεία, καὶ κλοπὴ, καὶ φόνος· πάντα ἀναγράφεται ταῦτα λοιπὸν, ἐὰν νῦν μετὰ τὸ βαπτισθῆναι (4) τὰ αὐτὰ πράξῃς· τὰ γὰρ πρῶτα ἐξαλείφεται.

ιά. « Ὅταν δὲ ἔλθῃ, φησὶν, ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ » αὐτοῦ, καὶ πάντες οἱ Ἄγγελοι μετ' αὐτοῦ » (5). Βλέπε, ἄνθρωπε, ἐπὶ πόσων εἰς κριτήριον εἰσέρχῃ. Πᾶν γένος ἀνθρώπων τότε παρέσται. Λόγισαι οὖν πόσον ἐστὶ τὸ Ῥωμαίων φῦλον· λόγισαι πόσα τὰ βάρβαρα τὰ νῦν ζῶντα, καὶ πόσα πρὸ ἑκατὸν ἐτῶν ἐτελεύτησε· λόγισαι πρὸ χιλίων ἐτῶν πόσα ἐτάφη. Λόγισαι τοὺς ἀπὸ Ἀδὰμ μέχρι σήμερον. Πολὺ μὲν τὸ πλῆθος, ἀλλ' ἔτι μικρόν· πλείονες γὰρ οἱ Ἄγγελοι. Ἐννενήκοντα ἐννέα πρόβατά ἐστιν ἐκεῖ-

(1) Πρὸς Φιλιπ. Β', 7.
(2) Λουκ. ΙΖ', 34.
(3) Ψαλμ. ΞΖ', 7.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, πάντα ἀναγράφεται ταῦτα λοιπὸν νῦν, ἐὰν μετὰ τὸ βαπτισθῆναι κτλ.
(5) Ματθ. ΚΕ', 31.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

να (1)· ἡ δὲ ἀνθρωπότης, τὸ ἓν μόνον (2). Πρὸς γὰρ τὸ μέγεθος τῶν τόπων ἁπάντων, οὕτω καὶ τὸ πλῆθος τῶν οἰκητόρων λογίζεσθαι δεῖ. Ἡ οἰκουμενικὴ γῆ, κέντρον ὥς περ ἐστὶν ἐν μέσῳ τοῦ ἑνὸς οὐρανοῦ· καὶ τοσοῦτον ἔχει (3) πλῆθος ὁ ταύτην περιβάλλων οὐρανός, ὅσον ἔχει τὸ πλάτος· καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν ἀνείκαστον ἔχουσι τὸν ἀριθμόν. Γέγραπται δέ· « χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μυρίαι μυριάδες παρειστήκεισαν αὐτῷ» (4)· οὐχ ὅτι τοσοῦτον μόνον τὸ πλῆθός ἐστιν, ἀλλ' ὅτι πλέον τούτων εἰπεῖν οὐκ ἠδύνατο ὁ προφήτης. Βάρεστι τοίνυν ἐν τῇ κρίσει τότε ὁ Θεὸς ὁ πάντων πατὴρ, συγκαθεζομένου [Ἰησοῦ] Χριστοῦ, καὶ συμπαρόντος ἁγίου Πνεύματος. Σάλπιγξ ἀγγελικὴ προσκαλεῖται πάντας ἡμᾶς, τὰ πεπραγμένα φοροῦντας. Ἆρα οὐκ ὀφείλομεν ἐντεῦθεν ἤδη ἀγωνιάσαι; Μὴ μικρὰν τὴν καταδίκην καὶ χωρὶς τιμωρίας, ἄνθρωπε, νομίσῃς τὸ ἐπὶ τοσούτων καταγνωσθῆναι. Ἆρα οὐχ αἱρούμεθα πολλάκις ἀποθανεῖν, ἢ ὑπὸ φίλων καταγνωσθῆναι;

ιϚ'. Ἀγωνιάσωμεν, ἀδελφοὶ [τοίνυν], μὴ Θεὸς ἡμῶν καταγνῷ, ὃς ἐξετάσεως ἢ ἐλέγχων οὐ χρείαν ἔχει πρὸς κατάγνωσιν. Μὴ εἴπῃς ὅτι νυκτὸς ἐπόρνευσα, ἢ ἐμάγευσα, ἢ ἕτερόν τι ἔπραξα, καὶ ἄνθρωπος οὐ παρῆν ἐκεῖ. Ἐκ τῆς συνειδήσεώς σου κρίνῃ (5)· « Μεταξὺ » τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων ἐν ἡμέρᾳ, » ὅταν κρινῇ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων » (6). Τοῦ κριτοῦ τὸ φοβερὸν πρόσωπον ἀναγκάζει σε εἰπεῖν τὴν ἀλήθειαν· μᾶλλον δὲ κἂν [μὴ] εἴπῃς, ἐλέγχει περιβεβλημένος [γὰρ] τὰς σεαυτοῦ ἁμαρτίας, ἤτοι δικαιοσύνας, ἐγείρῃ. Καὶ τοῦτο ἐδήλωσεν αὐτὸς ὁ κριτὴς, λέγων, Χριστὸς γάρ ἐστιν ὁ κρίνων· « Οὐδὲ γὰρ ὁ Πατὴρ » κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ » (7)· οὐκ ἀπαλλοτριῶν ἑαυτὸν τῆς ἐξουσίας, ἀλλὰ διὰ τοῦ Υἱοῦ κρίνων. Πνεύματι τοίνυν Πατρὸς κρίνει ὁ Υἱός. Οὐ γὰρ ἄλλα Πατρὸς καὶ

(1) Ἐκ τοῦ ΒΤ.—Μ, πρόδατα, τοῦτ' ἔστιν ἐκείνα·
(2) Ματθ. ΙΗ', 12. καὶ Λουκ. ΙΕ', 4·
(3) Ἐκ τοῦ ΒΤ.—Μ, ὑπερέχει·
(4) Δανιὴλ Ζ', 10.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, κρίνει·
(6) Πρὸς Ῥωμ. Β', 15—16. (7) Ἰωάν. Ε', 22.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄλλα Υἱοῦ τὰ νεύματα, ἀλλ' ἓν καὶ τὸ αὐτό. Τί λέγει τοίνυν ὁ κριτὴς περὶ τοῦ φορεῖν σε τὰ ἔργα σου [, ἢ μή] ; « Καὶ συνάξου-» σιν ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη » (1)· δεῖ γὰρ ἐνώπιον τοῦ Χριστοῦ πᾶν γόνυ κάμψαι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων (2). « Καὶ ἀφορίσει αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφο-» ρίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων » (3). Ὁ ποιμὴν πῶς ἀφορίζει ; ἆρα ἐξετάζων ἀπὸ βιβλίου, τί (4) μέν ἐστι πρόβατον, τίς δὲ ἔριφος ἢ ἀπὸ τῶν φαινομένων διακρίνει ; οὐχὶ τὸ μὲν ἔριον δηλοῖ τὸ πρόβατον, τὸ δὲ τριχῶδες καὶ σκληρὸν δηλοῖ τὸν ἔριφον ; Οὕ-τως, ἐὰν μὲν καθαρθῇς ἄρτι τῶν ἁμαρτιῶν, τὰς πράξεις ἔχεις εἰς τὸ ἐξῆς ὡς ἔριον καθαρόν (5)· καὶ μένει σου ἀμόλυντος ἡ στολὴ, καὶ λέγεις πάντοτε τὸ « Ἐξεδυσάμην (6) τὸν χιτῶνά μου, πῶς » ἐνδύσωμαι αὐτόν ; (7). Ἐκ τῆς περιβολῆς γνωρίζῃ πρόβατον· ἐὰν τριχώδης εὑρεθῇς κατὰ τὸν Ἠσαῦ, τὸν δασὺν ἐν θριξὶ (8) καὶ φαῦλον ἐν διανοίᾳ, τὸν ἀπολέσαντα τὰ πρωτοτόκια διὰ βρώματα, καὶ πωλήσαντα τὴν ἀξίαν (9), γενήσῃ τῶν ἀριστερῶν (10). Μὴ γένοιτο δέ τινα τῶν παρόντων ἀποβληθῆναι τῆς χάριτος, μηδὲ διὰ ῥαύλας πράξεις ἐν τοῖς ἀριστεροῖς τῶν ἁμαρτωλῶν εὑρεθῆναι τάγμασι.

ιγ'. Φοβερὰ ἡ κρίσις ὡς ἀληθῶς, καὶ φόβος ἐπὶ τοῖς καταγγελ-λομένοις. Βασιλεία οὐρανῶν πρόκειται, καὶ πῦρ αἰώνιον ἡτοίμα-σται (11). Πῶς οὖν, ἐρεῖ τις, φύγωμεν τὸ πῦρ; καὶ πῶς εἰσέλθω-μεν εἰς τὴν βασιλείαν ; « Ἐπείνασα γὰρ, φησὶ, καὶ ἐδώκατέ μοι » φαγεῖν ». Μάθετε τὴν ὁδὸν· οὐ χρεία νῦν ἀλληγορίας, ἀλλὰ τοῦ

(1) Ματθ. ΚΕ', 32.
(2) Πρὸς Ῥωμ. ΙΔ', 10—11 καὶ πρὸς Φιλιπ. Β', 10.
(3) Ματθ. ΚΕ', 32.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, τίς
(5) Ἡσ. Α', 18.
(6) Μ, Ἐξέδυσα μεν
(7) Ἆσμ. Ἀσμ. Ε', 3.
(8) Γενέσ. ΚΕ', 25.
(9) Πρὸς Ἑβρ. ΙΒ', 16.
(10) Ματθ. ΚΕ', 33.
(11) Ματθ. ΚΕ', 41.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπιτελέσαι τὰ λεγόμενα· « Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· » [Ἐδίψησα, καὶ ἐποτίσατέ με·] ξένος ἤμην, καὶ συνηγάγετέ με· » γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν » φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με » (2). Ταῦτα ἐὰν ποιήσῃς, συμβασιλεύσεις· εἰ δὲ μὴ ποιήσῃς, κατακρινῇ (3). Ἤδη τοίνυν ἄρξαι τοῦ ἐργάζεσθαι ταῦτα, καὶ ἐπίμενε τῇ πίστει· μὴ κατὰ τὰς μωρὰς παρθένους, μέλλων ἀγοράζειν τὸ ἔλαιον, ἀποκλεισθῇς (4). Μὴ θαρσήσῃς ὅτι μόνον κατέχεις τὴν λαμπάδα· ἀλλὰ διατήρησον αὐτὴν καιομένην. Λαμψάτω σου τὸ φῶς τῶν καλῶν ἔργων ἔμπροσθεν τῶν ἀνθρώπων (5), καὶ μὴ βλασφημείσθω διὰ σὲ ὁ Χριστός (6). Φόρεσον ἔνδυμα ἀφθαρσίας (7) ἐν ἔργοις ἀγαθοῖς διαπρέπων (8)· καὶ ὃ λαμβάνεις παρὰ τοῦ Θεοῦ οἰκονομικῶς διοικῆσαι πρᾶγμα, διοίκησον χρησίμως (9). Χρήματα ἐπιστεύθης; διοίκησον καλῶς. Λόγον διδασκαλικὸν ἐπιστεύθης (10); οἰκονόμησον καλῶς. Τὰς ψυχὰς τῶν ἀκουόντων προσθεῖναι δύνασαι (11); ποίει τοῦτο σπουδαίως. Πολλαὶ θύραι τῆς καλῆς διοικήσεως. Μή τις ἡμῶν μόνον καταγνωσθεὶς ἀποβληθῇ, ἵνα μετὰ παῤῥησίας ἀπαντήσωμεν τῷ αἰωνίῳ βασιλεῖ Χριστῷ, τῷ βασιλεύοντι εἰς τοὺς αἰῶνας. Βασιλεύει γὰρ εἰς τοὺς αἰῶνας ὁ κρίνων ζῶντας καὶ νεκροὺς, ὁ ὑπὲρ ζώντων καὶ νεκρῶν ἀποθανών· καὶ καθὼς Παῦλός φησιν· « Εἰς » τοῦτο γὰρ ὁ Χριστὸς ἀπέθανε [καὶ ἀνέστη] καὶ ἀνέζησεν (12), » ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ » (13).

ιδ'. Κἂν ποτέ τινος ἀκούσῃς λέγοντος, ὅτι τέλος ἔχει ἡ Χριστοῦ βασιλεία, μίσησον τὴν αἵρεσιν. Τοῦ δράκοντός ἐστιν ἄλλη κε-

(1) Ματθ. ΚΕ', 35. (2) Αὐτόθι, 35—36.
(3) Ἐν μὲν τῷ ΒΤ, κατακρίνῃ· ἐν δὲ τῷ Μ, κατακρινεῖς.
(4) Ματθ. ΚΕ', 10—12.
(5) Ματθ. Ε', 16.
(6) Πρὸς Ῥωμ. Β', 24.
(7) Α' πρὸς Κορινθ. ΙΕ', 53.
(8) Α' πρὸς Τιμόθ. Β', 10.
(9) Ματθ. ΚΕ', 14—30. καὶ Λουκ. ΙΘ', 12—27.
(10) Β' πρὸς Τιμόθ. Β', 15.
(11) Πράξ. Ἀποστόλ. Β', 41.
(12 Ἐν ἀμφοτέροις, ΒΤ καὶ Μ, ἀπέθανε καὶ ἔζησεν,
(13) Πρὸς Ῥωμ. ΙΔ', 9.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φαλὴ (1), προσφάτως περὶ τὴν Γαλατίαν ἀναφυεῖσα. Ἐτόλμησέ [τις] λέγειν, ὅτι μετὰ τὸ τέλος τοῦ κόσμου ὁ Χριστὸς οὐ βασιλεύει· καὶ ἐτόλμησεν εἰπεῖν, ὅτι ὁ Λόγος ἐκ Πατρὸς ἐξελθὼν, οὗτος εἰς Πατέρα πάλιν ἀναλυθεὶς οὐκέτι ἐστὶ, βλασφημῶν τὰ τοιαῦτα καθ' ἑαυτοῦ. Οὐ γὰρ ἤκουσε τοῦ Κυρίου λέγοντος· « Ὁ Υἱὸς μέ»νει εἰς τὸν αἰῶνα» (2)· οὐκ ἤκουσε τοῦ Γαβριὴλ λέγοντος· « Καὶ »βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασι»λείας αὐτοῦ οὐκ ἔσται τέλος » (3). Σκόπησον τὸ λεγόμενον. Ἄνθρωποι νῦν αἱρετικοὶ κατὰ τοῦ Χριστοῦ (4) διδάσκουσι, καὶ Γαβριὴλ ὁ ἀρχάγγελος τὰ περὶ τῆς αἰωνίου διαμονῆς τοῦ Σωτῆρος ἐδίδαξε. Τίνι μᾶλλον οὖν πιστεύεις ; οὐχὶ ἄρα τῷ Γαβριήλ ; Τὴν μαρτυρίαν τὴν παροῦσαν τοῦ Δανιὴλ ἄκουσον· « Ἐθεώρουν ἐν ὁρά»ματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς »υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν »ἔφθασε. Καὶ αὐτῷ ἐδόθη ἡ τιμὴ, καὶ ἡ ἀρχὴ, καὶ ἡ βασιλεία· »καὶ πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι, δουλεύουσιν αὐτῷ. Ἡ ἐξου»σία αὐτοῦ, ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία »αὐτοῦ οὐ διαφθαρήσεται» (5). Ταῦτα κράτει, μόνον τούτοις πίστευε· τὰ δὲ τῆς αἱρέσεως ἀποπέμπου· φανερώτατα γὰρ ἤκουσας περὶ τῆς ἀτελευτήτου τῆς Χριστοῦ βασιλείας. Ἔχεις τὸ παραπλήσιον καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ λίθου, τοῦ ἐξ ὄρους τμηθέντος ἄνευ χειρῶν (6), ὅς ἐστι Χριστὸς τὸ κατὰ σάρκα· « Καὶ ἡ βασιλεία »αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται » (7). Καὶ ὁ Δαβὶδ ποτὲ μέν φησιν, « Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος » (8)· ποτὲ δὲ, « Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας », καὶ τὰ ἑξῆς· « Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις », καὶ τὰ ἑξῆς· « Σὺ δὲ »ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν» (9). Ἄτινα εἰς τὸν

(1) Ἀποκάλ. Ἰωάν. ΙΒ', 3.
(2) Ἰωάν. Β', 35.
(3) Λουκ. Α', 33.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, τὰ κατὰ τοῦ Χριστοῦ
(5) Δανιὴλ Ζ', 13—14.
(6) Δανιὴλ Β', 34.
(7) Αὐτόθι, 44.
(8) Ψαλμ. ΜΔ', 7. (9) Ψαλμ. ΡΑ', 26—28.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Υἱὸν ὁ Παῦλος ἑρμήνευσε. Καὶ θέλεις γνῶναι πόθεν ἦλθον εἰς τοιαύτην μανίαν οἱ τὰ ἐναντία διδάσκοντες; Ἀνέγνωσαν τὸ τοῦ Ἀποστόλου καλὸν, κακῶς, τὸ « Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις »οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ» (1)· καὶ λέγουσιν, ὅταν οἱ ἐχθροὶ τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ, οὐκέτι βασιλεύει· κακῶς καὶ ἀνοήτως τοῦτο λέγοντες. Ὁ γὰρ πρὶν καταγωνίσηται τοὺς ἐχθροὺς βασιλεύων, πῶς οὐχὶ μᾶλλον μετὰ τὸ περικρατῆσαι τῶν ἐχθρῶν βασιλεύσει;

ιε'. Ἐτόλμησαν [δὲ καὶ τοῦτο] εἰπεῖν, ὅτι (2) τὸ γεγραμμένον, « Ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς [ὁ Υἱὸς] ὑποταγή»σεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα» (3), τοῦτο δηλοῖ, καὶ τὸν Υἱὸν ἀναλύεσθαι εἰς Πατέρα. Εἶτα, ὦ πάντων ἀνοσιώτατοι, ὑμεῖς μὲν, τὰ Χριστοῦ δημιουργήματα, μένετε· Χριστὸς δὲ, δι' οὗ [καὶ] ὑμεῖς καὶ *πάντα γέγονεν* (4), ἀπόλλυται; Βλάσφημος ἡ φωνή. Πῶς δὲ ὑποταγήσεται αὐτῷ τὰ πάντα; ἀπολλύμενα, ἢ μένοντα; Εἶτα, τὰ μὲν ἄλλα (5) ὑποτασσόμενα τῷ Υἱῷ, μένει· ὁ δὲ Υἱὸς ὑποτασσόμενος τῷ Πατρὶ, οὐ μένει; Ὑποταγήσεται δὲ, οὐχ ὅτι τότε ἄρχεται πειθαρχεῖν τῷ Πατρὶ, ἀεὶ γὰρ τὰ ἀρεστὰ αὐτῷ ποιεῖ πάντοτε (6)· ἀλλ' ὅτι καὶ τότε ὑπακούει, οὐκ ἀναγκαστὴν ὑπακοὴν ἔχων, ἀλλ' αὐτοπροαίρετον εὐπείθειαν. Οὐ γὰρ δοῦλός ἐστιν, ἵνα ἀνάγκῃ ὑποταγῇ· ἀλλὰ υἱός ἐστιν, ἵνα προαιρέσει καὶ φιλοστοργίᾳ πεισθῇ. Ἐξετάσωμεν δὲ αὐτούς· τὸ *ἄχρις οὗ* (7), ἢ τὸ *μέχρις οὗ*, ποταπόν ἐστιν; Ἐγὼ γὰρ αὐτῇ τῇ λέξει, ὁρμᾶσε (8) χωρήσας, ἀνατρέψαι πειράσομαι τὴν πλάνην. Ἐπειδὴ ἐτόλμησαν εἰπεῖν ὅτι τὸ, « Μέχρις οὗ ἂν θῇ τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ » (9), δηλοῖ αὐτοῦ τὸ τέλος· καὶ ἐτόλμησαν περιγράψαι τὴν αἰώνιον

(1) Α' πρὸς Κορινθ. ΙΕ', 25.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, Ἐτόλμησαν εἰπεῖν καὶ τοῦτο τὸ γεγραμμένον, κτλ.
(3) Α' πρὸς Κορινθ. ΙΕ', 28.
(4) Ἰωάν. Α', 3. (5) Ἐκ τοῦ ΒΤ.—Μ, Εἰ τὰ μὲν ὑποτασσόμενα κτλ.
(6) Ἰωάν. Η', 29. — Ἡ στίξις ἐκ τοῦ ΒΤ. — Μ, πειθαρχεῖν· τῷ πατρὶ γὰρ ἀεὶ τὰ ἀρεστὰ αὐτῷ ποιεῖ κτλ.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, ἄχρις οὗ ἔλθῃ, ἢ κτλ.
(8) Αὐτόθεν. —ἀντὶ τοῦ ἐν τῷ Μ, ὁμοίως
(9) Α' πρὸς Κορινθ. ΙΕ', 25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ Χριστοῦ βασιλείαν, καὶ καταπαῦσαι τῷ λόγῳ τὴν ἀκατάπαυστον ἐξουσίαν· φέρε τοίνυν, ἀναγνῶμεν τὰ ὅμοια ἐν τῷ Ἀποστόλῳ· « Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως » (1). Ἆρα μέχρι τότε ἀπέθανον, καὶ οὐκέτι μετὰ Μωϋσέα τινὲς ἀπέθανον, ἢ μετὰ νόμον οὐκέτι θάνατος γέγονεν ἀνθρώπων; Ἀλλὰ βλέπεις ὅτι τὸ *μέχρι* ῥητὸν, οὐ χρόνου ἐστὶ περιοριστικόν· ἀλλ', ὅτι τοῦτο μᾶλλον ἐδήλωσεν ὁ Παῦλος, καὶ ταῦτα Μωϋσέως δικαίου ὄντος καὶ θαυμασίου ἀνδρὸς, ὅμως ἡ κατὰ τοῦ Ἀδὰμ ἐξενεχθεῖσα ἀπόφασις θανατικὴ, ἔρθασε καὶ ἐπ' αὐτὸν καὶ ἐπὶ τοὺς ἑξῆς· καὶ ταῦτα, μὴ ἁμαρτήσαντας τὰ ὅμοια τῷ Ἀδὰμ, ἐν τῇ παρακοῇ τῆς τοῦ ξύλου βρώσεως. Δέξαι πάλιν ἄλλο ῥητὸν (2) ὅμοιον· « Μέχρι γὰρ σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται » (3). Τὸ *μέχρι σήμερον*, ἆρα μέχρι Παύλου μόνον; οὐ μέχρι σήμερον, καὶ ἕως τῆς συντελείας; Ἐὰν δὲ λέγῃ Παῦλος Κορινθίοις· « Ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ· ἐλπίδα ἔχοντες, αὐξανομένης τῆς πίστεως ὑμῶν, εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγελίσασθαι » (4)· βλέπεις σαφῶς, ὅτι τὸ *ἄχρις*, οὐ τέλος ἐστὶν, ἀλλ' ἔχει τι ἐπακολουθοῦν (5). Πῶς τοίνυν δεῖ σε μνημονεύειν τὸ, *ἄχρις οὗ ἂν θῶ τοὺς ἐχθρούς*; Ὡς περ ἀλλαχοῦ λέγει ὁ αὐτὸς Παῦλος· « Καὶ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται » (6)· δηλονότι *διὰ παντός*. Ὡς περ γὰρ ἀρχὴν τῶν ἡμερῶν τοῦ Χριστοῦ λέγειν οὐ χρὴ (7), οὕτω μηδὲ τέλος τῆς βασιλείας αὐτοῦ ποτὲ λέγοντός τινος ἀνάσχῃ· [Ἡ γὰρ βασιλεία αὐτοῦ,] βασιλεία αἰώνιος γέγραπται (8). Καὶ ἄλλας δὲ πλείονας μαρτυρίας ἔχων ἐκ τῶν θείων Γραφῶν, περὶ τῆς εἰς τοὺς

(1) Πρὸς Ῥωμ. Ε', 14.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, Ἄλλο γὰρ δέξαι ῥητὸν κτλ.
(3) Β' πρὸς Κορινθ. Γ', 14.
(4) Β' πρὸς Κορινθ. Γ', 14, 15.
(5) Ἐκ τοῦ ΒΤ. —Μ, Βλέπε σαφῶς, ὅτι τὸ ἄχρις οὗ τέλος ἐστὶν, ἀλλ' ἔχει τι ἐπακόλουθον.
(6) Πρὸς Ἑβρ. Γ', 13.
(7) Πρὸς Ἑβρ. Ζ', 3.
(8) Δανὴλ Δ', 34, καὶ Ζ', 14.—Ἐν τῷ Μ, βασιλεία γὰρ αἰώνιος γέγραπται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αἰῶνας ἀτελευτήτου τοῦ Χριστοῦ βασιλείας, ἀρκεσθήσομαι (1) ταῖς προειρημέναις τέως διὰ τὸ πολὺ τῆς ἡμέρας.

ις'. Σὺ δὲ ὁ ἀκροατὴς, ἐκεῖνον βασιλέα προσκύνει μόνον, φυγὼν πᾶσαν αἱρετικὴν πλάνην. Εἰ δὲ παράσχοι ἡ τοῦ Θεοῦ χάρις, καὶ τὰ λείποντα τῆς Πίστεως κατὰ καιρὸν ὑμῖν ῥηθήσεται. Ὁ δὲ τῶν ὅλων Θεὸς πάντας ὑμᾶς (2) διαφυλάξειε, μνημονεύοντας τῶν σημείων τῆς συντελείας, καὶ ἀκαταγωνίστους ὑπὸ τοῦ Ἀντιχρίστου μένοντας. Ἔλαβες τὰ σημεῖα τοῦ μέλλοντος ἔρχεσθαι πλάνου· ἔλαβες τὰς ἀποδείξεις τοῦ ἀληθινοῦ Χριστοῦ, τοῦ κατερχομένου φανερῶς ἐξ οὐρανῶν. Τὸν μὲν φεῦγε, τὸν ψευδῆ· τὸν δὲ προσδόκα, τὸν ἀληθινόν. Ἔμαθες τὴν ὁδὸν, πῶς κρινόμενος ἐν τοῖς δεξιοῖς εὑρεθῇς. Τήρησον τὴν περὶ Χριστοῦ παρακαταθήκην (3), ἐν ἔργοις ἀγαθοῖς διαπρέπων (4), ἵνα εὐπαρρήσιάστως παραστὰς τῷ κριτῇ, βασιλείαν οὐρανῶν κληρονομήσῃς· δι' οὗ, καὶ μεθ' οὗ, ἡ δόξα τῷ Θεῷ, σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ Ις'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα εἰς τὸ, ΚΑΙ ΕΙΣ ΕΝ ΑΓΙΟΝ ΠΝΕΥΜΑ, ΤΟΝ ΠΑΡΑΚΛΗΤΟΝ, ΤΟ ΛΑΛΗΣΑΝ ΕΝ ΤΟΙΣ ΠΡΟΦΗΤΑΙΣ (5)· *καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους πρώτης* (6)· « *Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν* » *καὶ ἑξῆς.* [« *Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα.* » *καὶ τὰ ἑξῆς*] (7).

α. ΠΝΕΥΜΑΤΙΚΗΣ ἀληθῶς χρεία τῆς χάριτος, ἵνα περὶ Πνεύ-

(1) Ἐκ τοῦ BT.—M, ἀρκεσθησόμεθα

(2) Ἐκ τοῦ BT.—M, ἡμᾶς

(3) Ἐκ τοῦ ἱεροῦ κειμένου (Α' πρὸς Τιμόθ. ϛ', 20), παρακαταθήκην· ἀντὶ τοῦ ἐν μὲν τῷ M, διαθήκην· ἐν δὲ τῷ BT, παραθήκην,

(4) Α' πρὸς Τιμόθ. Β', 10.

(5) Ἐκ τοῦ BT.—M, Πνεῦμα τὸ Παράκλητον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν (Βλ. ἔμπροσθεν, § ε' καὶ Κατηχήσει ΙΖ', § ε' ἐν τῷ τέλει· ἔτι δὲ καὶ Κατηχ. Α', § ιε', ἔνθα ἡ αὐτὴ κεῖται φράσις « τὸ λαλῆσαν ἐν τοῖς προφήταις »).

(6) Τὸ πρώτης, λεῖπον ἐξ ἀμφοτέρων, BT καὶ M, προσέθηκα.

(7) Α' πρὸς Κορινθ. ΙΒ', 1. 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ματος ἁγίου διαλεχθῶμεν· οὐχ ἵνα [τὸ] κατ' ἀξίαν εἴπωμεν, ἀδύνατον γάρ· ἀλλ' ἵνα τὰ ἀπὸ τῶν θείων Γραφῶν εἰπόντες ἀκινδύνως διέλθωμεν. Φοβος γὰρ ἀληθῶς μέγας ἐν τοῖς Εὐαγγελίοις γέγραπται, τοῦ Χριστοῦ σαφῶς εἰρηκότος· « Ὅς δ' ἂν εἴπῃ λόγον κατὰ » τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ » αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι » (1). Καὶ ἔστι πολλάκις δέος, μή ποτέ τις [ἢ] ἐξ ἀγνοίας, ἢ ἐκ νομιζομένης εὐλαβείας, εἰπὼν ὃ μὴ χρὴ περὶ αὐτοῦ, λάβῃ τὴν καταδίκην. Ὁ κριτὴς ζώντων καὶ νεκρῶν Ἰησοῦς Χριστὸς ἀπερήνατο, ὅτι οὐκ ἔχει ἄφεσιν· ἐάν [οὖν] τις πταίσῃ, ποίαν ἔχει τὴν ἐλπίδα; Αὐτῆς οὖν ἂν εἴη [τῆς] Ἰησοῦ Χριστοῦ χάριτος ἔργον τὸ παρασχεῖν, καὶ ἡμῖν ἀλείπτως εἰπεῖν, καὶ ὑμῖν ἐν συνέσει ἀκούειν. Χρεία γὰρ συνέσεως, οὐ μόνον τοῖς λέγουσιν, ἀλλὰ καὶ τοῖς ἀκούουσιν· ἵνα μὴ ἄλλα ἀκούοντες, ἄλλα (2) παρεκδέχωνται ἐν διανοίᾳ. Λεγέσθω τοίνυν ὑφ' ἡμῶν περὶ ἁγίου Πνεύματος [μόνα] τὰ γεγραμμένα· εἰ δέ τι μὴ γέγραπται, μὴ πολυπραγμονῶμεν. Αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε τὰς Γραφάς· αὐτὸ καὶ περὶ αὐτοῦ εἴρηκεν ὅσα ἐβούλετο, ἢ (3) ὅσα ἐχωροῦμεν. Λεγέσθω οὖν ἃ εἴρηκεν· ὅσα γὰρ οὐκ εἴρηκεν, ἡμεῖς οὐ τολμῶμεν.

Ϛ'. Ἓν ἐστι μόνον τὸ ἅγιον Πνεῦμα, ὁ Παράκλητος. Καὶ ὥς περ εἷς ἐστιν ὁ Θεὸς [ὁ] Πατὴρ (4), καὶ οὐκ ἔστι δεύτερος πατήρ· καὶ ὥς περ εἷς ἐστιν ὁ μονογενὴς υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, καὶ ἀδελφὸν οὐκ ἔχει· οὕτως ἓν ἐστι τὸ ἅγιον Πνεῦμα μόνον, καὶ δεύτερον οὐκ ἔστι Πνεῦμα ἰσότιμον αὐτῷ. Ἔστιν οὖν τὸ ἅγιον Πνεῦμα μεγίστη δύναμις, θεῖόν τι καὶ ἀνεξιχνίαστον. Ζῇ γὰρ, καὶ λογικόν ἐστιν, ἁγιαστικὸν τῶν ὑπὸ Θεοῦ διὰ Χριστοῦ γενομένων ἁπάντων (5). Τοῦτο φωτίζει τὰς ψυχὰς τῶν δικαίων· τοῦτο καὶ ἐν προφήταις, τοῦτο καὶ ἐν Ἀποστόλοις ἐν τῇ καινῇ Διαθήκῃ. Μισεί-

(1) Ματθ. ΙΒ', 32.

(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἀλλως

(3) Τὸ ἢ ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, καὶ

(4) Τὸ ὁ ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, καὶ Πατήρ, (Βλ. Α' πρὸς Κορινθ. Η', 6).

(5) Ἐκ τοῦ ΒΤ.—Μ, τῶν ὑπὸ Θεοῦ γεγραμμένων ἁπάντων διὰ Χριστοῦ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθωσαν οἱ χωρίζειν τολμῶντες τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν. Εἷς Θεὸς ὁ Πατὴρ, παλαιᾶς καὶ καινῆς Διαθήκης δεσπότης· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, ὁ ἐν παλαιᾷ προφητευθείς, καὶ ἐν καινῇ παραγενόμενος· καὶ ἓν Πνεῦμα ἅγιον, διὰ προφητῶν μὲν περὶ τοῦ Χριστοῦ κηρύξαν, ἐλθόντος δὲ τοῦ Χριστοῦ καταβὰν, καὶ ἐπιδεῖξαν αὐτόν (1). Μηδεὶς οὖν χωριζέτω τὴν παλαιὰν ἀπὸ τῆς καινῆς Διαθήκης. Μηδεὶς λεγέτω ὅτι ἄλλο τὸ Πνεῦμα ἐκεῖ, καὶ ἄλλο ὧδε· ἐπεὶ προσκρούει [αὐτῷ] τῷ ἁγίῳ Πνεύματι (2), τῷ μετὰ Πατρὸς καὶ Υἱοῦ τετιμημένῳ, καὶ ἐν τῷ καιρῷ τοῦ ἁγίου βαπτίσματος ἐν τῇ ἁγίᾳ Τριάδι συμπεριλαμβανομένῳ. Ὁ γὰρ τοῦ Θεοῦ μονογενὴς υἱὸς τοῖς Ἀποστόλοις εἴρηκε σαφῶς· « Πορευθέντες » μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα » τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος » (3). Ἡ ἐλπὶς ἡμῶν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα. Οὐ τρεῖς θεοὺς καταγγέλλομεν· φιμούσθωσαν γὰρ Μαρκιωνισταί· ἀλλὰ σὺν ἁγίῳ Πνεύματι, δι' ἑνὸς Υἱοῦ, ἕνα Θεὸν καταγγέλλομεν. Ἀδιαίρετος ἡ Πίστις· ἀχώριστος ἡ εὐσέβεια. Οὔτε χωρίζομεν τὴν ἁγίαν Τριάδα, ὥς τινες· οὔτε συναλοιφὴν, ὡς Σαβέλλιος, ἐργαζόμεθα. Ἀλλ' οἴδαμεν εὐσεβῶς ἕνα Πατέρα, τὸν ἀποστείλαντα ἡμῖν Σωτῆρα (4) τὸν Υἱόν. Οἴδαμεν ἕνα Υἱὸν, τὸν ἐπαγγειλάμενον (5) πέμψειν παρὰ τοῦ Πατρὸς τὸν Παράκλητον (6). Οἴδαμεν τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλῆσαν ἐν προφήταις, καὶ ἐν τῇ Πεντηκοστῇ κατελθὸν ἐπὶ τοὺς Ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν (7), ἐνταῦθα ἐν τῇ Ἱερουσαλὴμ, ἐν τῇ ἀνωτέρᾳ τῶν Ἀποστόλων Ἐκκλησίᾳ. Πάντων γὰρ παρ' ἡμῖν ἐστι τὰ ἀξιώματα. Ἐνταῦθα Χριστὸς ἐξ οὐρανῶν κατῆλθεν· ἐνταῦθα τὸ Πνεῦμα τὸ ἅγιον ἐξ οὐρανῶν κατῆλθεν. Καὶ πρεπωδέστατον μὲν ἀληθῶς ἦν, ὡς περ τὰ περὶ Χριστοῦ καὶ τοῦ Γολγοθᾶ, ἐν τῷ Γολγοθᾷ τοῦτῳ λέγομεν, οὕτω καὶ περὶ ἁγίου

(1) Ματθ. Γ', 16.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, προσκρούει τῷ ἁγίῳ αὐτοῦ Πνεύματι,
(3) Ματθ. ΚΗ', 19.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, σωτηρίαν
(5) Αὐτόθεν.—Μ, ἐπαγγελλόμενον
(6) Ἰωάν. ΙΕ', 26.
(7) Πράξ. Ἀποστόλ. Β', 1—5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πνεύματος ἐν τῇ ἀνωτέρᾳ λέγειν Ἐκκλησίᾳ. Ἐπειδὴ δὲ τῆς δόξης τοῦ ἐνταῦθα σταυρωθέντος συναπολαύει τὸ ἐκεῖ κατελθόν· οὕτω τὰ περὶ τοῦ ἐκεῖ κατελθόντος ἐνταῦθα λαλοῦμεν. Ἀμέριστος γάρ ἐστιν εὐσέβεια.

γ'. Βουλόμεθα λοιπὸν τινὰ εἰπεῖν περὶ τοῦ ἁγίου Πνεύματος· οὐχὶ διηγήσασθαι τὴν ὑπόστασιν αὐτοῦ ἀκριβῶς, ἀδύνατον γάρ· ἀλλ' εἰπεῖν τὰς διαφόρους [τινῶν περὶ] αὐτοῦ παρεκτροπὰς, ἵνα μή ποτε ἐξ ἀγνοίας ἐκείνων κατενεχθῶμεν· [καὶ] ἐπικόψαι (1) τὰς τῆς πλάνης ὁδοὺς, ἵνα μίαν ὁδὸν βασιλικὴν ὁδεύσωμεν. Εἰ δέ τι ῥηθὲν ὑπὸ τῶν αἱρέσεων, νῦν διηγούμεθα δι' ἀσφάλειαν, τοῦτο κατὰ τῆς ἐκείνων προτρεπέσθω κεφαλῆς· ἀθῶοί τε εἴημεν, οἵ τε λέγοντες ἡμεῖς, καὶ ὑμεῖς οἱ ἀκούοντες. Οἱ γὰρ περὶ πάντα ἀνοσιώτατοι αἱρετικοὶ, καὶ κατὰ τοῦ ἁγίου Πνεύματος ὤξυναν γλῶσσαν (2) καὶ ἐτόλμησαν [εἰπεῖν] τὰ ἀθέμιτα, καθὼς Εἰρηναῖος ὁ ἐξηγητὴς ἐν τοῖς προστάγμασι τοῖς πρὸς τὰς αἱρέσεις (3) ἔγραψεν. Οἱ μὲν ἑαυτοὺς εἶναι τὸ Πνεῦμα τὸ ἅγιον εἰπεῖν τολμήσαντες, ὧν πρῶτος Σίμων ὁ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων μάγος (4)· ἀποβληθεὶς γὰρ, τὰ τοιαῦτα διδάσκειν ἐτόλμησεν. Οἱ δὲ Γνωστικοὶ καλούμενοι καὶ ἀσεβεῖς, καὶ ἕτερα κατὰ τοῦ Πνεύματος ἐρθέγξαντο. Οὐαλεντινιανοὶ δὲ οἱ παράνομοι, [πάλιν] ἕτερα (5). Ὁ δὲ δυσσεβὴς Μάνης, ἑαυτὸν εἶναι τὸν ὑπὸ Χριστοῦ περμρθέντα Παράκλητον εἰπεῖν ἐτόλμησεν. Ἕτεροι δὲ, ἄλλο ἐν προφήταις εἶναι, καὶ ἄλλο ἐν καινῇ (6). Καὶ πολλὴ δέ τις αὐτῶν ἡ πλάνη, μᾶλλον δὲ ἡ βλασφημία. Μίσησον τοίνυν τοὺς τοιούτους, καὶ φεῦγε τοὺς βλασφημοῦντας τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἄφεσιν οὐκ ἔχοντας. Τίς σοι πρὸς τοὺς ἀνελπίστους κοινωνία, τῷ βαπτισθησομένῳ νῦν καὶ εἰς Πνεῦμα ἅγιον; Εἰ ὁ κολλώμενος τῷ κλέ-

(1) Ἐκ τοῦ ΒΤ.—Μ, ἐπικόψω (2) Ψαλμ. ΡΛΘ', 4.

(3) Γραπτέον ἰσ. ἐν τῷ συντάγματι τῷ πρὸς τὰς αἱρέσεις· τοῦτο δ' ἐστὶ τὸ Κατὰ αἱρέσεων, ἐν λόγοις πέντε, ὧν ἡ ἐπιγραφή· Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως. (Βλ. Εὐσεβ. Ἐκκλησ. Ἱστορ. Βιβλ. Ε', κεφ. 7. καὶ Φωτίου Μυριόβιβλ. 120.)

(4) Πράξ. Ἀποστόλ. Η', 9.

(5) Ἐκ τοῦ ΒΤ.—Μ, οἱ παράνομοι, καὶ ἕτερα.

(6) Ἐκ τοῦ ΒΤ.—Μ, ἄλλον ἐν προφήταις εἶναι, καὶ ἄλλον ἐν καινῇ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πτῃ καὶ συντρέχων (1), ὑπὸ τιμωρίαν ἐστίν· ὁ προσκρούων Πνεύματι ἁγίῳ ποίαν ἕξει τὴν ἐλπίδα; Μισείσθωσαν καὶ Μαρκιωνῖται, οἱ περιελόντες τὰ ῥήματα τῆς παλαιᾶς Διαθήκης ἀπὸ τῆς καινῆς. Πρῶτος γὰρ Μαρκίων, ὁ ἀθεώτατος, ὁ πρῶτος τρεῖς θεοὺς εἰπών, εἰδὼς ὅτι ἔγκεινται ἐν τῇ καινῇ μαρτυρίαι περὶ τοῦ Χριστοῦ τῶν προφητῶν, περιέκοψε τὰς ἐκ τῆς παλαιᾶς Διαθήκης μαρτυρίας, ἵνα ἀμάρτυρος μείνῃ ὁ βασιλεύς. Μισείσθωσαν οἱ προειρημένοι, Γνωστικοὶ μὲν ὀνόματι, τῆς δὲ ἀγνωσίας πεπληρωμένοι, τολμήσαντες τοιαῦτα εἰπεῖν περὶ ἁγίου Πνεύματος, ἅπερ ἐγὼ λέγειν οὐ τολμῶ.

δ΄. Μισείσθωσαν οἱ κατὰ Φρύγας, καὶ Μοντανός, ὁ τῶν κακῶν ἔξαρχος, καὶ [αἱ] δύο ὄθεν αὐτοῦ προφῆτιδες, Μαξιμίλλα καὶ Πρισκίλλα. Ὁ γὰρ Μοντανὸς οὗτος, ὁ παρεξεστηκὼς καὶ μανιώδης ἀληθῶς (οὐ γὰρ ἂν εἶπε τοιαῦτα, εἰ μὴ ἐμαίνετο), ἐτόλμησεν εἰπεῖν ἑαυτὸν εἶναι τὸ ἅγιον Πνεῦμα· ὁ ἀθλιώτατος, καὶ πάσης ἀκαθαρσίας καὶ ἀσελγείας πεπληρωμένος. Αὔταρκες γὰρ τοῦτο διὰ συσσήμων εἰπεῖν, τῶν παρουσῶν γυναικῶν σεμνότητος ἕνεκεν. Καὶ Πέπουζαν μικρότατον κωμύδριον ἐν τῇ Φρυγίᾳ καταλαβών, καὶ ψευδῶς Ἱερουσαλὴμ ὀνομάσας τοῦτο, καὶ ἀθλιώτατα παιδία γυναικῶν μικρὰ σφάττων, καὶ κατακόπτων εἰς ἀθέμιτον βρῶσιν, προφάσει τῶν καλουμένων παρ' αὐτοῖς μυστηρίων· διὸ μέχρι πρώην ἐν τῷ διωγμῷ, τοῦτο ποιεῖν ἡμεῖς ὑποπτευόμεθα, διὰ τὸ κἀκείνους (2) τοὺς Μοντανούς, ψευδῶς μὲν ὁμωνύμως δὲ, καλεῖσθαι Χριστιανούς· ἐτόλμησεν ἑαυτὸν εἰπεῖν ἅγιον Πνεῦμα, ὁ πάσης ἀσεβείας καὶ ἀπανθρωπίας πεπληρωμένος, [ὁ] ἀναπολόγητον ἔχων (3) τὴν καταδίκην. Ἐπηγωνίσατο, καθὼς προείρηται, καὶ ὁ δυσσεβέστατος Μάνης, ὁ τὰ τῶν αἱρέσεων πασῶν κακὰ συνειληφώς. Καὶ οὗτος τελευταῖος βόθρος ἀπωλείας τυγχάνων, τὰ πάντα συλλέξας ὁμοῦ τῶν αἱρετικῶν, καινοτέραν εἰργάσατο καὶ ἐδίδαξε (4) πλάνην· ἐτόλμησέ τε εἰπεῖν, ὅτι αὐτὸς εἴη ὁ Παράκλητος, ὃν ἐπηγγείλατο Χριστὸς ἀποστέλλειν. Ἀλλ' ὁ Σωτὴρ ἐπαγγειλάμενος, εἶπε τοῖς Ἀποστόλοις· « Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως

(1) Ψαλμ. ΜΘ΄, 18. (2) Ἐκ τοῦ ΒΤ.—Μ, ἐκείνους
(3) Αὐτόθεν.—Μ, ἀναπολόγητον ἔχει (4) Αὐτόθεν.—Μ, ἔδειξε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

»οῦ ἐνδύσησθε ἐξ ὕψους δύναμιν» (1). Τί οὖν; ἆρα οἱ τελευτήσαντες Ἀπόστολοι ἀπὸ διακοσίων ἐτῶν, ἐξεδέχοντο τὸν Μάνην, ἕως ἂν ἐνδύσωνται τὴν δύναμιν; Καὶ τολμήσει τις εἰπεῖν, ὅτι οὐκ ἦσαν ἔκτοτε πλήρεις ἁγίου Πνεύματος; Καὶ μὴν γέγραπται ὅτι «Τότε » ἐπετίθεσαν τὰς χεῖρας, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον» (2). Ἆρα οὐχὶ πρὸ τοῦ Μάνη, καὶ πρὸ πολλῶν ἐτῶν τοῦτο ἐγένετο, καταβάντος ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς τοῦ ἁγίου Πνεύματος; Διὰ τί κατεκρίθη Σίμων ὁ μάγος; Ἆρ' οὐ προσελθὼν τοῖς Ἀποστόλοις, καὶ εἰπών· « Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς » χεῖρας, λαμβάνει Πνεῦμα ἅγιον» (3); Οὐ γὰρ εἶπε, *δότε κἀμοὶ* Πνεύματος ἁγίου κοινωνίαν· ἀλλ' *ἐξουσίαν*, ἵνα ἄλλοις πιπράσκῃ τὸ ἄπρατον, ὃ αὐτὸς μὴ ἐκέκτητο. Καὶ ἀργύρια προσήνεγκε τοῖς ἀκτήμοσι καὶ ταῦτα, βλέπων τοὺς προσφέροντας τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ τιθέντας παρὰ τοὺς πόδας τῶν Ἀποστόλων (4)· καὶ οὐκ ἐλογίσατο ὅτι, οἱ ποσὶ καταπατοῦντες τὸν πλοῦτον προσενεχθέντα εἰς τροφὰς τῶν πτωχῶν, οὗτοι οὐκ ἂν ἐπὶ μισθῷ ἔδοσαν ἐξουσίαν Πνεύματος ἁγίου. Οἱ δὲ τί φασι τῷ Σίμωνι; « Τὸ ἀργύριόν » σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμι» σας διὰ χρημάτων κτᾶσθαι » (5)· δεύτερος [γὰρ εἰ] Ἰούδας, διὰ τῶν ἀργυρίων προσδοκήσας πιπράσκειν τὴν χάριν τοῦ Πνεύματος. Εἰ οὖν ὁ Σίμων, θελήσας μισθῷ λαβεῖν τὴν ἐξουσίαν, εἰς ἀπώλειάν ἐστι, Μάνης ὁ ἑαυτὸν εἰπὼν τὸ Πνεῦμα εἶναι τὸ ἅγιον, πόσην ἔχει τὴν ἀσέβειαν; Μισήσωμεν τοὺς μίσους ἀξίους· ἀποστραφῶμεν οὓς ἀποστρέφεται ὁ Θεός. Εἴπωμεν καὶ αὐτοὶ μετὰ παῤῥησίας πάσης τῷ Θεῷ περὶ πάντων αἱρετικῶν· « Οὐχὶ τοὺς » μισοῦντάς σε Κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετη» κόμην (6); » Ἔστι γὰρ [καὶ] ἡ ἔχθρα καλὴ, καθὼς γέγραπται· « Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον τοῦ

(1) Λουκ. ΚΔ', 49.
(2) Πράξ. Ἀποστόλ. Η', 17.
(3) Αὐτόθι, 19.
(4) Πράξ. Ἀποστόλ. Δ', 34—35.
(5) Αὐτόθι Η', 20.
(6) Ψαλμ. ΡΑΗ', 21.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» σπέρματος αὐτῆς» (1)· ἡ γὰρ πρὸς τὸν ὄφιν φιλία, ἔχθραν πρὸς τὸν Θεὸν, καὶ θάνατον κατεργάζεται.

ε. Ταῦτα μὲν οὖν ἡμῖν περὶ τῶν ἀποβεβλημένων εἰρήσθω. Λοιπὸν δὲ εἰς τὰς θείας Γραφὰς ἐπανέλθωμεν, καὶ πίνωμεν ὕδατα ἀπὸ ἡμετέρων ἀγγείων (ἁγίων πατέρων), καὶ ἀπὸ ἡμετέρων φρεάτων πηγῆς (2). Πίνωμεν ἀπὸ ὕδατος ζῶντος, ἁλλομένου εἰς ζωὴν αἰώνιον (3). « Τοῦτο δὲ εἶπεν ὁ Σωτὴρ περὶ τοῦ Πνεύματος, οὗ » ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν » (4). Βλέπε γὰρ τί λέγει· *Ὁ πιστεύων εἰς ἐμὲ, οὐχ ἁπλῶς· ἀλλὰ, καθὼς εἶπεν ἡ Γραφή·* (ἀνέπεμψέ σε εἰς τὴν παλαιὰν Διαθήκην.) *ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.* Οὐ ποταμοὶ αἰσθητοὶ, γῆν ἁπλῶς ἀκανθοφόρον καὶ ξυλοφόρον ποτίζοντες, ἀλλὰ ψυχὰς φωταγωγοῦντες. Καὶ ἀλλαχοῦ φησιν· « Ἀλλὰ τὸ ὕδωρ ὃ » δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς » ζωὴν αἰώνιον » (5). Καινότερον ὕδωρ ζῶν καὶ ἁλλόμενον· ἁλλόμενον δὲ ἐπὶ τοὺς ἁξίους. Καὶ διὰ τί ἆρα τὴν πνευματικὴν χάριν ὕδωρ ὠνόμασεν ; Ἐπειδὴ δι' ὕδατος ἡ σύστασις τῶν ἁπάντων· ἐπειδὴ χλοοποιὸν καὶ ζωοποιόν ἐστι τὸ ὕδωρ· ἐπειδὴ ἐξ οὐρανῶν κατέρχεται τὸ τῶν ὄμβρων ὕδωρ· ἐπειδὴ μονοειδὲς μὲν κατέρχεται, πολυειδῶς δὲ ἐνεργεῖ. Μία μὲν γὰρ πηγὴ ὅλον παράδεισον ἐπαρδεύει (6)· [εἷς δὲ] καὶ [ὁ] αὐτὸς ὑετὸς (7) κατέρχεται ἐν παντὶ τῷ κόσμῳ· καὶ γίνεται, λευκὸς μὲν ἐν κρίνῳ, ἐρυθρὸς δὲ ἐν ῥόδῳ, πορφυροῦς δὲ ἐν ἴοις καὶ ὑακίνθοις, καὶ διάφορος καὶ ποικίλος ἐν παντοίοις εἴδεσι. Καὶ ἐν φοίνικι μὲν ἄλλος, [ἐν ἀμπέλῳ δὲ ἄλλος,] καὶ ἐν πᾶσι τὰ πάντα· μονοειδὴς ὢν, καὶ οὐκ ὢν ἄλλος αὐτὸς ἑαυτοῦ. Οὐ γὰρ μεταβάλλων ἑαυτὸν ὁ ὑετὸς, ἄλλος καὶ ἄλλος κατέρχεται· ἀλλὰ τῇ τῶν ὑποδεχομένων κατα-

(1) Γενέσ. Γ', 15.
(2) Παροιμ. Σολομ. Ε', 15.
(3) Ἰωάν. Δ', 14 καὶ Ζ', 38.
(4) Ἰωάν. Ζ', 39.
(5) Ἰωάν. Δ', 14.
(6) Γενέσ. Β', 10
(7) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ αὐτὸς ὁ ὑετὸς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σκευῇ συμπεριφερόμενος, ἑκάστῳ τὸ πρόσφορον γίνεται. Οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἓν ὂν καὶ μονοειδὲς καὶ ἀδιαίρετον, ἑκάστῳ διαιρεῖ τὴν χάριν καθὼς βούλεται (1). Καὶ ὥσπερ τὸ ξηρὸν ξύλον, ὕδατι κοινωνῆσαν, βλαστοὺς ἐκδίδωσιν· οὕτω καὶ ἡ ἐν ἁμαρτίαις ψυχὴ, διὰ μετανοίας ἁγίου Πνεύματος καταξιωθεῖσα, βότρυας ἐκφέρει δικαιοσύνης. Μονοειδὲς δὲ ὄν, πολλὰς νεύματι Θεοῦ καὶ ἐν ὀνόματι Χριστοῦ τὰς ἀρετὰς ἐνεργεῖ. Τινὸς μὲν γὰρ συγκέχρηται γλώσσῃ πρὸς σοφίαν· ἄλλου φωτίζει τὴν ψυχὴν ἐν προφητείᾳ· ἄλλῳ δὲ δίδωσι δύναμιν ἀπελάσαι δαίμονας· ἄλλῳ δὲ δίδωσιν ἑρμηνεῦσαι τὰς θείας Γραφάς. Ἄλλου τὴν σωφροσύνην ἐνισχύει· ἄλλον διδάσκει τὰ περὶ ἐλεημοσύνης· ἄλλον διδάσκει νηστεύειν καὶ ἀσκεῖν· [καὶ] ἄλλον διδάσκει καταφρονεῖν τῶν τοῦ σώματος πραγμάτων· ἄλλον ἑτοιμάζει πρὸς μαρτύριον· ἄλλον ἐν ἄλλοις· αὐτὸ δὲ οὐκ ἄλλο ἑαυτοῦ, καθὼς γέγραπται· « Ἑκάστῳ » δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. Ὧ » μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται (2) λόγος σοφίας· ἄλλῳ δὲ » λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα· ἑτέρῳ δὲ πίστις, ἐν τῷ » αὐτῷ Πνεύματι· ἄλλῳ δὲ ἐνεργήματα δυνάμεως· ἄλλῳ δὲ προ- » φητεία· ἄλλῳ δὲ διακρίσεις πνευμάτων· ἑτέρῳ δὲ γένη γλωσσῶν » [ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν]. Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν » καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται » (3).

ς'. Ἀλλ' ἐπειδὴ περὶ πνεύματος ἁπλῶς πολλὰ καὶ διάφορα γέγραπται ἐν ταῖς θείαις Γραφαῖς· καὶ δέος ἐστὶ μή ποτέ τις ἐξ ἀγνωσίας εἰς σύγχυσιν ἔλθῃ, ἀγνοῶν περὶ ποίου πνεύματός ἐστι τὸ γεγραμμένον· καλῶς ἔχει νῦν ἀσφαλίσασθαι, ποῖον λέγει ἡ Γραφὴ εἶναι τὸ ἅγιον. Ὡς περ γὰρ καλεῖται χριστὸς Ἀαρὼν (4), καὶ Δαβὶδ (5), καὶ Σαοὺλ (6), καὶ ἄλλοι χριστοὶ καλοῦνται, μόνος δὲ ἐστιν ὁ ἀληθινὸς Χριστὸς (7)· οὕτω καὶ τῆς τοῦ Πνεύματος προση-

(1) Α' πρὸς Κορινθ. ΙΒ', 11.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἄλλῳ δὲ δίδοται λόγος κτλ.
(3) Α' πρὸς Κορινθ. ΙΒ', 7—11.
(4) Λευϊτικ. Δ', 5.
(5) Ψαλμ. ΡΛΑ', 10, 17.
(6) Α' Βασιλ. ΚΔ', 7.—Σαοὺλ, ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, Σαμουήλ,
(7) Ἐκ τοῦ ΒΤ.—Μ, ὁ ἀληθῶς ὁ Χριστός,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γορίας περὶ διαφόρων πραγμάτων εἰρημένης, καλόν ἐστιν ἰδεῖν τί ἐστι τὸ ἰδιαζόντως [καλούμενον] τὸ Πνεῦμα τὸ ἅγιον. Καλεῖται γὰρ *πνεύματα*, πολλά· [καὶ γὰρ καὶ Ἄγγελος καλεῖται πνεῦμα·] ἡ ψυχὴ ἡμῶν καλεῖται πνεῦμα· καὶ ὁ ἄνεμος οὗτος ὁ πνέων, καλεῖται πνεῦμα· καὶ ἀρετὴ μεγάλη καλεῖται πνεῦμα· καὶ ἀκάθαρτος πρᾶξις (1), καλεῖται πνεῦμα [καὶ δαίμων ἀντικείμενος, καλεῖται πνεῦμα.]. Βλέπε τοίνυν ἀκούων ταῦτα, μή ποτε νομίσῃς ἀπὸ τῆς ὁμωνυμίας ἀνθ' ἑτέρου ἕτερον. Περὶ μὲν γὰρ τῆς ψυχῆς τῆς ἡμετέρας λέγει ἡ Γραφή· «Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ »καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ» (2). Καὶ περὶ τῆς αὐτῆς ψυχῆς λέγει πάλιν· «Ὁ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ» (3). Περὶ δὲ τῶν Ἀγγέλων ἐν Ψαλμοῖς φησιν· «Ὁ ποιῶν τοὺς ἀγγέ»λους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλό»γα» (4). Περὶ δὲ τοῦ ἀνέμου φησίν· «Ἐν πνεύματι βιαίῳ συντρί»ψας πλοῖα Θαρσεῖς» (5). Καὶ, «Ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ »πνεύματος σαλευθῇ» (6). Καὶ, «Πῦρ, χάλαζα, χιών, κρύσταλλος, «πνεῦμα καταιγίδος» (7). Περὶ δὲ τῆς καλῆς διδασκαλίας αὐτὸς ὁ Κύριος λέγει· «Τὰ ῥήματα, ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι, »καὶ ζωή ἐστιν» (8)· ἀντὶ τοῦ, πνευματικά ἐστι. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, οὐ λαλεῖται διὰ γλώσσης, ἀλλὰ ζῶν ἐστι, παρέχον σοφῶς [λαλεῖν]· τὸ λαλοῦν, καὶ ὁμιλοῦν αὐτό. Καὶ θέλεις γνῶναι ὅτι ὁμιλεῖ καὶ λαλεῖ; Φίλιππος ἐξ ἀποκαλύψεως Ἀγγέλου κατῆλθεν εἰς τὴν ὁδὸν τὴν ἀποφέρουσαν εἰς Γάζαν, ὅτε ὁ Εὐνοῦχος ἤρχετο· «Καὶ »εἶπε τὸ Πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε, καὶ κολλήθητι τῷ ἅρ»ματι τούτῳ» (9). Βλέπεις λαλοῦν τὸ πνεῦμα τῷ ἀκούοντι; Καὶ Ἰεζεκιὴλ λέγει οὕτως· «Ἐγένετο ἐπ' ἐμὲ Πνεῦμα Κυρίου, καὶ εἶπε

(1) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ ἀκάθαρτον πνεῦμα,
(2) Ψαλμ. ΡΜΕ', 4.
(3) Ζαχαρ. ΙΒ', 1.
(4) Ψαλμ. ΡΓ', 4.
(5) Ψαλμ. ΜΖ', 8.
(6) Ἡσ. Ζ', 2.
(7) Ψαλμ. ΡΜΗ', 8.
(8) Ἰωάν. Ϛ', 63.
(9) Πράξ. Ἀποστόλ. Η', 26—29·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

»πρός με· Τάδε λέγει Κύριος» (1). Καὶ πάλιν· «Εἶπε τὸ Πνεῦμα »τὸ ἅγιον» τοῖς ἐν Ἀντιοχείᾳ Ἀποστόλοις· «Ἀφορίσατε δή μοι »τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐ»τούς» (2). Βλέπεις Πνεῦμα ζῶν, ἀφορίζον, καὶ προσκαλούμενον, καὶ ἐξουσιαστικῶς ἀποστέλλον. Καὶ Παῦλος ἔλεγε· «Πλὴν ὅτι τὸ »Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι λέγον, ὅτι δεσμὰ »καὶ θλίψεις με μένουσιν» (3). Ὁ γὰρ καλὸς οὗτος τῆς Ἐκκλησίας ἁγιοποιὸς, καὶ βοηθὸς, καὶ διδάσκαλος, τὸ Πνεῦμα τὸ ἅγιον, ὁ Παράκλητος, περὶ οὗ εἶπεν ὁ Σωτήρ· «Ἐκεῖνος ὑμᾶς διδάξει »πάντα» (4) (οὐκ εἶπε, *διδάξει*, μόνον· ἀλλὰ «καὶ ὑπομνήσει ὅσα εἶπον ὑμῖν» (5)· οὐ γὰρ ἄλλα Χριστοῦ διδάγματα, καὶ ἄλλα ἁγίου Πνεύματος, ἀλλὰ τὰ αὐτά)· προεμαρτύρατο τῷ Παύλῳ τὰ συμβησόμενα, ἵνα εὔθυμος γένηται μᾶλλον ἀπὸ τοῦ προειδέναι. Ταῦτα δὲ ὑμῖν εἴρηται διὰ τὸ λεχθέν· «Τὰ ῥήματα ἃ ἐγὼ λελά»ληκα ὑμῖν, πνεῦμά ἐστιν» (6)· ἵνα μὴ λαλιὰν χειλέων τοῦτο νομίσῃς, ἀλλὰ τὴν καλὴν διδασκαλίαν.

Ζ'. Ἐνταῦθα καλεῖται δὲ πνεῦμα καὶ ἡ ἁμαρτία, καθὼς εἰρήκαμεν· ἀλλὰ καὶ ἑτέρως καὶ ἐναντίως, ὡς ὅταν λέγῃ· «Πνεύματι »πορνείας ἐπλανήθησαν» (7). Καλεῖται πνεῦμα καὶ τὸ ἀκάθαρτον πνεῦμα, ὁ δαίμων· ἀλλὰ μετὰ προσθήκης, *τὸ ἀκάθαρτον* (8)· ἑκάστῳ [γὰρ] πρόσκειται ἡ ἐπωνυμία, ἵνα τὸ ἴδιον δηλώσῃ. Ἐὰν περὶ ψυχῆς ἀνθρώπου λέγῃ [τὸ πνεῦμα], μετὰ προσθήκης *τοῦ ἀνθρώπου* λέγει (9)· ἐὰν τὸν ἄνεμον λέγῃ, πνεῦμα *καταιγίδος* λέγει (10)· ἐὰν τὴν ἁμαρτίαν λέγῃ, πνεῦμα *πορνείας* λέγει· ἐὰν τὸν δαίμονα λέγῃ, πνεῦμα *ἀκάθαρτον* λέγει· ἵνα γνῶμεν περὶ τίνος ἑκάστου ἐστὶν ὁ λόγος, καὶ μὴ νομίσῃς περὶ τοῦ ἁγίου τούτου

(1) Ἰεζεκιὴλ ΙΑ', 5.
(2) Πράξ. Ἀποστόλ. ΙΓ', 2.
(3) Πραξ. Ἀποστόλ. Κ', 23.
(4) Ἰωάν. ΙΔ', 26.
(5) Αὐτόθι.
(6) Ἰωάν. Ϛ', 63.
(7) Ὡσηὲ Δ', 12.
(8) Λουκ. ΙΑ', 24, καὶ Δ', 33.
(9) Α' πρὸς Κορινθ. Β', 11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶναι· μὴ γένοιτο. Τὸ γὰρ τοῦ πνεύματος ὄνομα [τοῦτο], μέσον ἐστί (1)· καὶ πᾶν, ὃ μὴ ἔχει παχὺ (2) σῶμα, καθολικῶς πνεῦμα καλεῖται. Ἐπεὶ τοίνυν καὶ οἱ δαίμονες οὐκ ἔχουσι τοιαῦτα σώματα, *πνεύματα* καλοῦνται· ἀλλὰ πολλή τις ἐστὶν ἡ διαφορά. Ὁ μὲν γὰρ ἀκάθαρτος δαίμων, ὅταν ἔρχηται ἐπὶ ψυχὴν ἀνθρώπου (ῥύσαιτο δὲ τούτου ὁ Κύριος πᾶσαν ψυχὴν τῶν ἀκουόντων, καὶ τῶν μὴ παρόντων), ὡς λύκος αἱμοβόρος ἕτοιμος εἰς βορὰν ἐπὶ πρόβατον, ἔρχεται. Ἀγριωτάτη ἡ παρουσία· βαρυτάτη ἡ αἴσθησις· σκοτώδης ἡ διάνοια γίνεται· καὶ ἡ ἔφοδος ἄδικος· καὶ ἡ ἁρπαγὴ ἀλλοτρίου κτήματος· σώματι γὰρ ἀλλοτρίῳ, ὡς ἰδίῳ κεχρῆσθαι βιάζεται· καὶ ὀργάνῳ ἀλλοτρίῳ τὸν ἑστῶτα καταβάλλει· οἰκεῖος γάρ ἐστι τοῦ πεσόντος ἐξ οὐρανοῦ (3)· παρατρέπει τὴν γλῶσσαν, στρεβλοῖ τὰ χείλη· ἀῤῥὸς ἀντὶ ῥημάτων (4)· σκοτοῦται ὁ ἄνθρωπος· ἤνοικται ὁ ὀφθαλμὸς, καὶ δι' αὐτοῦ οὐ βλέπει ἡ ψυχή· καὶ σπαίρει τρομικῶς ὁ ἄθλιος ἄνθρωπος πρὸ θανάτου (5). Ἐχθροὶ τῶν ἀνθρώπων ἀληθῶς οἱ δαίμονες, αἰσχρῶς κεχρημένοι καὶ ἀνηλεῶς.

ιή. Μὴ γένοιτο· οὐκ ἔστι τοιοῦτο τὸ Πνεῦμα τὸ ἅγιον. Ἀπεναντίας γὰρ, πρὸς τὸ ἀγαθὸν καὶ σωτηριῶδες ἔχει τὰ πράγματα. Πρῶτον μὲν, ἥμερος ἡ παρουσία· εὐώδης ἡ ἀντίληψις· κουφότατον τὸ φορτίον. Προαπαστράπτουσιν ἀκτῖνες φωτὸς καὶ γνώσεως, πρὸ τῆς παρουσίας. Κηδεμόνος γνησίου σπλάγχνα ἔχον ἔρχεται· ἔρχεται γὰρ σῶσαι, καὶ ἰάσασθαι, διδάξαι, νουθετῆσαι, ἐνισχύσαι, παρακαλέσαι, φωτίσαι τὴν διάνοιαν, πρώτου αὐτοῦ τοῦ δεχομένου, εἶτα δι' αὐτοῦ καὶ τῶν ἄλλων. Καὶ ὥς περ ἐν σκότει πρότερόν τις ὢν, εἶτα ἐξαίφνης ἥλιον ἰδὼν, φωτίζεται τοῦ σώματος τὸ βλέμμα, καὶ βλέπει, ἃ μὴ ἔβλεπε, φανερῶς· οὕτω καὶ ὁ τοῦ ἁγίου Πνεύματος καταξιωθεὶς, φωτίζεται τὴν ψυχὴν, καὶ ὑπὲρ

(1) Ἐκ τοῦ ΒΤ.—Μ, ὄνομα, μέσον τοῦτό ἐστι·
(2) Αὐτόθεν.—Μ, τ α χ ὺ
(3) Λουκ. Ι', 18.
(4) Μάρκ. Θ', 17—16.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, κ α ὶ σ τ έ ν ε ι τ ρ ο μ ι κ ῶ ς ὁ ἄ ν θ ρ ω π ο ς π ρ ὸ θ α ν ά τ ο υ, ὁ ἄ θ λ ι ο ς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄνθρωπον βλέπει ἃ μὴ ᾔδει. Ἐπὶ γῆς τὸ σῶμα, καὶ ἡ ψυχὴ κατοπτρίζεται τοὺς οὐρανούς. Βλέπει, ὡς Ἡσαΐας, τὸν Κύριον «καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου» (1)· καὶ βλέπει, ὡς Ἰεζεκιὴλ, τὸν ἐπὶ τῶν Χερουβίμ (2). Βλέπει, ὡς Δανιὴλ, μυριάδας μυριάδων, καὶ χιλιάδας χιλιάδων (3)· καὶ ὁ μικρὸς ἄνθρωπος ἀρχὴν κόσμου βλέπει, καὶ τέλος κόσμου, καὶ μεσότητα χρόνων, καὶ βασιλέων διαδοχὰς οἶδεν, ἃ μὴ ἔμαθε. Πάρεστι γὰρ ὁ ἀληθινὸς φωταγωγός. Ἔσω τοίχων ὁ ἄνθρωπος, καὶ ἡ δύναμις τῆς γνώσεως ἐκπέμπεται μακράν, καὶ βλέπει καὶ τὰ ὑπὸ ἄλλων γινόμενα. Οὐ συμπαρῆν Πέτρος Ἀνανίᾳ καὶ Σαπφείρῃ πωλοῦσι τὰ κτήματα, ἀλλὰ διὰ τοῦ Πνεύματος παρῆν· «Διὰ τί, φησὶν, ὁ Σατανᾶς ἐπλήρωσε τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον;» (4). Κατήγορος οὐκ ἦν· μάρτυς οὐκ ἦν· πόθεν ᾔδει τὸ γεγενημένον; «Οὐχὶ μένον σοι ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο;» Ὁ ἀγράμματος Πέτρος διὰ τὴν τοῦ Πνεύματος χάριν ἔμαθεν, ἃ μὴ ᾔδεισαν μήτε Ἑλλήνων οἱ σοφοί. Ἔχεις τὸ ὅμοιον καὶ ἐπὶ τοῦ Ἐλισσαίου· δωρεὰν γὰρ αὐτοῦ θεραπεύσαντος τὴν λέπραν τοῦ Ναιμᾶν, ἔλαβεν ὁ Γιεζὶ τὸν μισθὸν, ἀλλοτρίων κατορθωμάτων τὸν μισθὸν λαμβάνων (5)· καὶ λαμβάνει παρὰ τοῦ Ναιμᾶν τὰ χρήματα, καὶ τίθησιν ἐν τῷ σκοτεινῷ· ἀλλὰ τὸ σκότος οὐ σκοτίζεται ἀπὸ (7) τῶν ἁγίων (6). Καὶ ἐλθόντα αὐτὸν ἠρώτα ὁ Ἐλισσαῖος. Καὶ ὁμοίως τῷ Πέτρῳ λέγοντι, «Εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε;» (8)· κἀκεῖνος ἐξετάζει, «Πόθεν Γιεζί; (9)» οὐκ ἀγνοῶν τὸ πόθεν· ἀλλὰ πενθῶν, τὸ *πόθεν*· ἀπὸ σκότους ἦλθες, καὶ εἰς σκότος πορεύσῃ· πέπρακας τοῦ λεπροῦ τὴν ἴασιν, καὶ κληρονομεῖς τὴν

(1) Ἡσ. ϛ', 1.
(2) Ἰεζεκ. Ι', κ' ἑπόμ.
(3) Δανιὴλ Ζ', 10.
(4) Πράξ. Ἀποστόλ. Ε', 3, κ' ἑπόμ.
(5) Δ' Βασιλ. Ε', 14. κ' ἑπόμ.
(6) Ἢ ἀπὸ ἐκ τοῦ ΒΤ· ἀντὶ τῆς ἐν τῷ Μ, ὑπὸ
(7) Ψαλμ. ΡΛΗ', 12.
(8) Πράξ. Ἀποστόλ. Ε', 8.
(9) Δ' Βασιλ. Ε', 25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λέπραν. Ἐπλήρωσα, φησίν, ἐγὼ τὸ κέλευσμα τοῦ εἰρηκότος μοι, « Δωρεὰν ἐλάβετε, δωρεὰν δότε » (1)· σὺ δὲ ἐπώλησας τὴν χάριν, ἀπόδεξαι τῆς πράσεως τὴν ὑπόθεσιν. Ἀλλὰ τί λέγει πρὸς αὐτὸν ὁ Ἐλισσαῖος; « Οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ; » (2)· ὧδε ἦμην ἐγὼ περικεκλεισμένος τῷ σώματι· ἀλλὰ τὸ πνεῦμα, τὸ ὑπὸ τοῦ Θεοῦ μοι δοθὲν, ἔβλεπε καὶ τὰ μακρὰν, καὶ τὰ ἀλλαχοῦ γινόμενα σαφῶς ἐδείκνυέ μοι. Βλέπεις πῶς οὐ μόνον περιαιρεῖ τὴν ἀγνωσίαν, ἀλλὰ καὶ γνῶσιν ἐντίθησι.

Ι΄. Βλέπεις πῶς φωτίζει τὰς ψυχὰς τὸ Πνεῦμα τὸ ἅγιον; Ἡσαΐας ἐτῶν ἐγγὺς ἦν πρὸ χιλίων, καὶ ἔβλεπεν ὡς σκηνὴν τὴν Σιών (3)· ἡ πόλις ἦν ἔτι συνεστηκυῖα, καὶ ἀγοραῖς κεκαλλωπισμένη, καὶ τὸ ἀξίωμα περιβεβλημένη· κἀκεῖνο λέγει· « Σιὼν ὡς » ἀγρὸς ἀροτριαθήσεται » (4), προλέγων τὸ νῦν ἐφ' ἡμῶν πληρωθέν. Καὶ τὸ ἀκριβὲς ὅρα τῆς προρητείας· εἶπε γὰρ, « Ἐγκατα- »λειφθήσεται ἡ Θυγάτηρ Σιὼν, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὁπω- »ροφυλάκιον ἐν σικυηλάτῳ» (5)· καὶ (6) σικυηλάτων νῦν ὁ τόπος πεπλήρωται. Βλέπεις πῶς φωτίζει τοὺς ἁγίους τὸ Πνεῦμα τὸ ἅγιον; Μὴ τοίνυν διὰ τὴν ὁμωνυμίαν εἰς ἄλλα ἀπελασθῇς (7), ἀλλὰ τήρει τὸ ἀκριβές. Εἰ δέ ποτε, σοῦ καθεζομένου, περὶ ἁγνείας ἡ παρθενίας ὑπεισῆλθέ σοι λογισμὸς, ἐκείνου ἐστὶν ἡ διδασκαλία. Οὐχὶ πολλάκις κόρη, παρὰ πατάδας οὖσα νυμφικὰς, ἔφυγεν, ἐκείνου διδάσκοντος τὰ περὶ παρθενίας; Οὐχὶ πολλάκις ἄνθρωπος ἐν παλατίοις διαπρέπων, κατέπτυσε πλούτου καὶ ἀξίας, διδαχθεὶς ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου; Οὐχὶ πολλάκις νέος, ὁρῶν κάλλος ἐκάμμυσε τὸ βλέμμα, καὶ ἔφυγε τὸ ἰδεῖν, καὶ ἐξέφυγε τὸν μολυσμόν; Πόθεν γέγονε τοῦτο, ζητεῖς; τὸ Πνεῦμα τὸ ἅγιον ἐδίδαξε τοῦ νέου τὴν ψυχήν. Τοσαῦται πλεονεξίαι ἐν κόσμῳ, καὶ ἀκτημο-

(1) Ματθ. Ι΄, 8.

(2) Δ΄ Βασιλ. Ε΄, 26.

(3) Ἐκ τοῦ ΒΤ.—Μ, Ἡσαΐας πρὸ χιλίων ἐγγὺς ἐτῶν, καὶ βλέπων ὡς σκηνὴν τὴν Σιών, —Ἡσ. Α΄, 8.

(4) Οὐκ ἐκ τοῦ Ἡσαΐου, ἀλλ' ἐκ τοῦ Μιχαίου ἡ ῥῆσις.—Μιχ. Γ΄, 12·

(5) Ἡσ. Α΄, 8.

(6) Ὁ καὶ, ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, κἄν

(7) Ἐκ τοῦ ΒΤ.—Μ, εἰς ἄλλας ἀπέλθῃς,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νοῦσι Χριστιανοί· διὰ τίς διὰ τὴν τοῦ Πνεύματος ἐπαγγελίαν. Τίμιον ὡς ἀληθῶς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἀγαθόν. Εἰκότως βαπτιζόμεθα εἰς Πατέρα, καὶ [εἰς] Υἱόν, καὶ εἰς ἅγιον Πνεῦμα. Ἄνθρωπος ἔτι σῶμα φορῶν, δαίμοσιν ἀγριωτάτοις πολλοῖς παλαίει· καὶ πολλάκις ὁ δαίμων, ὁ σιδηραίοις δεσμοῖς ὑπὸ πολλῶν μὴ κρατούμενος, λόγοις εὐχῆς ἐκρατήθη ὑπ' αὐτοῦ, διὰ τὴν ἐν αὐτῷ δύναμιν τοῦ ἁγίου Πνεύματος· καὶ τὸ ἁπλοῦν ἐμφύσημα (1) τοῦ ἐπορκίζοντος, πῦρ γίνεται τῷ μὴ φαινομένῳ (2). Μέγαν τοίνυν ἔχομεν παρὰ Θεοῦ σύμμαχον, καὶ προστάτην· μέγαν διδάσκαλον Ἐκκλησίας· μέγαν ὑπερασπιστὴν ὑπὲρ ἡμῶν. Μὴ φοβηθῶμεν τοὺς δαίμονας, μήτε τὸν διάβολον. Μείζων γὰρ ὁ [ἡμῶν] ὑπεραγωνιστής· μόνον ἀνοίξωμεν αὐτῷ τὰς θύρας· περιέρχεται γὰρ ζητῶν τοὺς ἀξίους, καὶ ζητῶν τίνι χαρίσηται τὰς δωρεάς (3).

ι. Παράκλητος δὲ καλεῖται, διὰ τὸ παρακαλεῖν καὶ παραμυθεῖσθαι, καὶ συναντιλαμβάνεσθαι τῆς ἀσθενείας ἡμῶν· « Τὸ γάρ, » τί προσευξόμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν· ἀλλ' αὐτὸ τὸ Πνεῦμα » ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις » (4)· δῆλον δὲ ὅτι πρὸς τὸν Θεόν. Πολλάκις, διὰ Χριστὸν ὑβρισθείς, ἠτιμάσθη τις ἀδίκως· μαρτύριον ἐφέστηκε· βάσανοι πανταχόθεν, καὶ πῦρ καὶ ξίφη, καὶ θῆρες, καὶ βυθός· ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον ὑποφθέγγεται (5) λέγον· « Ὑπόμεινον τὸν Κύριον» (6), ἄνθρωπε· μικρὰ τὰ γινόμενα· μεγάλα τὰ δωρούμενα. Ὀλίγον χρόνον καμών, αἰωνίως εἶναι μέλλεις μετὰ Ἀγγέλων. « Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν » καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς» (7). Διαγράφει τῷ ἀνθρώπῳ βασιλείαν οὐρανῶν, ὑποδείκνυσι (8) καὶ τὸν παράδεισον τῆς τρυφῆς (9). Καὶ οἱ μάρτυρες, τὰ πρόσωπα μὲν

(1) Ἐκ τοῦ ΒΤ.—Μ, φύσημα
(2) Αὐτόθεν.—Μ, τῶν μὴ φαινομένων.
(3) Σοφ. Σολομ. Γ', 17.
(4) Πρὸς Ῥωμ. Η', 26.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, ἀποφθέγγεται
(6) Ψαλμ. ΛΓ', 34.
(7) Πρὸς Ῥωμ. Η', 18.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, ἀποδείκνυσι
(9) Γενέσ. Β', 15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ σώματος πρὸς τοὺς δικαστὰς ἐξ ἀνάγκης ἔχοντες, τῇ δὲ δυνάμει λοιπὸν ὄντες ἐν παραδείσῳ, κατέπτυσαν τῶν φαινομένων χαλεπῶν. Καὶ θέλεις γνῶναι ὅτι τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος οἱ μάρτυρες μαρτυροῦσι; Λέγει (1) πρὸς τοὺς μαθητὰς ὁ Σωτήρ· « Ὅταν δὲ φέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ » τὰς ἐξουσίας, μὴ μεριμνήσητε πῶς ἀπολογήσεσθε, ἢ τί εἴπητε. » Τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰ- » πεῖν » (2). Ἀδύνατον γὰρ μαρτυρῆσαι περὶ τοῦ Χριστοῦ, ἐὰν μή τις [διὰ] Πνεύματος ἁγίου μαρτυρήσῃ. Εἰ γὰρ « οὐδεὶς δύνα- » ται εἰπεῖν Κύριον Ἰησοῦν Χριστὸν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ » (3), τὴν ζωὴν ἆρα τίς ἑαυτοῦ δίδωσιν ὑπὲρ Ἰησοῦ, ἐὰν μὴ ἐν Πνεύματι ἁγίῳ;

ια'. Μέγα τι ἐστὶ, καὶ παντοδύναμον ἐν χαρίσμασι καὶ θαυμάσιον, τὸ ἅγιον Πνεῦμα. Λόγισαι, πόσοι καθέζεσθε νῦν, πόσαι ψυχαὶ πάρεσμεν. Ἑκάστῳ προσφόρως ἐνεργεῖ· καὶ μέσον παρὸν (4), βλέπει ἑκάστου τὸν τρόπον, βλέπει καὶ τὸν λογισμὸν καὶ τὴν συνείδησιν, καὶ τί λαλοῦμεν, καὶ τί νοοῦμεν. Μέγα μὲν ἀληθῶς τὸ ῥηθὲν, ἀλλ' ἔτι μικρόν. Βλέπε γάρ μοι, τὴν διάνοιαν φωταγωγηθεὶς ὑπ' αὐτοῦ (5), πόσοι εἰσὶ χριστιανοὶ [τῆς παροικίας] ταύτης [πάσης, καὶ πόσοι] τῆς ἐπαρχίας πάσης τῆς Παλαιστίνης. Καὶ πλάτυνον τὸν νοῦν ἀπὸ τῆς ἐπαρχίας εἰς τὴν Ῥωμαίων πᾶσαν βασιλείαν· καὶ ἐκ ταύτης, βλέπε μοι πάντα τὸν κόσμον· Περσῶν γένη, καὶ Ἰνδῶν ἔθνη, Γότθους, καὶ Σαυρομάτας, Γάλλους, καὶ Ἱσπανοὺς, καὶ Μαύρους, Λίβυας, καὶ Αἰθίοπας, καὶ τοὺς λοιποὺς ἀκατονομάστους ἡμῖν· πολλὰ γὰρ τῶν ἐθνῶν οὐδ' εἰς ὀνομασίαν ἡμῖν ἦλθε. Βλέπε μοι ἑκάστου ἔθνους ἐπισκόπους, πρεσβυτέρους, διακόνους, μονάζοντας, παρθένους, καὶ λοιποὺς λαϊκούς· καὶ βλέπε τὸν μέγαν προστάτην, καὶ τῶν χαρισμάτων πάροχον,

(1) Μ, Λέγει δὲ
(2) Λουκ. ΙΒ', 11—12.
(3) Α' πρὸς Κορινθ. ΙΒ', 3.
(4) Ἀγγαίου Β', 5.
(5) Μ, ὑπ' αὐτῷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅπως ἐν παντὶ τῷ κόσμῳ, τῷ μὲν ἁγνείαν, τῷ δὲ ἀειπαρθενίαν, [ἄλλῳ δὲ ἐλεημοσύνην], ἄλλῳ δὲ ἀκτημοσύνην, ἄλλῳ δὲ ἀπέλασιν πνευμάτων ἀντικειμένων δίδωσι. Καὶ ὥσπερ τὸ φῶς μιᾷ τῆς ἀκτῖνος προσβολῇ καταυγάζει τὰ πάντα· οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον φωτίζει τοὺς ἔχοντας ὀφθαλμούς. Εἰ γάρ τις ἀβλεπτῶν (1) μὴ καταξιοῦται τῆς χάριτος, μὴ μεμφέσθω τῷ Πνεύματι, ἀλλὰ τῇ ἑαυτοῦ ἀπιστίᾳ.

ιϐ'. Εἶδες αὐτοῦ τὴν δύναμιν, τὴν ἐν παντὶ τῷ κόσμῳ· μὴ μείνῃς λοιπὸν [ἐπὶ γῆς], καὶ ἐπὶ (2) τὰ ἄνω ἀνάβηθι (3). Ἀνάβηθί μοι τῇ διανοίᾳ καὶ εἰς πρῶτον οὐρανόν, καὶ βλέπε μοι τοσαύτας ἐκεῖ μυριάδας ἀναριθμήτους Ἀγγέλων. Ὑπεράνάβηθι τοῖς λογισμοῖς, εἰ δύνασαι καὶ ἀνωτέρω· βλέπε μοι καὶ Ἀρχαγγέλους, βλέπε μοι καὶ πνεύματα· βλέπε Δυνάμεις, βλέπε Ἀρχάς, βλέπε Ἐξουσίας, βλέπε Θρόνους, βλέπε Κυριότητας. Τούτων πάντων ἐπιστάτης παρὰ Θεοῦ, καὶ διδάσκαλος, καὶ ἁγιοποιὸς ὁ Παράκλητος. Τούτου χρείαν ἔχει Ἠλίας, καὶ Ἐλισσαῖος, καὶ Ἡσαΐας, ἐν ἀνθρώποις· τούτου χρείαν ἔχει Μιχαὴλ, καὶ Γαβριὴλ, ἐν Ἀγγέλοις. Οὐδὲν αὐτῷ τῶν γενητῶν ἰσότιμον· τὰ γὰρ τῶν ἀγγέλων γένη, καὶ αἱ στρατιαὶ πᾶσαι ὁμοῦ συναχθεῖσαι, οὐ φέρουσιν ἰσότητα πρὸς τὸ ἅγιον Πνεῦμα. Καλύπτει ταῦτα πάντα τοῦ Παρακλήτου ἡ πανάγαθος δύναμις. Καὶ τὰ μέν ἐστιν εἰς λειτουργίαν ἀποστελλόμενα (4)· τὸ δὲ ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ, καθὼς ὁ Ἀπόστολός φησι· «Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. »Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν εἰ μὴ »τὸ Πνεῦμα τοῦ Θεοῦ» (5). Τοῦτο περὶ Χριστοῦ ἐκήρυξεν ἐν προφήταις· τοῦτο ἐνήργησεν ἐν Ἀποστόλοις· τοῦτο μέχρι σήμερον ἐν βαπτίσματι σφραγίζει τὰς ψυχάς. Καὶ Πατὴρ μὲν δίδωσιν Υἱῷ, καὶ

(1) Ἐκ τοῦ ΒΤ.—Μ, ἀβλεπῶν

(2) Γραπτέον ἴσ. ἀλλ' ἐπὶ

(3) Ἐκ τοῦ ΒΤ.—Μ, κόσμῳ, μὴ μείνῃς λοιπὸν, καὶ ἐπὶ τὰ ἄνω ἀνάβηθι· μὴ μείνῃς λοιπὸν ἐπὶ γῆς· ἀνάβηθί μοι κτλ.

(4) Πρὸς Ἑβρ. Α', 14·

(5) Α' πρὸς Κορινθ. Β', 10—11.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Υἱὸς μεταδίδωσιν ἁγίῳ Πνεύματι. Αὐτὸς γάρ ἐστιν ὁ Ἰησοῦς ὁ λέγων, οὐκ ἐγώ· « Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου» (1). Καὶ περὶ τοῦ ἁγίου Πνεύματος λέγει· « Ὅταν ἔλθῃ ἐκεῖνος, τὸ » Πνεῦμα τῆς ἀληθείας», καὶ τὰ ἑξῆς· « ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι » ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν » (2). Ὁ Πατὴρ δι' Υἱοῦ, σὺν ἁγίῳ Πνεύματι, τὰ πάντα χαρίζεται. Οὐκ ἄλλα Πατρὸς χαρίσματα, καὶ ἄλλα Υἱοῦ, καὶ ἄλλα ἁγίου Πνεύματος· μία γὰρ ἡ σωτηρία, μία ἡ δύναμις, μία ἡ πίστις. Εἷς Θεός, ὁ Πατήρ· εἷς Κύριος, ὁ μονογενὴς αὐτοῦ Υἱός (3)· ἓν τὸ Πνεῦμα τὸ ἅγιον, ὁ Παράκλητος. Καὶ αὔταρκες ἡμῖν εἰδέναι ταῦτα· φύσιν δὲ, ἢ ὑπόστασιν μὴ πολυπραγμόνει· εἰ γάρ τι γεγραμμένον, ἐλέγομεν· [δ] οὐ γέγραπται, μὴ τολμήσωμεν. Αὔταρκες ἡμῖν εἰδέναι πρὸς σωτηρίαν, ὅτι ἐστὶ Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα.

ιγ'. Τοῦτο τὸ Πνεῦμα κατῆλθεν ἐπὶ τοὺς ἑβδομήκοντα πρεσβυτέρους ἐπὶ Μωϋσέως. Ἀλλὰ τὸ μῆκος τῶν λόγων, ἀγαπητοὶ, μὴ κάματον ὑμῖν ἐμποιείτω· παράσχοι δὲ αὐτὸ περὶ οὗ ὁ λόγος δύναμιν ἑκάστῳ, καὶ τῶν λεγόντων ἡμῶν, καὶ ὑμῶν τῶν ἀκουόντων. Τοῦτο τὸ Πνεῦμα κατῆλθεν, ὡς ἔφην, ἐπὶ τοὺς ἑβδομήκοντα πρεσβυτέρους τοὺς ἐπὶ Μωϋσέως· λέγω δὲ ταῦτά σοι, ἵνα παραστήσω νῦν, ὅτι οἷόν τε τὰ πάντα, [καὶ ἐνεργεῖ καθὼς βούλεται. Ἐξελέχθησαν οἱ ἑβδομήκοντα πρεσβύτεροι· « Καὶ κατέβη Κύριος ἐν » νεφέλῃ, καὶ παρείλατο ἀπὸ τοῦ Πνεύματος τοῦ ἐπὶ Μωϋσέως, » καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέ» ρους (4)».] (5) οὐ τοῦ πνεύματος μερισθέντος, ἀλλὰ τῆς χάριτος μεριζομένης πρὸς τὰ δοχεῖα, τὴν (6) τῶν δεχομένων δύναμιν. Ἀλλ' ἑξήκοντα μὲν καὶ ὀκτὼ παρῆσαν, καὶ ἐπροφήτευσαν. Ἐλδὰδ δὲ καὶ Μωδὰδ, οὐ παρῆσαν· ἵνα τοίνυν δειχθῇ, ὅτι οὐ Μωϋσῆς ἦν ὁ χαριζόμενος, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐνεργοῦν, Ἐλδὰδ καὶ Μωδὰδ,

(1) Ματθ. ΙΑ', 27.
(2) Ἰωάν. Ιϛ', 13—14.
(3) Α' πρὸς Κορινθ. Η', 6· καὶ πρὸς Ἐφες. Δ', 5.
(4) Ἀριθ. ΙΑ', 25—26.
(5) Ἐκ τοῦ ΒΤ.—ἐν τῷ Μ, οἷόν τε τὰ πάντα χαρίζεσθαι οὐ τοῦ Πνεύματος κτλ.
(6) Ἐν τῷ ΒΤ, καὶ τὴν—Γραπτέον ὡς, κατὰ τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἳ κληθέντες μὲν, οὔπω δὲ (1) ἦσαν ἀπαντήσαντες, προφητεύουσιν. Ἐξεπλάγη Ἰησοῦς, ὁ τοῦ Ναυῆ, ὁ διάδοχος Μωϋσέως, καὶ προσελθὼν, λέγει τῷ Μωϋσῇ· Ἤκουσας (2) ὅτι Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν; Ἐκλήθησαν, καὶ οὐκ ἀπήντησαν. « Κύριέ μου » Μωϋσῆ, κώλυσον αὐτούς » (3). Οὐ δύναμαι κωλῦσαι αὐτοὺς, φησίν· ἐπουράνιος γὰρ ἡ χάρις· καὶ τοσοῦτον ἀπέχω κωλῦσαι αὐτοὺς, ὥστε καὶ αὐτὸς κατὰ χάριν ἔχω. Ἀλλ' οὐ νομίζω σε τοῦτο φθόνῳ εἰρηκέναι· « Μὴ ζηλοῖς σύ μοι » (4), ὅτι ἐκεῖνοι μὲν προεφήτευσαν, σὺ δὲ οὔπω προφητεύεις; Ἐκδέξαι τὸν καιρόν. « Καὶ τίς δῴη πάντα » τὸν λαὸν Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ Πνεῦμα αὐτοῦ » ἐπ' αὐτούς; » (5) προφητικῶς καὶ τοῦτο λέγων, τὸ *Κύριος ὅταν δῷ*· νῦν γὰρ ἄρα οὔπω (6) ἔδωκε· σὺ οὖν οὔπω ἔχεις. Ἀβραὰμ ἄρα καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ Ἰωσὴφ, οὐκ εἶχον; οἱ πρὸ τούτου ἄρα οὐκ ἔσχον; Ἀλλὰ τὸ *ὅταν δῷ Κύριος* (7), δῆλον ὅτι σημαίνει τὸ ἐπὶ πάντας· νῦν μὲν, μερικὴ ἡ χάρις· τότε δαψιλὴς ἡ δόσις ἦν· ἐνίσσετο δὲ τὸ γεννησόμενον ἐν τῇ Πεντηκοστῇ παρ' ἡμῖν· καὶ αὐτὸ γὰρ κατῆλθε παρ' ἡμῖν. Κατῆλθε δὲ καὶ πρότερον ἐπὶ πολλούς. Γέγραπται γάρ· « Καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐνεπλήσθη πνεύματος σοφίας· » ἐπέθηκε γὰρ Μωϋσῆς τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτόν » (8).

ιδ'. Βλέπεις πανταχοῦ τὸν τύπον ἐν παλαιᾷ καὶ καινῇ τὸν αὐτόν; Ἐπὶ Μωϋσέως διὰ χειροθεσίας ἐδίδετο τὸ Πνεῦμα· [καὶ Πέτρος διὰ χειροθεσίας δίδωσι τὸ Πνεῦμα (9)] μέλλει δὲ καὶ ἐπὶ σὲ τὸν βαπτιζόμενον φθάνειν ἡ χάρις. Τὸ δὲ πῶς οὐ λέγω· οὐ γὰρ προλαμβάνω τὸν καιρόν. Τοῦτο καὶ ἦλθεν (10) ἐπὶ πάντας δικαίους καὶ προφήτας· τὸν Ἐνὼς, λέγω, τὸν Ἐνὼχ, τὸν Νῶε, καὶ τοὺς λοι-

(1) Ἐκ τοῦ BT.—M, οἱ κληθέντες μὲν οὐδέπω δὲ

(2) Αὐτόθεν.—M, Ἀκούσας

(3) Ἀριθ. ΙΑ', 28.

(4) Αὐτόθι, 29.

(5) Αὐτόθι.

(6) Ἐκ τοῦ BT.—M, νῦν γὰρ οὔπω ἄρα ἔδωκε·

(7) Ἐκ τοῦ BT.—M, . . . καὶ Ἰωσὴφ, οὐκ εἶχον οἱ πρὸ τούτου; ἄρα οὐκ ἔσχον ἀλλὰ τὸ, ὅταν δῷ Κύριος; δῆλον ὅτι κτλ.

(8) Δευτερον. Λδ', 9.

(9) Πράξ. Ἀποστόλ. Η', 17.

(10) Οὕτως ἐν ἀμφοτέροις, BT καὶ M, καὶ ἦλθεν—Γραπτέον ἴσ. κατῆλθεν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πούς· τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ· περὶ γὰρ τοῦ τὸν Ἰωσὴφ ἔχειν Πνεῦμα Θεοῦ ἐν αὐτῷ, ἤδη καὶ Φαραὼ κατείληφεν (1). Περὶ γὰρ Μωϋσέως, καὶ τῶν ἐπ' αὐτοῦ θαυμασίων ἐκ Πνεύματος ἐνεργειῶν, ἤκουσας πολλάκις. Τοῦτο καὶ ὁ ἀνδρειότατος εἶχεν Ἰὼβ (2), καὶ πάντες οἱ ἅγιοι, κἂν τὰ ὀνόματα πάντων μὴ διέλθωμεν. Τοῦτο καὶ ἐν τῇ κατασκευῇ τῆς σκηνῆς ἀποσταλὲν (3), ἐνέπλησε σοφίας τοὺς περὶ τὸν Βεσελεὴλ σοφούς (4). Ἐν τῇ δυνάμει τούτου τοῦ Πνεύματος, καθὼς ἔχομεν ἐν Κριταῖς, Γοθονιὴλ μὲν ἔκρινε (5)· Γεδεὼν δὲ ἐνεδυναμώθη (6)· ἐνίκησε δὲ ὁ Ἰεφθάε (7)· Δεββώρα δὲ ἡ γυνὴ ἐπολέμει (8)· καὶ Σαμψὼν, ἔτι δικαιοπραγῶν καὶ μὴ λυπῶν αὐτὸ (9), τὰ ὑπὲρ ἄνθρωπον ἐνήργησε (10). Περὶ γὰρ Σαμουὴλ καὶ Δαβὶδ φανερῶς ἐν ταῖς τῶν Βασιλειῶν ἔχομεν βίβλοις, ὅπως ἐν ἁγίῳ Πνεύματι ἐπροφήτευον αὐτοί, καὶ προφητῶν ἦσαν ἔξαρχοι. Καὶ ὁ μὲν Σαμουὴλ, [ὁ] *Ὁρῶν* ἐκαλεῖτο (11)· ὁ δὲ Δαβὶδ σαφῶς « Πνεῦμα Κυρίου, φησὶν, ἐλάλησεν ἐν ἐμοί» (12). Καὶ ἐν Ψαλμοῖς· « Καὶ τὸ Πνεῦμα τὸ ἅγιόν σου, μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ» (13). Καὶ πάλιν· « Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐ-» θείᾳ » (14). Καὶ ὡς (15) ἐν Παραλειπομένοις ἔχομεν, ἁγίου Πνεύματος μετέσχον, Ἀζαρίας μὲν ἐπὶ τοῦ Ἀσὰφ βασιλέως (16)· καὶ Ὀζιὴλ (17) ἐπὶ Ἰωσαφὰτ βασιλέως (18)· καὶ πάλιν (19) ἄλλος

(1) Γενές. ΜΑ', 38.

(2) Ἰώβ, ἐκ τοῦ ΒΤ.—ἀντὶ τοῦ ἐν τῷ Μ, Ἰακώβ· (οὗ περ μικρὸν ἄνωθε ἐμνημόνευσε.)

(3) Αὐτόθεν.—Μ, ἀπέσταλεν· ἐνέπλησε κτλ.

(4) Ἐξόδ. ΛΑ', 2—3, καὶ Λϛ', 1.

(5) Κριτ. Γ', 10.

(6) Αὐτόθι, ϛ', 34. (7) Αὐτόθι, ΙΑ', 29.

(8) Αὐτόθι, Δ', 4 κ' ἑπόμ.

(9) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ μὴ λυπῶν, αὐτῷ τὰ ὑπὲρ κτλ.

(10) Κριτ. ΙΓ', 25· καὶ ΙΔ', 6, 19 κ' ἑπόμ.

(11) Α' Βασιλ. Θ', 9, 11· καὶ Α' Παραλειπ. Θ', 22.

(12) Β' Βασιλ. ΚΓ', 2.

(13) Ψαλμ. Ν', 13. (14) Ψαλμ. ΡΜΒ', 11.

(15) Τὸ Καὶ ὡς ἐκ τοῦ ΒΤ. ἀντὶ τοῦ ἐν τῷ Μ, Καθὼς

(16) Β' Παραλειπ. ΙΕ', 1.

(17) Ἐκ τοῦ ΒΤ, συμφώνως τῷ ἱερῷ κειμένῳ.—Μ, ὁ Ἰεζεκιὴλ

(18) Β' Παραλειπ. Κ', 14. (19) Μ, καὶ ὁ πάλιν ἄλλος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀζαρίας, ὁ λιθασθείς (1). Ὁ δὲ Ἔσδρας φησί· «Καὶ τὸ πνεῦμά σου » τὸ ἀγαθὸν ἔδωκας συνετίσαι αὐτούς » (2). Περὶ δὲ Ἠλία τοῦ ἀναληφθέντος, καὶ Ἐλισσαίου, τῶν πνευματοφόρων καὶ θαυματοποιῶν, φανερὸν κἂν μὴ λέγωμεν, ὅτι πλήρεις ἦσαν ἁγίου Πνεύματος.

ιέ. Εἰ δὲ καὶ πάσας τις διέλθῃ, τάς τε τῶν δώδεκα, καὶ τῶν λοιπῶν προφητῶν τὰς βίβλους, πολλὰς τὰς περὶ τοῦ ἁγίου Πνεύματος μαρτυρίας εὑρήσει. Μιχαίου μὲν λέγοντος ἐκ προσώπου τοῦ Θεοῦ· « Ἐὰν μὴ ἐγὼ ἐμπλήσω ἰσχὺν ἐν Πνεύματι Κυρίου » (3). Τοῦ δὲ Ἰωὴλ βοῶντος· « Καὶ ἔσται μετὰ ταῦτα, λέγει ὁ Θεός, » ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα » (4), καὶ τὰ ἑξῆς. Καὶ Ἀγγαίου φάσκοντος· « Διότι (5) ἐγὼ μεθ' ὑμῶν εἰμι, » λέγει Κύριος Παντοκράτωρ· καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν » μέσῳ ὑμῶν » (6). Ζαχαρίου δὲ ὁμοίως· « Πλὴν τοὺς λόγους » μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν Πνεύ» ματί μου τοῖς δούλοις μου τοῖς προφήταις » (7), καὶ ἕτερα. Καὶ Ἡσαΐας ὁ μεγαλοφωνότατός φησι· « Καὶ ἀναπαύσεται ἐπ' αὐ» τὸν Πνεῦμα τοῦ Θεοῦ· Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βου» λῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας· καὶ ἐμπλήσει » αὐτὸν Πνεῦμα φόβου Θεοῦ » (8)· δηλῶν ἓν μὲν εἶναι τοῦτο καὶ ἀδιαίρετον, διαφόρους δὲ αὐτοῦ ἐνεργείας. Καὶ πάλιν· « Ἰακὼβ » ὁ παῖς μου, » καὶ ἑξῆς· καὶ, « Ἔδωκα τὸ Πνεῦμά μου [ἐπ' αὐ» τόν » (9). Καὶ πάλιν· « Ἐπιθήσω τὸ Πνεῦμά μου] ἐπὶ τὸ » σπέρμα σου » (10). Καὶ πάλιν· « Καὶ [νῦν] Κύριος Παντοκρά» τωρ [ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ] » (11). Καὶ πάλιν·

(1) Β' Παραλειπ. ΚΔ', 20—21.
(2) Λόγοι Νεεμ. Θ', 20.
(3) Μιχ. Γ', 8.
(4) Ἰωὴλ Β', 28.
(5) Μ, Διότι
(6) Ἀγγ. Α', 13· καὶ Β', 5, 6.
(7) Ζαχαρ. Α', 6.
(8) Ἡσ. ΙΑ', 2—3.
(9) Ἡσ. ΜΒ', 1.
(10) Ἡσ. ΜΔ', 3. (11) Ἡσ. ΜΗ', 16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, εἶπε Κύριος· τὸ πνεῦμα τὸ » ἐμὸν, ὅ ἐστιν ἐπὶ σοί » (1). Καὶ πάλιν· « Πνεῦμα Κυρίου » ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με » (2), καὶ τὰ ἑξῆς. Καὶ πάλιν ἐν τοῖς κατὰ Ἰουδαίων· « Αὐτοὶ δὲ ἠπείθησαν, καὶ παρώξυναν τὸ » Πνεῦμα τὸ ἅγιον αὐτοῦ »· καὶ, « Ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς » τὸ Πνεῦμα τὸ ἅγιον (3); » Ἔχεις καὶ ἐν τῷ Ἰεζεκιὴλ, εἰ λοιπὸν ἀκούων μὴ κέκμηκας, τὸ ἤδη ῥηθέν· « Καὶ ἔπεσεν ἐπ' ἐμὲ » Πνεῦμα [Κυρίου], καὶ εἶπε πρός με· Λέγε, τάδε λέγει Κύ» ριος » (4)· τὸ δὲ, *ἔπεσεν ἐπ' ἐμὲ*, καλῶς ἐκληπτέον, ὅτι φιλοστόργως· καὶ ὥς περ ὁ Ἰακὼβ εὑρὼν τὸν Ἰωσὴφ, « ἐπέπεσεν ἐπὶ » τὸν τράχηλον αὐτοῦ, » (5)· καὶ ὥς περ ἐν Εὐαγγελίοις [ὁ] φιλόστοργος πατὴρ, τὸν ἐκ τῆς ἀποδημίας ἐπανελθόντα υἱὸν « ἰδὼν » ἐσπλαγχνίσθη, καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, » καὶ κατεφίλησεν αὐτόν. » (6). Καὶ πάλιν ἐν τῷ Ἰεζεκιήλ· « Καὶ ἤγαγέ με εἰς γῆν Χαλδαίων εἰς τὴν αἰχμαλωσίαν, ἐν ὁρά» σει ἐν Πνεύματι Θεοῦ» (7). Καὶ γὰρ ἄλλα πρότερον ἐν τοῖς περὶ βαπτίσματος ἤκουσας· « Καὶ ῥανῶ ἐφ' ὑμᾶς ὕδωρ καθαρὸν » καὶ [τὰ] ἑξῆς· « Καὶ δώσω [ὑμῖν καρδίαν καινὴν, καὶ Πνεῦμα » καινὸν δώσω] ἐν ὑμῖν » (8). Καὶ εὐθύς· « Καὶ τὸ Πνεῦμά μου » δώσω ἐν ὑμῖν » (9). Καὶ πάλιν· « Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ » Κυρίου, καὶ ἐξήγαγέ με ἐν Πνεύματι Κυρίου » (10).

ις'. Τοῦτο ἐσόφισε τὴν ψυχὴν τοῦ Δανιὴλ, ἵνα γένηται δικαστὴς πρεσβυτέρων ὀνέος· κατεκρίθη Σουσάνα ἡ σώφρων ὡς ἀκόλαστος. Ἐκδικος οὐκ ἦν· τίς γὰρ ἐξηρεῖτο ἀπὸ τῶν ἀρχόντων; Ἀπήγετο ἐπὶ θάνατον, εἰς χεῖρας ἦν λοιπὸν τῶν δημίων. Ἀλλ' ὁ βοηθὸς παρῆν, ὁ

(1) Ἡσ. ΝΘ', 21.
(2) Ἡσ. ΞΑ', 1.
(3) Ἡσ. ΞΓ', 10, 11.
(4) Ἰεζεκ. ΙΑ', 5.
(5) Γενέσ. ΜΣ', 29.
(6) Λουκ. ΙΕ', 20.
(7) Ἰεζεκ. ΙΑ', 24.
(8) Ἰεζεκ. ΛΣ', 25—26.
(9) Αὐτόθι, 27.
(10) Ἰεζεκ. ΑΖ', 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Παράκλητος, τὸ Πνεῦμα τὸ ἁγιάζον πᾶσαν νοητὴν φύσιν. Δεῦρο δή μοι, φησὶ τῷ Δανιὴλ· ὁ νέος ἔλεγξον πρεσβύτας [νοσήσαντας] τὰ νεότητος ἁμαρτήματα. Γέγραπται γάρ· « Ἐξήγειρεν ὁ Θεὸς » τὸ Πνεῦμα τὸ ἅγιον, ἐπὶ παιδαρίου νεωτέρου » (1). Καὶ ὅμως, ἵνα συντόμως παρέλθωμεν, διὰ τῆς ἀποφάσεως τοῦ Δανιὴλ ἐσώθη ἡ σώφρων. Μαρτυρίας ἕνεκεν ταῦτα παραφέρομεν· οὐ γὰρ ἐξηγήσεως ὁ καιρός. [Ἤδει] καὶ Ναβουχοδονόσορ ὅτι ἐστὶν ἐν τῷ Δανιὴλ τὸ Πνεῦμα τὸ ἅγιον· φησὶ γὰρ πρὸς αὐτόν· « Βαλτάσαρ » ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἐγὼ ἔγνων, ὅτι Πνεῦμα Θεοῦ ἅγιον » ἐν σοί » (2). Ἓν ἀληθὲς εἶπε, καὶ ἓν ψεῦδος (3). Ὅτι μὲν γὰρ ἔσχε *Πνεῦμα ἅγιον*, ἀληθὲς ἦν (4)· οὐκ ἦν δὲ ἄρχων τῶν ἐπαοιδῶν· οὐ γὰρ ἦν μάγος, ἀλλ' ἐκ Πνεύματος σοφός (5). Καὶ πρὸ τούτου δὲ συνέκρινεν αὐτῷ (6) τὴν ὅρασιν τῆς εἰκόνος, ἣν αὐτὸς [ὁ] ἰδὼν, οὐκ ᾔδει· « Εἰπὲ (7) γάρ μοι, φησὶ, τὴν ὅρασιν, ἣν ἐγὼ [ὁ] ἰδὼν » οὐκ οἶδα » (8). Βλέπεις ἁγίου Πνεύματος δύναμιν; ὃ [οἱ] ἰδόντες οὐκ οἴδασιν, οἱ μὴ ἰδόντες γινώσκουσι καὶ ἑρμηνεύουσι. Καὶ ἐνῆν μὲν ἀληθῶς πάμπολλα ἐκ τῆς παλαιᾶς Διαθήκης ἀναλέξαι, καὶ πλατύτερον διηγήσασθαι τὰ περὶ ἁγίου Πνεύματος· ἀλλ' ὀλίγος ὁ καιρός· δεῖ δὲ φείδεσθαι καὶ τοῦ συμμέτρου τῆς ἀκροάσεως. Ὅθεν τοῖς ἐκ τῆς παλαιᾶς πρὸς τὸ παρὸν τέως ἀρκεσθέντες, ἐπὶ τὰ λείποντα ἐκ τῆς καινῆς Διαθήκης, εἰ ὁ Θεὸς θέλοι, τῇ ἑξῆς Κατηχήσει πάλιν ἐλευσόμεθα. Ὁ δὲ Θεὸς τῆς εἰρήνης διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος (9), πάντας ὑμᾶς τῶν πνευματικῶν καὶ ἐπουρανίων καταξιώσειε δωρεῶν. Ὧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Δανιὴλ, στίχ. 45. (κατὰ τὴν ἐν Μόσχᾳ ἔκδοσ. χωκά, Τόμ. Γ', σελ. 208.)
(2) Δανιὴλ Δ', 6.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ ἓν ψεῦδος κακόν.
(4) Αὐτόθεν.—Μ, ἀληθές ἐστιν·
(5) Αὐτόθεν.—Μ, ἐκ Πνεύματος σοφίας.
(6) Αὐτόθεν.—Μ, αὐτοῦ
(7) Ἐκ τοῦ ΒΤ.—Μ, Εἶπε γάρ μοι κτλ.
(8) Δανιὴλ Β', 26 κ' ἑπόμ.
(9) Πρὸς Ῥωμ. ΙΕ', 30· καὶ πρὸς Ἐφ. Γ', 20.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ ΙΖ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα· τῶν περὶ ἁγίου Πνεύματος τὰ λοιπά· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους πρώτης· «Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος »δίδοται λόγος σοφίας» (1), *καὶ τὰ ἑξῆς.*

ά. ΕΝ μὲν τῇ πρὸ ταύτης Κατηχήσει, τῶν περὶ Πνεύματος ἁγίου μαρτυριῶν ὀλίγον τι μέρος, κατὰ δύναμιν παρεθέμεθα ταῖς τῆς ὑμετέρας ἀγάπης ἀκοαῖς. Ἐν δὲ τῷ παρόντι, τῶν λειπουσῶν ἐκ τῆς καινῆς Διαθήκης, κατὰ τὸ ἐγχωροῦν πάλιν ἐραψόμεθα, Θεοῦ θέλοντος. Τότε μὲν διὰ τῆς ἀκοῆς σύμμετρον τὴν προθυμίαν ἐπισχόντες· ἀκόρεστος γὰρ ὁ περὶ Πνεύματος ἁγίου λόγος· νῦν δὲ τῶν λοιπῶν (2) μέρος τι πάλιν ὀλίγον ἐροῦντες. Τὸ γὰρ καλύπτεσθαι τὴν ἡμετέραν ἀσθένειαν, τῷ τῶν γεγραμμένων πλήθει, μετ' εὐγνωμοσύνης καὶ νῦν ὁμολογοῦμεν. Οὐκ ἀνθρωπίνοις καὶ σήμερον κεχρημένοι σοφίσμασιν· ἀσύμφορον γάρ· ἀλλὰ τὰ ἐκ τῶν θείων Γραφῶν μόνον ὑπομιμνήσκοντες· ἀσφαλέστατον γὰρ κατὰ τὸν μακάριον Ἀπόστολον [Παῦλον], ὃς καί φησιν· «Ἃ καὶ »λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν »διδακτοῖς Πνεύματος· πνευματικοῖς πνευματικὰ συγκρίνον»τες» (3)· καὶ παραπλήσια τοῖς ὁδοιποροῦσιν ἢ πλέουσιν ἐπιτελοῦντες, οἳ (4) σκοπὸν ἔχοντες ἕνα μεγίστης ὁδοῦ, τῇ μὲν προθυμίᾳ σπεύδουσι· διὰ δὲ τὴν ἀνθρωπίνην ἀσθένειαν, διαφόροις πόλεσι παραβάλλειν ἢ λιμέσιν εἰώθασιν.

β'. Αἱ μὲν [οὖν] περὶ τοῦ ἁγίου Πνεύματος διαλέξεις διαιροῦνται, αὐτὸ δὲ ἀδιαίρετόν ἐστιν, ἓν καὶ τὸ αὐτὸ τυγχάνον. Ὡς περ γὰρ ἐν τοῖς περὶ τοῦ Πατρὸς λόγοις, ποτὲ μὲν, περὶ μοναρχίας ἦν ἡμῖν τὸ διδασκόμενον· ποτὲ δὲ, πῶς καλεῖται Πατὴρ, ἢ παντοκράτωρ· ποτὲ δὲ, ὅπως δημιουργός ἐστι τῶν ὅλων· καὶ οὐ τὸ διαιρεῖσθαι τὰς Κατηχήσεις, διαίρεσιν εἶχε τῆς πίστεως· εἷς γὰρ

(1) Α' πρὸς Κορινθ. ΙΒ', 8.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, τῶν λοιπῶν
(3) Α' πρὸς Κορινθ. Β', 13.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, οἱ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἦν τε καὶ ἔστιν ὁ τῆς εὐσεβείας σκοπός· καὶ ὥς περ ἐν τοῖς περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ποτὲ μὲν τὰ περὶ θεότητος, ποτὲ δὲ τὰ περὶ τῆς ἀνθρωπότητος ἐδιδάσκομεν (1)· εἰς πολλὰς μὲν διαλέξεις, τοὺς περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λόγους διαιροῦντες, ἀδιαίρετον δὲ τὴν εἰς αὐτὸν πίστιν καταγγέλλοντες· οὕτω καὶ νῦν τῶν περὶ τοῦ ἁγίου Πνεύματος Κατηχήσεων διαιρουμένων, ἀδιαίρετον καταγγέλλομεν τὴν εἰς αὐτὸ πίστιν. Ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ Πνεῦμα, τὸ διαιροῦν μὲν τὰ χαρίσματα ἰδίᾳ ἑκάστῳ (2), καθὼς βούλεται· αὐτὸ δὲ μένον ἀδιαίρετον. Οὐ γὰρ ἄλλος ἐστὶν ὁ Παράκλητος, παρὰ τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλ' ἓν ἐστι καὶ τὸ αὐτὸ, διαφόρως ταῖς προσηγορίαις ὀνομαζόμενον· ζῶν καὶ ὑρεστὸς, καὶ λαλοῦν καὶ ἐνεργοῦν, καὶ τῶν ὑπὸ Θεοῦ διὰ Χριστοῦ γενομένων (3) ἁπάντων λογικῶν, καὶ ἀγγέλων καὶ ἀνθρώπων, ἐστὶν ἁγιαστικόν. Ὑπὲρ δὲ τοῦ μὴ ταῖς διαφόροις ὀνομασίαις τοῦ ἁγίου Πνεύματος νομίσαι τινὰς ἐξ ἀμαθείας, διάφορα εἶναι ταῦτα πνεύματα, καὶ μὴ ἓν καὶ τὸ αὐτὸ, ὅπερ ἐστὶ μόνον· διὰ τοῦτο προασφαλιζομένη σε ἡ Καθολικὴ (4) Ἐκκλησία παρέδωκεν ἐν τῇ τῆς Πίστεως ἐπαγγελίᾳ, πιστεύειν *εἰς ἓν ἅγιον Πνεῦμα, τὸν Παράκλητον* (5), *τὸ λαλῆσαν ἐν τοῖς προφήταις*· ὅπως εἰδέναι ἔχοις, ὅτι πολλαὶ μὲν αἱ προσηγορίαι τυγχάνουσιν, ἓν δὲ μόνον ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον. Περὶ ὧν προσηγοριῶν, νῦν ὀλίγας ὑμῖν ἐκ πολλῶν ἐροῦμεν.

γ'. Καλεῖται μὲν Πνεῦμα κατὰ τὸ ἀρτίως ἀνεγνωσμένον· « Ὧ » μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας » (6). Καλεῖται δὲ Πνεῦμα ἀληθείας, καθὼς ὁ Σωτὴρ φησιν· « Ὅταν δὲ ἔλθῃ » ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας » (7). Καλεῖται καὶ Παράκλητος, καθὼς εἴρηκεν· « Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλη- » τος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς » (8). Ὅτι δὲ ἓν καὶ τὸ αὐτό ἐστι

(1) Ἐκ τοῦ ΒΓ.—Μ, ποτὲ μὲν τὰ περὶ τῆς θεότητος ἐδιδάχθημεν, ποτὲ δὲ τὰ περὶ τῆς κτλ.
(2) Αὐτόθεν.—Μ, χαρίσματα ἴδια ἑκάστῳ, (Βλ. Α' πρὸς Κορινθ. ΙΒ', 11.)
(3) Αὐτόθεν.—Μ, καὶ τῶν ὑπ' αὐτοῦ διὰ Χριστοῦ γενομένων
(4) Αὐτόθεν.—Μ, πρὸς ἀσφάλειαν μὲν ἡ Καθολικὴ κτλ.
(5) Αὐτόθεν.—Μ, τὸ Παράκλητον,
(6) Α' πρὸς Κορινθ. ΙΒ', 8.
(7) Ἰωάν. Ιϛ', 13. (8) Αὐτόθι, 7.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διαφόροις ταῖς προσηγορίαις ὀνομαζόμενον, δείκνυται σαφῶς ἐκ τούτων. Περὶ μὲν γὰρ τοῦ εἶναι τὸ αὐτὸ, Πνεῦμα τὸ ἅγιον καὶ τὸν Παράκλητον, εἴρηται· « Ὁ δὲ Παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον » (1)· περὶ δὲ τοῦ [τὸ] αὐτὸ (2) εἶναι [καὶ] τὸν Παράκλητον καὶ τὸ Πνεῦμα τῆς ἀληθείας, εἴρηται· « Καὶ ἄλλον Παράκλητον δώσω ὑμῖν, ἵνα μεθ' ὑμῶν μένῃ εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα » τῆς ἀληθείας » (3). Καὶ πάλιν· « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος » ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀλη- » θείας » (4). Καλεῖται δὲ Πνεῦμα Θεοῦ (5), καθὼς γέγραπται· « Καὶ » εἶδον τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον » (6). Καὶ πάλιν· « Ὅσοι » γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι υἱοὶ τοῦ Θεοῦ εἰσι » (7). Καλεῖται καὶ Πνεῦμα Πατρὸς, καθώς φησιν ὁ Σωτήρ· « Οὐ γὰρ » ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ » λαλοῦν ἐν ὑμῖν » (8). Καὶ [πάλιν] ὁ Παῦλος· « Τούτου χάριν κάμ- » πτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα » (9), καὶ ἑξῆς· [Ἵνα δῷ » ὑμῖν] κραταιωθῆναι διὰ τοῦ Πνεύματος (10) αὐτοῦ » (11). Καλεῖται καὶ Πνεῦμα Κυρίου, καθὼς Πέτρος εἶπε· « Τί ὅτι συνερω- » νήθη ὑμῖν πειρᾶσαι τὸ Πνεῦμα Κυρίου (12); » Καλεῖται καὶ Πνεῦμα Θεοῦ καὶ Χριστοῦ (13), καθὼς γράφει Παῦλος· « Ὑμεῖς » δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ » οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ » ἔστιν αὐτοῦ » (14). Καλεῖται καὶ Πνεῦμα τοῦ υἱοῦ τοῦ Θεοῦ,

(1) Ἰωάν. ΙΔ', 26.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, Περὶ δὲ τοῦ αὐτὸ νεῖναι τὸν Παράκλητον
(3) Ἰωάν. ΙΔ', 16.
(4) Ἰωάν. ΙΕ', 26.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, Πνεῦμα ὁ Θεὸς,
(6) Ματθ. Γ', 16.
(7) Πρὸς Ῥωμ. Η', 14.
(8) Ματθ. Ι', 20.
(9) Πρὸς Ἐφες. Γ', 14.
(10) Μ, διὰ τοῦ Πατρὸς
(11) Πρὸς Ἐφες. Γ', 16.
(12) Πράξ. Ἀποστόλ. Ε', 9.
(13) Μ, καὶ Χριστοῦ Ἰησοῦ,
(14) Πρὸς Ῥωμ. Η', 9.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καθὼς εἴρηται· « Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦ-» μα τοῦ υἱοῦ αὐτοῦ » (1). Καλεῖται καὶ Πνεῦμα Χριστοῦ, καθὼς γέγραπται· « Εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς (2) » Πνεῦμα Χριστοῦ » (3). Καὶ πάλιν· « Διὰ τῆς ὑμῶν δεήσεως, » καὶ ἐπιχορηγίας τοῦ Πνεύματος τοῦ Ἰησοῦ Χριστοῦ » (4). Πρὸς δὲ τούτοις καὶ ἄλλας πολλὰς ὀνομασίας τοῦ ἁγίου Πνεύματος εὑρήσεις. Καλεῖται μὲν γὰρ Πνεῦμα ἁγιωσύνης, ὡς γέγραπται· « Κατὰ Πνεῦμα ἁγιωσύνης » (5). Καλεῖται καὶ Πνεῦμα υἱοθεσίας, ὡς Παῦλός φησιν· « Οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας εἰς φόβον, » ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ ὁ Πα-» τήρ » (6). Καλεῖται καὶ Πνεῦμα ἀποκαλύψεως, καθὼς γέγραπται· » Δώῃ ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐ-» τοῦ » (7). Καλεῖται καὶ Πνεῦμα ἐπαγγελίας, καθὼς ὁ αὐτός φησιν· « Ἐν ᾧ καὶ ὑμεῖς πιστεύσαντες, ἐσφραγίσθητε τῷ Πνεύματι » τῆς ἐπαγγελίας τῷ ἁγίῳ » (8). [Καλεῖται καὶ Πνεῦμα χάρι-τος, ὡς ὅτε πάλιν λέγει· «Καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας» (9).] Καὶ ἄλλας δὲ προσηγορίας πλείοσιν ὀνομάζεται τοιαύ-ταις. Ἥκουσας δὲ σαφῶς καὶ ἐν τῇ πρὸ ταύτης Κατηχήσει, ὅτι ἐν μὲν τοῖς Ψαλμοῖς, ποτὲ μὲν *ἀγαθὸν* (10), ποτὲ δὲ *ἡγεμονικὸν* (11) ὀνομάζεται· ἐν δὲ τῷ Ἡσαΐᾳ, *σοφίας, καὶ συνέσεως, καὶ βουλῆς, καὶ ἰσχύος, καὶ γνώσεως, καὶ εὐσεβείας, καὶ φόβου Θεοῦ*, προσηγορεύετο (12). Δι' ὧν ἁπάντων, τῶν τε πρότερον εἰρη-μένων καὶ [τῶν] νῦν, συνίσταται (13), διαφόρους μὲν εἶναι τὰς

(1) Πρὸς Γαλάτ. Δ', 6.
(2) Μ, δηλοῦτο ἐν αὐτοῖς κτλ.
(3) Α'. Πέτρ. Α', 11.
(4) Πρὸς Φιλιπ. Α', 19.
(5) Πρὸς Ῥωμ. Α', 4.
(6) Πρὸς Ῥωμ. Η', 15.
(7) Πρὸς Ἐφες. Α', 17.
(8) Πρὸς Ἐφες. Α', 13.
(9) Πρὸς Ἑβρ. Ι', 29.
(10) Ψαλμ. ΡΜΒ', 11.
(11) Ψαλμ. Ν', 14.
(12) Ἡσ. ΙΑ', 2, 3.
(13) Ἐκ τοῦ ΒΤ.—Μ, ἵστανται,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσηγορίας· ἓν δὲ καὶ τὸ αὐτὸ Πνεῦμα τὸ ἅγιον, ζῶν καὶ ὑφεστὼς (1), καὶ πάντοτε Πατρὶ καὶ Υἱῷ συμπαρόν. Οὐκ ἀπὸ σώματος καὶ χειλέων Πατρὸς ἢ Υἱοῦ λαλούμενον, ἢ ἀναπνεόμενον, οὔτε εἰς ἀέρα διαχεόμενον, ἀλλ' ἐνυπόστατον· λαλοῦν αὐτὸ, καὶ ἐνεργοῦν, καὶ οἰκονομοῦν, καὶ ἁγιάζον· ἀδιαστάτου δηλαδὴ καὶ συμφώνου καὶ μιᾶς οὔσης τῆς σωτηριώδους οἰκονομίας εἰς ἡμᾶς, τῆς ἐκ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καθὼς καὶ πρώην εἰρήκαμεν. Μνημονεύειν γὰρ ὑμᾶς ἐκείνων ἄρτι λεγομένων βούλομαι, καὶ εἰδέναι σαφῶς, ὅτι οὐχ ἕτερον μὲν ἐν νόμῳ καὶ προφήταις, ἕτερον δὲ ἐν Εὐαγγελίοις καὶ Ἀποστόλοις· ἀλλ' ἕν ἐστι καὶ τὸ αὐτὸ Πνεῦμα ἅγιον, τὸ ἐν παλαιᾷ καὶ καινῇ Διαθήκῃ τὰς θείας λαλῆσαν Γραφάς.

δ'. Τοῦτο τὸ πνεῦμα τὸ ἅγιόν ἐστι, τὸ ἐλθὸν ἐπὶ τὴν ἁγίαν παρθένον Μαρίαν. Ἐπειδὴ γὰρ Χριστὸς ἦν ὁ Μονογενὴς, ὁ γεννώμενος, δύναμις Ὑψίστου ἐπεσκίαζεν αὐτῇ, καὶ Πνεῦμα ἅγιον ἐπελθὸν ἐπ' αὐτὴν, ἡγίαζεν αὐτὴν (2), πρὸς τὸ δυνηθῆναι δέξασθαι τὸν « δι' οὗ τὰ πάντα ἐγένετο » (3). Οὐ χρεία δέ μοι πολλῶν λόγων, ἵνα μάθῃς ὅτι ἀῤῥύπαρος καὶ ἄχραντος ἡ γέννησις. Ἔμαθες γάρ· Γαβριὴλ ἐστιν ὁ λέγων πρὸς αὐτήν· Ἐγὼ κήρυξ εἰμὶ τῶν γεννησομένων, ἀλλ' οὐ συνεργός· εἰ γὰρ καὶ Ἀρχάγγελος, ἀλλ' οἶδα [μου] τὴν τάξιν· καὶ τὸ μὲν χαίρειν ἐγὼ εὐαγγελίζομαί σοι· τὸ δὲ πῶς τέξῃ, οὐκ ἀπὸ τῆς ἐμῆς χάριτος· « Πνεῦμα ἅγιον ἐπε- » λεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ » τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς Θεοῦ » (4). Τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον ἐνήργησεν ἐν τῇ Ἐλισάβετ. Οὐ γὰρ μόνον παρθένους οἶδεν, ἀλλὰ γνωρίζει καὶ ἐγγάμους, ἐὰν κατὰ νόμον ᾖ ὁ γάμος· « Καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ » καὶ προεφήτευσε· καί φησιν ἡ καλὴ δούλη περὶ τοῦ [ἑαυτῆς] Κυρίου· « Καὶ » πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ πρός με ἡ μήτηρ τοῦ Κυρίου μου (5); » ἐμακάριζε γὰρ ἑαυτὴν ἡ Ἐλισάβετ. Τούτου τοῦ ἁγίου Πνεύματος

(1) Ἐκ τοῦ BT.—M, τὸ ἁγιάζον, καὶ ὑφεστὼς,
(2) Λουκ. Α', 35.
(3) Ἰωάν. Α', 3,
(4) Λουκ. Α', 35.
(5) Λουκ. Α', 41—45.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλησθεὶς καὶ Ζαχαρίας, ὁ τοῦ Ἰωάννου πατὴρ, προεφήτευσε, λέγων ὅσων τε ἀγαθῶν πρόξενός ἐστιν ὁ Μονογενὴς, καὶ ὅτι πρόδρομος διὰ βαπτίσματος Ἰωάννης ἐκείνου (1). Ὑπὸ τούτου τοῦ ἁγίου Πνεύματος χρηματισθεὶς καὶ Συμεὼν ὁ δίκαιος, « μὴ ἰδεῖν θάνατον » πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου, δεξάμενος αὐτὸν εἰς τὰς ἀγ- » καλας » ἐν τῷ ἱερῷ, τὰ περὶ αὐτοῦ σαφῶς ἐμαρτύρησε (2). Καὶ Ἰωάννης δὲ, ὁ Πνεύματος ἁγίου πλησθεὶς ἐκ κοιλίας μητρὸς αὐ- τοῦ, διὰ τοῦτο ἡγιάσθη, ἵνα βαπτίσῃ τὸν Κύριον· οὐ διδοὺς τὸ Πνεῦμα, ἀλλὰ τὸν διδοῦντα τὸ Πνεῦμα εὐαγγελιζόμενος. Φησὶ γάρ· » Ἐγὼ ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω » μου ἐρχόμενος », καὶ ἑξῆς· « αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι » ἁγίῳ καὶ πυρί » (3). Πυρὶ δὲ, διὰ τί; Ἐπειδὴ ἐν πυρίναις γλώσσαις ἡ τοῦ ἁγίου Πνεύματος ἐγένετο κάθοδος (4). Περὶ οὗ λέγει χαίρων ὁ Κύριος· « Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· καὶ τί » θέλω, εἰ ἤδη ἀνήφθη ; (5) »

ε. Τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον κατῆλθε βαπτιζομένου τοῦ Κυ- ρίου, πρὸς τὸ μὴ λαθεῖν τοῦ βαπτιζομένου τὴν ἀξίαν, καθὼς Ἰωάν- νης φησίν· « Ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι » εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐ- » τὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ » (6). Ἀλλὰ βλέπε τί λέγει τὸ Εὐαγγέλιον· *Ἠνεῴχθησαν οἱ οὐρανοί·* ἠνεῴ- χθησαν δὲ διὰ τὴν ἀξίαν τοῦ καταβάντος· « Ἰδοὺ γὰρ, φησὶν, » ἠνεῴχθησαν οἱ οὐρανοὶ· καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ κατα- » βαῖνον ὡς περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν » (7). Αὐτοκι- νήτῳ (8) δηλονότι τῇ καταβάσει. Ἔδει γὰρ, ὡς ἐξηγήσαντό τι- νες, τὰς ἀπαρχὰς καὶ τὰ πρωτεῖα τοῦ ἁγίου Πνεύματος τῶν βα-

(1) Λουκ. Α', 67, 68, 76.
(2) Λουκ. Β', 25—35.
(3) Ματθ. Γ', 11.
(4) Πράξ. Ἀποστόλ. Β', 3.
(5) Λουκ. ΙΒ', 49.
(6) Ἰωάν. Α', 33.
(7) Ματθ. Γ', 16.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, Αὐτοκινήτως

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πτιζομένων, τῇ ἀνθρωπότητι τοῦ Σωτῆρος παρασχεθῆναι (1), τοῦ τὴν τοιαύτην διδόντος χάριν. Κατῆλθε δὲ ἴσως ἐν εἴδει περιστερᾶς, ὡς φασί τινες, τῆς καθαρᾶς [καὶ ἀκάκου καὶ] ἀκεραίου (2), καὶ ταῖς ὑπὲρ γεννωμένων τέκνων καὶ συγχωρήσεως ἁμαρτιῶν εὐχαῖς συνεργούσης, [τύπον παραδηλοῦν·] καθὼς αἰνιγματωδῶς προείρηται περὶ τοῦ τὸν (3) Χριστὸν ὀφθαλμοφανῶς οὕτως ἐπιδειχθῆναι. Ἐν γὰρ τοῖς Ἄσμασι περὶ τοῦ νυμφίου προσφωνεῖ, καὶ λέγει· « Οἱ ὀφθαλμοί σου, ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων» (4). Ταύτης ἔφερε τύπον μερικῶς, κατά τινας, ἡ ἐπὶ Νῶε περιστερά (5). Ὡς περ γὰρ ἐπ' ἐκείνου, διὰ ξύλου καὶ ὕδατος αὐτοῖς μὲν (6) ἐγένετο ἡ σωτηρία, καινῆς δὲ γενέσεως ἀρχή· καὶ ἡ περιστερὰ ἀνέστρεψε πρὸς αὐτὸν τὸ πρὸς ἑσπέραν, ἔχουσα φύλλον ἐλαίας· οὕτω, φασὶ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον κατῆλθεν ἐπὶ τὸν ἀληθινὸν Νῶε, τὸν τῆς δευτέρας γενέσεως ποιητὴν, τῶν παντοίων γενῶν προαιρέσεις εἰς τὸ αὐτὸ συνάγοντα· ὧν τύπον ἔφερον αἱ διάφοροι τῶν ἐν τῇ κιβωτῷ ζώων καταστάσεις. Οὗ κατὰ τὴν παρουσίαν, οἱ νοηταὶ λύκοι συμβύσκονται μετὰ ἀρνῶν (7)· οὗ ἡ Ἐκκλησία ἔχει μοσχάριον, καὶ ταῦρον, καὶ λέοντα ἅμα βοσκομένους (8)· καθὼς μέχρι σήμερον βλέπομεν, ἄρχοντας κοσμικοὺς ὑπὸ τῶν ἐκκλησιαστικῶν ἀγομένους καὶ διδασκομένους. Κατῆλθε τοίνυν, ὡς ἐξηγοῦνταί τινες, ἡ νοητὴ περιστερὰ ἐν τῷ καιρῷ τοῦ βαπτίσματος, ἵνα δείξῃ ὅτι αὐτός ἐστιν ὁ διὰ ξύλου σταυροῦ σώζων τοὺς πιστεύοντας· ὁ μέλλων πρὸς ἑσπέραν διὰ τοῦ θανάτου [αὐτοῦ] χαρίζεσθαι τὴν σωτηρίαν.

ϛ'. Καὶ περὶ μὲν τούτων ἴσως καὶ ἄλλως ἐξηγητέον. Αὐτοῦ δὲ τοῦ Σωτῆρος καὶ νῦν ἀκουστέον τῶν περὶ ἁγίου Πνεύματος ῥημάτων. Φησὶ γάρ· « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος,

(1) Ἐκ τοῦ BT.—M, παρασχεῖν,
(2) Αὐτόθεν.—M, τῆς καθαρᾶς ὡς ἀκεραίου,
(3) Αὐτόθεν.—M, περὶ τούτου, Χριστὸν κτλ.
(4) Ἆσμα Ἀσμ. Ε', 12.
(5) Γενέσ. Η', 8 κ' ἑπόμ.
(6) Ἐκ τοῦ BT.—M, αὐτοῖς μόνον
(7) Ἡσ. ΙΑ', 6· καὶ ΞΕ', 25.
(8) Ἡσ. ΙΑ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ » (1). Καὶ ὅτι παρὰ τοῦ Πατρὸς (2) ἡ χάρις, λέγει (3)· « Πόσῳ μᾶλλον ὁ Πατὴρ ὁ ἐξ » οὐρανοῦ δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν (4); » Καὶ ὅτι τὸν Θεὸν ἐν Πνεύματι προσκυνεῖν δεῖ, φησίν· « Ἀλλ' ἔρχεται ὥρα » καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ » Πατρὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους » ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσ- » κυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν » (5). Καὶ πάλιν· « Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμό- » νια », καὶ ἑξῆς εὐθύς· « Διὰ τοῦτο λέγω ὑμῖν· Πᾶσα ἁμαρτία » καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος » βλασφημία οὐκ ἀφεθήσεται. Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ » Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ λόγον κατὰ » τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ » τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι » (6). Καὶ πάλιν φησί· « Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει » ὑμῖν, ἵνα μεθ' ὑμῶν ᾖ εἰς τὸν αἰῶνα· τὸ Πνεῦμα τῆς ἀληθείας, » ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώ- » σκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν » ὑμῖν ἔσται » (7). Καὶ πάλιν λέγει· « Ταῦτα λελάληκα ὑμῖν » παρ' ὑμῖν μένων· ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ » πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος διδάξει ὑμᾶς πάντα, » καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν » (8). Καὶ πάλιν φη- σίν· « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ » τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπο- » ρεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ » (9). Καὶ πάλιν ὁ Σω- τήρ· « Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐ μὴ ἔρχεται

(1) Ἰωάν. Γ', 5.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, παρὰ τοῦ Πνεύματος
(3) Αὐτοῦεν.— Μ, λέγει γάρ·
(4) Λουκ. ΙΑ', 13. 4. (5) Ἰωάν. Δ', 23—24.
(6) Ματθ. ΙΒ', 28, 31—32.
(7) Ἰωάν. ΙΔ', 16—17.
(8) Ἰωάν. ΙΔ', 25—26.
(9) Ἰωάν. ΙΕ', 26.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» πρὸς ὑμᾶς. Καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρ-» τίας, καὶ περὶ δικαιοσύνης, καὶ περὶ κρίσεως» (1). Καὶ ἑξῆς πάλιν· « Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστά-» ζειν ἄρτι. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, δη-» γήσεται ὑμῖν τὴν ἀλήθειαν πᾶσαν· οὐ γὰρ ἀφ' ἑαυτοῦ λαλήσει, » ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. » Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. » Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὑμῖν, ὅτι ἐκ τοῦ » ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν » (2). Αὐτοῦ τοῦ Μονογενοῦς νῦν ἀνέγνων σοι τὰς φωνὰς, ἵνα μὴ προσέχῃς ἀνθρωπίνοις ῥήμασι.

Ζ'. Τούτου τοῦ ἁγίου Πνεύματος τὴν κοινωνίαν ἐχαρίσατο τοῖς Ἀποστόλοις· γέγραπται γάρ· « Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε, καὶ » λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς » ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται » (3). Δεύτερον ἐμφύσημα τοῦτο, ἐπειδὴ τὸ πρῶτον ἠμαυρώθη διὰ τὰς ἑκουσίους ἁμαρτίας· ἵνα πληρωθῇ τὸ γεγραμμένον· « Ἀνέβη » ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου, καὶ ἐξαιρούμενός σε ἐκ θλίψεως» (4). Τὸ δὲ *ἀνέβη*, πόθεν; ἐκ τοῦ ᾅδου· οὕτω γὰρ διηγήσατο τὸ Εὐαγγέλιον, ὅτι μετὰ τὴν ἀνάστασιν, τότε *ἐνεφύσησεν*. Ἀλλὰ δίδωσι μὲν νῦν τὴν χάριν, ἐπιδαψιλεύεται δὲ ἐπὶ πλεῖον, καί φησι πρὸς αὐτούς· Ἕτοιμος μέν εἰμι τοῦ δοῦναι καὶ νῦν, οὔπω δὲ τὸ ἀγγεῖον χωρεῖ· τέως μὲν οὖν λάβετε τὴν χάριν ὅσην χωρεῖτε (5), ἐκδέχεσθε δὲ καὶ πλείονα· « Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει » Ἱερουσαλὴμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους» (6). Νῦν λάβετε μερικῶς· τότε φορέσετε αὐτοτελῶς. Ὁ μὲν γὰρ δεχόμενος, πολλάκις μερικῶς ἔχει τὸ διδόμενον (7)· ὁ δὲ ἐνδυόμενος, ὑπὸ τῆς στολῆς πανταχόθεν περιέχεται. Μὴ φοβηθῆτε, φησὶν, ὅπλα

(1) Ἰωάν. ΙΣ', 7, 8.
(2) Αὐτόθι, 12, 13—15.
(3) Αὐτόθι, Κ', 22—23.
(4) Ναοὺμ Β', 2.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, ὅσον χωρεῖτε.
(6) Λουκ. ΚΔ', 49.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, τὸ διδασκόμενον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διαβόλου καὶ βέλη· φορέσετε γὰρ δύναμιν Πνεύματος ἁγίου. Μνημονεύετε δὲ τῶν ἀρτίως εἰρημένων, ὅτι Πνεῦμα οὐ μερίζεται, ἀλλ' ἡ δι' αὐτοῦ χάρις. Ἀνῆλθε τοίνυν ὁ Ἰησοῦς εἰς οὐρανούς, καὶ τὴν ἐπαγγελίαν ἐπλήρωσεν· εἶπε γὰρ πρὸς αὐτούς· « Ἐγὼ ἐρωτήσω » τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν » (1). Ἐκαθέζοντο ἐκδεχόμενοι τὴν παρουσίαν τοῦ ἁγίου Πνεύματος· « Καὶ ἐν τῷ » συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς » (2), [ἐνταῦθα,] ἐν ταύτῃ τῇ πόλει Ἱερουσαλὴμ (ἡμέτερον γὰρ καὶ τοῦτο τὸ ἀξίωμα· καὶ λαλοῦμεν, οὐ περὶ τῶν παρ' ἑτέροις γεγενημένων ἀγαθῶν, ἀλλὰ τῶν παρ' ἡμῖν κεχαρισμένων)· τῆς Πεντηκοστῆς οὖν οὔσης, ἐκαθέζοντο· καὶ κατήρχετο ὁ Παράκλητος ἐξ οὐρανοῦ, ὁ φρουρὸς καὶ ἁγιοποιὸς τῆς Ἐκκλησίας, ὁ διοικητὴς τῶν ψυχῶν, ὁ κυβερνήτης τῶν χειμαζομένων, ὁ φωταγωγὸς τῶν πεπλανημένων, καὶ ἀθλοθέτης τῶν ἀγωνιζομένων, καὶ στεφανωτὴς τῶν νενικηκότων.

ή. Κατήρχετο δὲ, ἵνα ἐνδύσῃ δύναμιν [καὶ] ἵνα βαπτίσῃ τοὺς Ἀποστόλους. Λέγει γὰρ ὁ Κύριος· « Ὑμεῖς βαπτισθήσεσθε ἐν Πνεύ- » ματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας » (3). Οὐ μερικὴ ἡ χάρις, ἀλλὰ αὐτοτελὴς ἡ δύναμις. Ὥσπερ γὰρ ὁ ἐνδύνων ἐν τοῖς ὕδασι καὶ βαπτιζόμενος, πανταχόθεν ὑπὸ τῶν ὑδάτων περιβάλλεται, οὕτω καὶ ὑπὸ τοῦ Πνεύματος ἐβαπτίσθησαν ὁλοτελῶς. Ἀλλὰ τὸ μὲν ὕδωρ ἔξωθεν περιχεῖται, τὸ δὲ Πνεῦμα καὶ τὴν ἔνδοθεν ψυχὴν βαπτίζει ἀπαραλείπτως. Καὶ τί θαυμάζεις; λάβε ὑπόδειγμα σωματικὸν, μικρὸν μὲν καὶ εὐτελὲς, χρήσιμον δὲ τοῖς ἀφελεστέροις (4). Εἰ τὸ πῦρ διὰ τῆς παχύτητος τοῦ σιδήρου διαβαῖνον ἔνδον, τὸ ὅλον ἀπεργάζεται πῦρ, καὶ ὁ ψυχρὸς γίνεται ζεστὸς, καὶ ὁ μέλας γίνεται ἐκλάμπων· εἰ σῶμα ὂν τὸ πῦρ, ἐν σώματι σιδήρου ἐνδύνον, οὕτως ἀπαρεμποδίστως ἐργάζεται· τί θαυμάζεις, εἰ Πνεῦμα ἅγιον ἐν τοῖς ἐνδοτάτοις τῆς ψυχῆς εἰσέρχεται; Ἵνα δὲ τοσαύτης χάριτος κατερχομένης, μὴ ἀγνοηθῇ τὸ μέγεθος, σάλπιγξ ὥσπερ ἐπου-

(1) Ἰωάν. ΙΔ', 16.
(2) Πράξ. Ἀποστόλ. Β', 1.
(3) Αὐτόθι, Α', 5.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, τοῖς ἀσφαλεστέροις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ράνιος ἤχησεν· « Ἐγένετο γὰρ ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ » φερομένης πνοῆς βιαίας » (1), σημαινούσης τὴν παρουσίαν [τοῦ χαριζομένου τοῖς ἀνθρώποις, μετὰ βίας ἁρπάζειν τὴν βασιλείαν τοῦ Θεοῦ (2).]· ἵνα καὶ ὀφθαλμοὶ (3) ἴδωσι τὰς πυρίνας γλώσσας, καὶ ὧτα ἐπακούσῃ τοῦ ἤχου· « Καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον » οὗ ἦσαν καθήμενοι » (4). Δοχεῖον γέγονε τοῦ νοητοῦ ὕδατος ὁ οἶκος· οἱ μαθηταὶ ἔνδον ἐκαθέζοντο, καὶ ὁ οἶκος πᾶς ἐπλήσθη. Ἐβαπτίσθησαν τοίνυν ἀνελλειπῶς κατὰ τὴν ἐπαγγελίαν· ἐνεδύθησαν δὲ ψυχῇ καὶ σώματι θείαν ἔνδυσιν καὶ σωτήριον· « Καὶ » ὤρθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, καὶ ἐκάθι- » σεν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύμα- » τος ἁγίου » (5). Πυρὸς μετέλαβον οὐ καταφλεκτικοῦ, ἀλλὰ σω- τηριώδους πυρός· ἀφανίζοντος μὲν ἀκάνθας ἁμαρτιῶν, λαμπρύ- νοντος δὲ τὴν ψυχήν. Τοῦτο μέλλει νῦν ἔρχεσθαι καὶ ἐφ' ὑμᾶς· καὶ τὰς μὲν ἀκανθώδεις ὑμῶν ἁμαρτίας περιαίρειν καὶ ἀναλίσκειν· τὸ δὲ τῆς ψυχῆς ὑμῶν κτῆμα τὸ τίμιον ἔτι (6) λαμπρύνειν, καὶ διδόναι ὑμῖν χάριν· ἔδωκε γὰρ καὶ τότε τοῖς Ἀποστόλοις. Ἐν εἴδει δὲ πυρίνων γλωσσῶν ἐπεκαθέζετο αὐτοῖς, ἵνα διαδήματα καινότερα περιθῶνται πνευματικά, διὰ πυρίνων γλωσσῶν, ἐπὶ κε- φαλῆς. Φλογίνη ῥομφαία πρότερον ἐκώλυε πύλας παραδείσου (7)· πυρίνη γλῶσσα σωτηριώδης ἀπεκατέστησε τὴν χάριν.

Θ'. « Καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα » ἐδίδου [αὐτοῖς] ἀποφθέγγεσθαι » (7). Γαλιλαῖος ὁ Πέτρος καὶ Ἀνδρέας, ἃ ἐπέρσιζεν, ἃ ἐμήδιζεν· Ἰωάννης καὶ οἱ λοιποὶ Ἀπό- στολοι πᾶσαν γλῶσσαν ἐλάλουν τοῖς ἀπὸ τῶν ἐθνῶν· οὐ γὰρ νῦν ἐνταῦθα ἤρξαντο τῶν ξένων πλήθη συναθροίζεσθαι πανταχόθεν, ἀλλ' ἔκτοτε. Ποῖος τοσοῦτος διδάσκαλος εὑρίσκεται, διδάσκων

(1) Πράξ. Ἀποστόλ. Β', 2.
(2) Ματθ. ΙΑ', 12.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, ὀφθαλμοὶ ἴδωσι.
(4) Πράξ. Ἀποστόλ. Β', 2.
(5) Αὐτόθι, 2—4.
(6) Τὸ ἔτι, ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, ἐστι.
(7) Γενέσ. Γ', 24.
(8) Πράξ. Ἀποστόλ. Β', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀθρόως ἃ μὴ μεμαθήκασι; Τοσούτοις ἔτεσι διὰ γραμματικῆς, καὶ διὰ τεχνῶν, μανθάνουσι μόνον Ἕλληνιστὶ καλῶς λαλεῖν· καὶ οὐδὲ πάντως πάντες λαλοῦσιν ὁμοίως· ἀλλ' ὁ ῥήτωρ μὲν [ἴσως κατορθοῖ λαλεῖν] καλῶς· [ὁ] γραμματικὸς [δὲ] ἐνίοτε οὐ καλῶς· καὶ ὁ τὴν γραμματικὴν εἰδὼς, τὰ φιλοσοφούμενα οὐκ οἶδε· τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἅμα διδάσκει πολλὰς γλώσσας, ἅσπερ ἐν παντὶ τῷ χρόνῳ ἐκεῖνοι οὐκ οἴδασι. Τοῦτό ἐστιν ἀληθῶς σοφία πολλὴ, τοῦτο θεία δύναμις. Ποία σύγκρισις τῆς ἐν πολλῷ χρόνῳ ἀμαθείας ἐκείνων, πρὸς τὴν ἀθρόαν καὶ διάφορον καὶ ξένην ἐξαίφνης τῶν γλωσσῶν ἐνέργειαν; Ἐγένετο σύγχυσις τοῦ πλήθους τῶν ἀκουσάντων. (1) Δευτέρα σύγχυσις, ἀντὶ τῆς ἐν Βαβυλῶνι πρώτης κακῆς. Ἐπὶ μὲν γὰρ τῆς συγχύσεως τῶν γλωσσῶν, διαίρεσις ἦν τῆς προαιρέσεως, ἐπειδὴ ἀντίθεον ἦν τὸ φρόνημα (2)· ὧδε δὲ ἀποκατάστασις καὶ ἕνωσις τῶν γνωμῶν, ἐπειδὴ εὐσεβὲς ἦν τὸ σπουδαζόμενον. Δι' ὧν ἡ ἀπόπτωσις, διὰ τούτων ἡ ἐπάνοδος. Ὅθεν ἐθαύμαζον λέγοντες· « Πῶς ἡμεῖς ἀκούομεν λαλούντων αὐτῶν; » (3). Οὐδὲν θαυμαστὸν εἰ ὑμᾶς ἀγνοεῖτε· καὶ γὰρ καὶ Νικόδημος ἠγνόησε τοῦ Πνεύματος τὴν παρουσίαν, καὶ πρὸς ἐκεῖνον ἐρρέθη· « Τὸ » Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ » οἶδας πόθεν ἔρχεται [καὶ ποῦ ὑπάγει » (4). Εἰ δὲ καὶ τὴν φωνὴν αὐτοῦ ἐὰν ἀκούσω, οὐκ οἶδα πόθεν ἔρχεται]· αὐτὸ τί ποτέ ἐστι τὴν ὑπόστασιν, πῶς δύναμαι διηγήσασθαι (5);

ι'. « Ἄλλοι δὲ διαχλευάζοντες, ἔλεγον, ὅτι γλεύκους μεμε» στωμένοι εἰσί » (6). Λέγοντες μὲν ἀληθῶς, ἀλλὰ χλευαστικῶς· νέος γὰρ ἦν ἀληθῶς ὁ οἶνος (7), καινῆς Διαθήκης ἡ χάρις. Ἀλλ' ὁ νέος οὗτος οἶνος, ἀπὸ νοητῆς ἀμπέλου, πολλάκις ἤδη καρποφορησάσης ἐν προφήταις, καὶ ἐν καινῇ Διαθήκῃ βλαστησάσης. Ὥσπερ

(1) Πράξ. Ἀποστόλ. Β', 6.
(2) Γενές. ΙΑ', 7, 9.
(3) Πράξ. Ἀποστόλ. Β', 8.
(4) Ἰωάν. Γ', 8.
(5) Ἐκ τοῦ ΒΓ.—Μ, οὐ δύναμαι διηγήσασθαι.
(6) Πράξ. Ἀποστόλ. Β', 13.
(7) Ματθ. Θ', 17.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ αἰσθητῶς, ἡ μὲν ἄμπελος ἀεὶ μένει ἡ αὐτή· κατὰ δὲ καιροὺς, καινοτέρους ἐκφέρει καρποὺς· οὕτω καὶ τὸ αὐτὸ Πνεῦμα, μένον ὅπερ ἐστὶ, καὶ πολλάκις ἐν προφήταις ἐνεργῆσαν, νῦν νέον τι καὶ θαυμάσιον ἐνεδείξατο. Ἔφθασε μὲν γὰρ καὶ ἐπὶ τοὺς πατέρας ἡ χάρις· ἀλλ' ὧδε ὑπερβολικῶς. Ἐκεῖ μὲν γὰρ μετέσχον ἁγίου Πνεύματος, ὧδε δὲ αὐτοτελῶς ἐβαπτίσθησαν. Ἀλλ' ὁ Πέτρος ὁ ἔχων Πνεῦμα ἅγιον, καὶ εἰδὼς ὃ ἔχει, φησίν· « Ἄνδρες Ἰσραηλῖται », οἳ τὸν μὲν Ἰωὴλ ἀπαγγέλλοντες, μὴ εἰδότες δὲ τὰ γεγραμμένα, « οὐχ » ὡς ὑμεῖς ὑπολαμβάνετε οὗτοι μεθύουσι » (1). Μεθύουσι γάρ· οὐχ ὡς ὑμεῖς ὑπολαμβάνετε, ἀλλὰ καθὼς γέγραπται· « Μεθυσθή- » σονται ἀπὸ ποιότητος οἴκου σου, καὶ ἐκ τῶν χειμάρρων τῆς » τρυφῆς σου ποτιεῖς αὐτούς » (2). Μεθύουσι μέθην νηφάλιον, νεκρωτικὴν ἁμαρτίας, καὶ καρδίας ζωοποιητικὴν, μέθην, ἐναντίαν τῆς σωματικῆς· ἡ μὲν γὰρ καὶ τῶν ἐγνωσμένων ἐμποιεῖ λήθην, αὕτη δὲ καὶ τῶν μὴ ἐγνωσμένων τὴν γνῶσιν χαρίζεται. Μεθύουσι, πίνοντες τὸν οἶνον τῆς νοητῆς ἀμπέλου, τῆς λεγούσης· « Ἐγώ » εἰμι ἡ ἄμπελος καὶ ὑμεῖς τὰ κλήματα » (3). Εἰ δὲ μὴ πείθεσθέ μοι, ἐκ τοῦ καιροῦ σύνετε τὸ λεγόμενον· « Ἔστι γὰρ ὥρα » τρίτη τῆς ἡμέρας » (4)· ὁ γὰρ ἐν τρίτῃ ὥρᾳ (5) σταυρωθεὶς, ὡς Μάρκος φησὶ, τρίτῃ ὥρᾳ νῦν κατέπεμψε τὴν χάριν. Οὐ γὰρ ἄλλη χάρις ἐκείνου, καὶ ἄλλη χάρις τούτου· ἀλλ' ὁ τότε σταυρωθεὶς, καὶ ἐπαγγειλάμενος, ἐπλήρωσεν ὃ ἐπηγγείλατο. Εἰ δὲ βούλεσθε δέξασθαι καὶ μαρτυρίαν, ἀκούσατε, φησίν· « Ἀλλὰ τοῦτό » ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· Καὶ ἔσται μετὰ » ταῦτα, λέγει ὁ Θεὸς, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου » (6). Τὸ δὲ ἐκχεῶ πλουσίαν ἠνίξατο δόσιν· « Οὐ γὰρ ἐκ μέτρου (7) δί- » δωσιν ὁ Θεὸς τὸ Πνεῦμα· ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα

(1) Πράξ. Ἀποστόλ. Β', 14, 15.
(2) Ψαλμ. ΜΕ', 9.
(3) Ἰωάν. ΙΕ', 5.
(4) Πράξ. Ἀποστόλ. Β', 15.
(5) Μάρκ. ΙΕ', 25.
(6) Πράξ. Ἀποστόλ. Β', 16—17. καὶ Ἰωὴλ Β', 28.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, ἐκ Πέτρου

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ » (1)· δέδωκε δὲ αὐτῷ τὴν ἐξουσίαν καὶ τοῦ χαρίζεσθαι τοῦ παναγίου Πνεύματος τὴν χάριν, οἷς βούλεται. « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, » καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν »· καὶ ἑξῆς· « Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς » ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύ» σουσι » (2). Τὸ Πνεῦμα τὸ ἅγιον ἀπροσωπόληπτόν ἐστιν· οὐ γὰρ ζητεῖ ἀξιώματα, ἀλλὰ ψυχῆς εὐλάβειαν. Μήτε οἱ πλούσιοι τυρούσθωσαν, μήτε οἱ πένητες ταπεινούσθωσαν· μόνον δὲ ἕκαστος ἑαυτὸν ἑτοιμαζέτω (3) πρὸς ὑποδοχὴν τῆς ἐπουρανίου χάριτος.

ιά. Πολλὰ μὲν οὖν ἡμῖν εἴρηται σήμερον, καὶ ἴσως κέκμηκεν ἡ ἀκρόασις· πλείονα δέ ἐστι τὰ λειφθέντα, καὶ χρεία ἦν ὡς ἀληθῶς τοῖς περὶ ἁγίου Πνεύματος διδάγμασι, καὶ τρίτης ἄλλης καὶ πλειόνων Κατηχήσεων. Συγγνώμη δὲ ἡμῖν εἰς ἑκάτερον. Τῆς γὰρ ἁγίας ἑορτῆς τοῦ Πάσχα λοιπὸν ἐφεστώσης (4), ἐμνκύνθη τε ἡμῖν σήμερον ὁ λόγος, καὶ πάσας ὅσας ἐχρῆν μαρτυρίας ἀπὸ τῆς καινῆς Διαθήκης ἀγαγεῖν εἰς μέσον οὐκ ἐνεχώρησε. Λείπει γὰρ ἡμῖν, πολλὰ μὲν ἀπὸ τῶν Πράξεων τῶν Ἀποστόλων, ἐν οἷς ἡ τοῦ ἁγίου Πνεύματος χάρις ἐν Πέτρῳ καὶ πᾶσιν ὁμοῦ τοῖς Ἀποστόλοις ἐνήργησε. Λείπει δὲ πολλὰ καὶ ἐκ τῶν Καθολικῶν, καὶ ἐκ τῶν τοῦ Παύλου δεκατεσσάρων ἐπιστολῶν· ἐξ ὧν ὀλίγα νῦν, ὥς περ ἐκ μεγάλου λειμῶνος, ὑπομνήσεως μόνης ἕνεκεν ἀπανθίσασθαι πειρασόμεθα. Ἐν γὰρ τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος, βουλήσει Πατρὸς καὶ Υἱοῦ, « Σταθεὶς ὁ Πέτρος (5) σὺν τοῖς ἕνδεκα » (6), καὶ ἐπάρας τὴν φωνὴν αὐτοῦ (κατὰ τὸ εἰρημένον· « Ὕψωσον ἐν ἰσχύϊ » τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ (7) »), τῷ νοητῷ

(1) Ἰωάν. Γ', 34, 35.
(2) Πράξ. Ἀποστόλ. Β', 17, 18· καὶ Ἰωὴλ Β', 28, 29.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, ἑτοιμαζέσθω
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ἀφεστώσης,
(5) Μ, Σταθεὶς μὲν ὁ Πέτρος
(6) Πράξ. Ἀποστόλ, Β', 14.
(7) Ἡσ. Μ', 9.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δικτύῳ τῶν λόγων, ψυχὰς ὡσεὶ τρισχιλίας ἐζώγρησε (1). Τοσαύτης ἐν πᾶσι τοῖς Ἀποστόλοις ὁμοῦ τῆς χάριτος ἐνεργούσης, ὡς ἐκ τῶν Ἰουδαίων τῶν τὸν Χριστὸν ἐσταυρωκότων ἐκείνων, πιστεῦσαι τοσούτους, καὶ ἐν ὀνόματι Χριστοῦ βαπτισθῆναι, καὶ προσκαρτερεῖν τῇ διδαχῇ τῶν Ἀποστόλων, καὶ ταῖς προσευχαῖς (2). Ἐν τῇ αὐτῇ δὲ πάλιν δυνάμει τοῦ ἁγίου Πνεύματος, Πέτρος καὶ Ἰωάννης ἀναβάντες εἰς τὸ ἱερὸν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην, καὶ τὸν ἐν τῇ ὡραίᾳ πύλῃ χωλὸν ἐκ κοιλίας μητρὸς ἀπὸ ἐτῶν τεσσαράκοντα ὑπάρχοντα, ἐν ὀνόματι Ἰησοῦ θεραπεύσαντες (3), (ἵνα πληρωθῇ τὸ εἰρημένον· «Τότε ἁλεῖται ὡς ἔλαφος ὁ » χωλός » (4)·) τῇ πνευματικῇ μὲν τῆς διδασκαλίας σαγήνῃ πεντακισχιλίους ὁμοῦ πιστεύσαντας ἐζώγρησαν (5)· τοὺς δὲ πεπλανημένους ἄρχοντας τοῦ λαοῦ καὶ ἀρχιερεῖς διήλεγξαν (6)· καὶ οὐ δι' οἰκείαν σοφίαν, ἀγράμματοι γὰρ καὶ ἰδιῶται ἦσαν (7), ἀλλὰ διὰ τὴν τοῦ Πνεύματος ἐνέργειαν. Γέγραπται γάρ· « Τότε Πέτρος, » πλησθεὶς Πνεύματος ἁγίου, εἶπε πρὸς αὐτούς » (8). Καὶ τοσαύτη, διὰ τῶν δώδεκα Ἀποστόλων, ἡ τοῦ ἁγίου Πνεύματος ἐν τοῖς πιστεύσασιν ἐνήργησε χάρις, ὡς εἶναι μὲν αὐτῶν τὴν καρδίαν [καὶ τὴν ψυχὴν] μίαν (9), ἐπίκοινον δὲ τὴν τῶν ὄντων ἀπόλαυσιν· τῶν μὲν κτητόρων τὰς τιμὰς τῶν κτημάτων προσφερόντων εὐλαβῶς· ἐνδεοῦς δὲ μηδενὸς ὄντος ἐν αὐτοῖς (10)· Ἀνανίου δὲ καὶ Σαπφείρης, τῶν ψεύδεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐπιχειρησάντων, τὴν πρέπουσαν δίκην ὑπομεινάντων (11). « Διὰ δὲ τῶν χειρῶν τῶν Ἀποστό- » λων ἐγένετο σημεῖα καὶ τέρατα πολλὰ ἐν τῷ λαῷ » (12)· καὶ

(1) Πράξ. Ἀποστόλ. Β', 41.
(2) Αὐτόθι, 42.
(3) Πράξ. Ἀποστόλ. Γ', 1—2 καὶ 11.
(4) Ἡσ. ΛΕ', 6.
(5) Πράξ. Ἀποστόλ. Δ', 4.
(6) Αὐτόθι, 19, κ' ἑπόμ.
(7) Αὐτόθι, 13.
(8) Αὐτόθι, 8. (9) Αὐτόθι, 32.
(10) Αὐτόθι, 34—35.
(11) Πράξ. Ἀποστόλ. Ε', 1 κ' ἑπόμ.
(12) Αὐτόθι, 12.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοσαύτη περιεκέχυτο τοῖς Ἀποστόλοις ἡ πνευματικὴ χάρις, ὡς φοβεροὺς μὲν αὐτοὺς εἶναι, καὶ ταῦτα πράους ὄντας· « Τῶν γὰρ » λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐ» τοὺς ὁ λαός » (1)· προστίθεσθαι δὲ πλήθη τῶν τῷ Κυρίῳ πιστευόντων, ἀνδρῶν τε καὶ γυναικῶν· πεπληρῶσθαι δὲ τὰς πλατείας τῶν ἐπὶ τοῖς κλιναρίοις καὶ κραββάτοις ἀσθενῶν, « Ἵνα ἐρ» χομένου Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν » (2)· συνέρχεσθαι δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς τὴν ἁγίαν ταύτην Ἱερουσαλὴμ, φερόντων « ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων » ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες (3) » ἐν τῇ δυνάμει ταύτῃ τοῦ ἁγίου Πνεύματος.

ιθ'. Οἱ δώδεκα πάλιν Ἀπόστολοι, διὰ τὸ κηρύσσειν τὸν Χριστὸν, ὑπὸ τῶν Ἀρχιερέων εἰς φυλακὴν ἐμβληθέντες, καὶ ὑπὸ Ἀγγέλου διὰ νυκτὸς παραδόξως ταύτης ἀπαλλαγέντες, καὶ εἰς δικαστήριον ἐκ τοῦ ἱεροῦ πρὸς αὐτοὺς ἀχθέντες, ἀδυσωπήτως ἐχρήσαντο τοῖς ἐλέγχοις, ἐν τοῖς περὶ Χριστοῦ πρὸς αὐτοὺς εἰρημένοις (4)· καὶ τοῦτο προσθέντες, ὅτι « καὶ τὸ Πνεῦμα τὸ ἅγιον » ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ » (5)· καὶ δαρέντες, ἐπορεύοντο μὲν χαίροντες, οὐκ ἐπαύοντο δὲ διδάσκοντες, καὶ εὐαγγελιζόμενοι τὸν Χριστὸν Ἰησοῦν (6). Οὐ μόνον δὲ ἐν τοῖς δώδεκα Ἀποστόλοις ἡ τοῦ ἁγίου Πνεύματος ἐνήργησε χάρις· ἀλλὰ γὰρ καὶ ἐν τοῖς πρωτογόνοις τέκνοις τῆς ποτὲ στείρας Ἐκκλησίας ταύτης, τοῖς ἑπτὰ διακόνοις λέγω. Καὶ οὗτοι γὰρ ἐξελέχθησαν (7), ὡς γέγραπται, « πλήρεις ἁγίου Πνεύματος καὶ σοφίας » (8)· ἐξ ὧν ὁ φερώνυμος Στέφανος, τὸ τῶν μαρτύρων ἀκροθίνιον, « Ἀνὴρ πλήρης πίστεως καὶ Πνεύματος ἁγίου, ἐποίει μὲν τέρατα » καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ » (9), κατηγωνίζετο δὲ τοὺς

(1) Πράξ. Ἀποστόλ. Ε', 11, 13.
(2) Αὐτόθι, 14—15.
(3) Αὐτόθι, 16.
(4) Πράξ. Ἀποστόλ. Ε', 17—31.
(5) Αὐτόθι, 32.
(6) Αὐτόθι, 40—42.
(7) Μ, ἐξελέγχθησαν
(8) Πράξ. Ἀποστόλ. Ϛ', 3.
(9) Αὐτόθι, 5, 8.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

συζητητάς· « Οὐ γὰρ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ Πνεύματι » ᾧ ἐλάλει » (1). Συκοφαντούμενος δὲ, καὶ εἰς δικαστήριον ἀχθεὶς, ἀγγελικὰς μὲν ἀπέλαμπεν αὐγάς· « Ἀτενίσαντες γὰρ εἰς αὐτὸν πάντες » οἱ [καθεζόμενοι] ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον Ἀγγέλου » (2). Διὰ δὲ τῆς συνετῆς ἀπολογίας αὐτοῦ, τοὺς σκληροτραχήλους καὶ ἀπεριτμήτους τῇ καρδίᾳ καὶ τοῖς ὠσὶν Ἰουδαίους ἐλέγξας, τοὺς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντας, ἐθεώρει μὲν τοὺς οὐρανοὺς διηνεῳγμένους· εἶδε δὲ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ (3). Εἶδε δὲ, οὐκ ἐξ οἰκείας δυνάμεως, ἀλλ' ὡς ἡ Θεία Γραφὴ φησιν· *Ὑπάρχων δὲ πλήρης Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ.* Ἐν τῇ δυνάμει ταύτῃ τοῦ ἁγίου Πνεύματος, καὶ Φίλιππος ἐν ὀνόματι Χριστοῦ, ποτὲ μὲν ἐν τῇ πόλει τῆς Σαμαρείας ἀπήλαυνε τὰ ἀκάθαρτα πνεύματα, βοῶντα φωνῇ μεγάλῃ (4)· παραλελυμένους δὲ καὶ χωλοὺς ἐθεράπευσε· πολλὰ δὲ τῶν πιστευσάντων πλήθη τῷ Χριστῷ προσήγαγεν (5). Οἷς κατελθόντες Πέτρος καὶ Ἰωάννης, μετὰ προσευχῆς καὶ τῆς τῶν χειρῶν ἐπιθέσεως, μετεδίδοσαν τῆς τοῦ ἁγίου Πνεύματος κοινωνίας (6)· ἧς μόνος (7) Σίμων ὁ Μάγος ἀλλότριος ἐπεφάνθη δικαίως (8). Ποτὲ δὲ ὑπὸ τοῦ Ἀγγέλου Κυρίου κληθεὶς καθ' ὁδὸν, διὰ τὸν εὐλαβέστατον Αἰθίοπα τὸν εὐνοῦχον, παρ' αὐτοῦ τοῦ Πνεύματος φανερῶς ἀκούσας· « Πρόσελθε καὶ κολ- » λήθητι τῷ ἅρματι τούτῳ » (9)· διδάξας τὸν Αἰθίοπα, καὶ βαπτίσας, καὶ εἰς τὴν Αἰθιοπίαν Χριστοῦ κήρυκα πέμψας (10), κατὰ τὸ γεγραμμένον· « Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Κυρίῳ » (11)·

---

(1) Πράξ. Ἀποστόλ. ϛ', 10.
(2) Αὐτόθι, 15.
(3) Αὐτόθι, 2', 1 κ' ἑπόμ. 51, 55, 56.
(4) Αὐτόθι, 5, 7.
(5) Αὐτόθι, 8, 12.
(6) Αὐτόθι, 14, 15, 17.
(7) Τὸ μόνος ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, μόνης
(8) Πράξ. Ἀποστόλ. Η', 18—23.
(9) Αὐτόθι, 26—27. (10) Αὐτόθι, 30—39.
(11) Ψαλμ. Ξ2', 32.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἁρπασθεὶς ὑπὸ [τοῦ] ἀγγέλου, τὰς ἑρεξῆς πόλεις εὐηγγελίζετο (1).

ιγ'. Τούτου τοῦ ἁγίου Πνεύματος πεπλήρωτο καὶ Παῦλος μετὰ τὴν ὑπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κλῆσιν. Καὶ μάρτυς ἡμῖν τῶν λόγων ἡκέτω Ἀνανίας ὁ εὐλαβὴς, ὁ ἐν Δαμασκῷ, λέγων πρὸς αὐτόν· « Ὁ Κύριος ἀπέσταλκέ με Ἰησοῦς, ὁ ὀφθείς σοι ἐν τῇ » ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς Πνεύματος ἁγίου » (2). Ὅπερ εὐθὺς ἐνεργῆσαν, τῶν μὲν ὀφθαλμῶν Παύλου τὴν τύφλωσιν μετέβαλεν εἰς ἀνάβλεψιν· τῇ [δὲ] ψυχῇ τὴν σφραγῖδα χαρισάμενον, σκεῦος ἐκλογῆς ἐποίησε, τοῦ βαστάσαι τὸ ὄνομα τοῦ φανέντος αὐτῷ Κυρίου ἐνώπιον βασιλέων, υἱῶν τε Ἰσραὴλ (3)· καὶ τὸν ποτὲ διώκτην, κήρυκα καὶ δοῦλον ἀγαθὸν ἀπειργάσατο· ἀπὸ Ἱεροσολύμων μὲν καὶ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκότα (4) τὸ Εὐαγγέλιον· κατηχήσαντα δὲ καὶ τὴν [βασιλίδα] Ῥώμην, καὶ μέχρι Σπανίας τὴν προθυμίαν τοῦ κηρύγματος ἐκτείναντα (5)· μυρίους δὲ ὑπομεμενηκότα τοὺς ἄθλους, σημεῖά τε καὶ τέρατα πεποιηκότα· περὶ οὗ τέως αὐτάρκως. Ἐν τῇ δυνάμει οὖν τοῦ [αὐτοῦ] ἁγίου Πνεύματος, καὶ ὁ πρωτοστάτης τῶν Ἀποστόλων, καὶ τῆς βασιλείας τῶν οὐρανῶν κλειδοῦχος Πέτρος, ἐν Λύδδῃ μὲν τῇ νῦν Διοσπόλει, ἐν τῷ ὀνόματι Χριστοῦ τὸν παραλυτικὸν Αἰνέαν ἐθεράπευσεν (6)· ἐν Ἰόππῃ δὲ τὴν ἀγαθοεργὸν Ταβιθᾶν ἐκ νεκρῶν ἤγειρεν (7)· ἐπὶ δὲ τοῦ δώματος ἐν ἐκστάσει τὸν οὐρανὸν ἰδὼν ἀνεῳγμένον, καὶ διὰ τοῦ καθιερένου ὡς ὀθόνης σκεύους, τοῦ πολυμόρφων καὶ πολυτρόπων ζώων πλήρους, τὸ μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον, κἂν ἐξ Ἑλλήνων τυγχάνῃ, σαφῶς ἔμαθε (8). Καὶ ὑπὸ τοῦ Κορνηλίου μετασταλεὶς, παρ' αὐτοῦ φανερῶς ἤκουσε τοῦ ἁγίου Πνεύματος· « Ἰδοὺ ἄνδρες ζητοῦσί σε· ἀλλὰ ἀναστὰς, κατάβηθι

(1) Πράξ. Ἀποστόλ. Η', 40.
(2) Αὐτόθι, Θ', 17.
(3) Αὐτόθι, 15, 18.
(4) Ἐκ τοῦ ΒΤ. — Μ, πεπληρωκένα.
(5) Πρὸς Ῥωμ. ΙΕ', 19, 24, 28.
(6) Πράξ. Ἀποστόλ. Θ', 32—35.
(7) Αὐτόθι, 36—42. (8) Αὐτόθι, Ι', 9—16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος· ὅτι ἐγὼ ἀπέ-
» στειλα αὐτούς » (1). Καὶ ἵνα δειχθῇ τοῦτο φανερῶς, ὅτι καὶ
οἱ ἐξ ἐθνῶν πιστεύοντες τῆς χάριτος τοῦ ἁγίου Πνεύματος κοινω-
νοὶ γίνονται, Πέτρου παραγινομένου εἰς τὴν Καισάρειαν, καὶ τὰ
περὶ Χριστοῦ διδάσκοντος, ἡ Γραφὴ λέγει περὶ Κορνηλίου καὶ
τῶν συμπαρόντων· « Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα,
» ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν
» λόγον » (2)· ὡς καὶ τοὺς ἐκ περιτομῆς τοὺς συνελθόντας τῷ
Πέτρῳ, θαυμάζοντας καὶ ἐξισταμένους λέγειν, « Ὅτι καὶ ἐπὶ τὰ
» ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται » (3). Καὶ ἐν
Ἀντιοχείᾳ δὲ, τῆς Συρίας ἐπισημοτάτῃ πόλει, τοῦ περὶ Χριστοῦ
κηρύγματος ἐνεργοῦντος, συνεργὸς τῶν ἀγαθῶν ἐντεῦθεν ἀπεστάλη
Βαρνάβας ἕως Ἀντιοχείας, « ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος
» ἁγίου, καὶ πίστεως » (4). Ὃς πολὺν θερισμὸν τῶν εἰς Χριστὸν πι-
στευόντων ἰδὼν (5), συναγωνιστὴν ἀπὸ Ταρσοῦ Παῦλον εἰς Ἀντιό-
χειαν ἤγαγεν (6). Ὄχλων τε ὑπ' αὐτῶν ἐν τῇ Ἐκκλησίᾳ διδαχθέν-
των τε καὶ συναχθέντων, *ἐγένετο πρῶτον χρηματίσαι ἐν Ἀν-
τιοχείᾳ τοὺς μαθητὰς Χριαστιανούς* τοῦ ἁγίου Πνεύματος, οἶμαι,
τὸ προκαταγγελθὲν ὑπὸ τοῦ Κυρίου, τοῖς πιστεύουσιν ὄνομα καιν-
ὸν ἐπιτιθέντος (7). Ἐκχεομένης δὲ ὑπὸ τοῦ Θεοῦ πλείονος ἐν
Ἀντιοχείᾳ τῆς πνευματικῆς χάριτος, προφῆται ἦσαν αὐτόθι καὶ
διδάσκαλοι (8), μεθ' ὧν καὶ Ἄγαβος (9). « Λειτουργούντων δὲ
» αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον·
» Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Παῦλον εἰς τὸ ἔργον, ὃ
» προσκέκλημαι αὐτούς » (10). Καὶ χειρῶν αὐτοῖς ἐπιθεισῶν, ἐξε-

(1) Πράξ. Ἀποστόλ. Ι', 19—20.
(2) Αὐτόθι, 44.
(3) Αὐτόθι, 45.
(4) Αὐτόθι, ΙΑ', 22—24.
(5) Τὸ ἰδὼν, ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, ἔδωκε,
(6) Πράξ. Ἀποστόλ. ΙΑ', 25—26.
(7) Ἡσ. ΞΕ', 15, 16. (Βλ. καὶ Ἀποκάλ, Ἰωάν, Γ', 12.)
(8) Πράξ. Ἀποστόλ. ΙΓ', 1.
(9) Αὐτόθι, ΙΑ', 28.
(10) Αὐτόθι, ΙΓ', 2,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πέμφθησαν ὑπὸ τοῦ ἁγίου Πνεύματος (1). Δῆλον δὲ, ὅτι τὸ Πνεῦμα τὸ λέγον καὶ πέμπον, ζῶν ἐστι καὶ ὑφεστὼς καὶ ἐνεργοῦν, ὡς εἰρήκαμεν.

ιδ'. Τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον, τὸ συμφωνίᾳ Πατρὸς καὶ Υἱοῦ τὴν καινὴν Διαθήκην ἐπὶ τῆς καθολικῆς Ἐκκλησίας συστησάμενον, ἠλευθέρωσεν ἡμᾶς τῶν δυσβαστάκτων τοῦ νόμου φορτίων (2), τῶν περὶ κοινοῦ καὶ ἀκαθάρτου, καὶ βρωμάτων λέγω, σαββάτων τε καὶ νουμηνιῶν, καὶ τῆς περιτομῆς, περιῤῥαντηρίων τε καὶ θυσιῶν, ἃ κατὰ καιρὸν μὲν δοθέντα, σκιὰν εἶχε τῶν μελλόντων ἀγαθῶν (3), ἐλθούσης δὲ τῆς ἀληθείας, συνεστάλλετο δικαίως. Διὰ γὰρ τὴν ἐπὶ τῆς Ἀντιοχείας ζήτησιν τῶν λεγόντων δεῖν περιτέμνεσθαι καὶ τηρεῖν τὰ ἔθη Μωϋσέως, Παύλου καὶ Βαρνάβα περιφθέντων (4), οἱ ἐνταῦθα ἐν Ἱεροσολύμοις ὄντες Ἀπόστολοι, πάντων μὲν τῶν νομικῶν καὶ τυπικῶν πραγμάτων, δι' ἐπιστολῆς ἐγγράφου, τὴν οἰκουμένην ἅπασαν ἠλευθέρωσαν (5). Οὐ μὴν ἑαυτοῖς (6) ἔδωκαν τὴν αὐθεντίαν τοῦ τοιούτου πράγματος· ἀλλ' ὁμολογοῦσιν ἐγγράφως, ἐπιστέλλοντες· « Ἔδοξε γὰρ τῷ ἁγίῳ Πνεύματι καὶ » ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν τῶν ἐπάναγκες » τούτων· ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος [καὶ] πνικτοῦ καὶ » πορνείας » (7)· δι' ὧν ἔγραφον (8), τοῦτο δηλοῦντες σαφῶς, ὅτι εἰ καὶ δι' ἀποστόλων ἀνθρώπων ἦν τὸ γραφὲν, ἀλλ' ἐξ ἁγίου Πνεύματος οἰκουμενικόν ἐστι τὸ διάταγμα· ὅπερ οἱ περὶ τὸν Βαρνάβαν καὶ Παῦλον λαβόντες, εἰς πᾶσαν τὴν οἰκουμένην ὠχύρωσαν.

ιέ. Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος, συγγνώμην αἰτῶ παρὰ τῆς ὑμετέρας (9) ἀγάπης, μᾶλλον παρὰ τοῦ ἐνοικοῦντος ἐν Παύλῳ Πνεύματος, εἰ μὴ δυναίμην τὰ πάντα διελθεῖν, ἀσθενείας τε τῆς

(1) Πράξ. Ἀποστόλ. ΙΓ', 4.
(2) Πρὸς Ῥωμ. Η', 2,
(3) Πρὸς Ἑβρ. Θ', 10· καὶ Ι', 1 κ' ἑπόμ·
(4) Πράξ. Ἀποστόλ. ΙΕ', 1, 2.
(5) Αὐτόθι, 6, 30.
(6) Τὸ ἑαυτοῖς ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, αὐτοῖς
(7) Πράξ. Ἀποστόλ. ΙΕ', 25—29.
(8) Ἐκ τοῦ ΒΤ,—Μ, δι' ὧν ἔγγραφον τοῦτο κτλ.
(9) Ἐκ τοῦ ΒΤ,—Μ, ἡμετέρας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐμᾶς ἕνεκεν, καὶ τοῦ κόπου τῶν ἀκουόντων ὑμῶν. Πότε γὰρ αὐτοῦ κατ' ἀξίαν διηγήσομαι τὰς ἐκ τῆς ἐνεργείας τοῦ ἁγίου Πνεύματος ἐν ὀνόματι Χριστοῦ θαυμασίας πράξεις; Τὰς ἐν Κύπρῳ ἐπὶ Ἐλύμα τοῦ μάγου (1) καὶ τὰς (2) ἐν Λύστροις ἐπὶ τῆς τοῦ χωλοῦ θεραπείας (3), καὶ ἐν Κιλικίᾳ (4), καὶ Φρυγίᾳ, καὶ Γαλατίᾳ, καὶ Μυσίᾳ, καὶ Μακεδονίᾳ, ἢ τὰ ἐν Φιλίπποις (5)· τὸ κήρυγμα, λέγω, καὶ τοῦ Πύθωνος ἐν ὀνόματι Χριστοῦ τὴν ἀπελασίαν, καὶ τὴν ἐν νυκτὶ, μετὰ σεισμὸν (6), τοῦ δεσμοφύλακος διὰ βαπτίσματος παντοίαν σωτηρίαν· ἢ τὰ ἐν Θεσσαλονίκῃ, καὶ τὴν ἐν μέσοις (7) Ἀθηναίοις ἐν Ἀρείῳ Πάγῳ δημηγορίαν (8)· ἢ τὰς ἐν Κορίνθῳ διδασκαλίας, καὶ ἐν Ἀχαΐᾳ πάσῃ (9); Πῶς δὲ κατ' ἀξίαν διηγήσομαι τὰς ἐν Ἐφέσῳ διὰ Παύλου γενομένας ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐνεργείας (10); ὅπερ ἀγνοοῦντες μὲν οἱ αὐτόθι πρότερον, ἐπέγνωσαν διὰ τῆς Παύλου διδασκαλίας· ἐπιθέντος δὲ αὐτοῖς τὰς χεῖρας τοῦ Παύλου, καὶ ἐλθόντος τοῦ ἁγίου Πνεύματος ἐπὶ αὐτοὺς, *ἐλάλουν γλώσσαις καὶ ἐπροφήτευον*. Τοσαύτη τε ἐπ' αὐτῷ (11) ἦν ἡ χάρις πνευματικὴ, ὡς μὴ μόνον αὐτὸν ἁπτόμενον ἰᾶσθαι, ἀλλὰ γὰρ καὶ [τὰ] ἀπὸ τοῦ χρωτὸς αὐτοῦ ἐπιφερόμενα σουδάρια καὶ σημικίνθια θεραπεύειν τὰς νόσους, καὶ ἀπελαύνειν τὰ τοῦ πονηροῦ πνεύματα· ἤδη δὲ καὶ τοὺς τὰ περίεργα πράξαντας, συνενέγκαντας τὰς βίβλους κατακαίειν ἐπὶ πάντων (12). Παρατρέχω καὶ τὰ ἐν Τρωάδι κατὰ τὸν (13) Εὔτυχον, κατενεχθέντα μὲν ἀπὸ τοῦ ὕπνου, καὶ πεσόντα ἀπὸ τριστέγου κάτω, καὶ ἀρθέντα νεκρὸν, ὑπὸ δὲ

(1) Πράξ. Ἀποστόλ. ΙΓ', 4—12.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ τὰ
(3) Πράξ. Ἀποστόλ. ΙΔ', 7—11.
(4) Αὐτόθι, ΙΕ', 41.
(5) Αὐτόθι ΙϚ', 6 κ' ἑπόμ.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, μετὰ σεισμὸν τὸν δεσμὸν, τοῦ δεσμοφύλακος κτλ.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ τὰ ἐν μέσοις
(8) Πράξ. Ἀποστόλ. ΙΖ', 1 κ' ἑπόμ.
(9) Πράξ. Ἀποστόλ. ΙΗ', 1 κ' ἑπόμ.
(10) Πράξ. Ἀποστόλ. ΙΘ', 1 κ' ἑπόμ.
(11) Ἐκ τοῦ ΒΤ—Μ, ἐπ' αὐτῶν
(12) Πράξ. Ἀποστόλ. ΙΘ', 12, 19.
(13) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ τὸν Εὔτυχον,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Παύλου διασωθέντα (1). Παρατρέχω καὶ τὰς (2) πρὸς τοὺς πρεσβυτέρους Ἐφέσου, τοὺς ἐν Μιλήτῳ κληθέντας, προφητείας, (2) οἷς φανερῶς ἔλεγεν, ὅτι *τὸ Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι λέγον* [ὅτι, καὶ τὰ ἑξῆς] (4)· διὰ γὰρ τοῦ εἰπεῖν *ὅτι κατὰ πόλιν*, ἐδήλωσεν ὁ Παῦλος, ὅτι τὰ ἐν ἑκάστῃ πόλει γενόμενα ὑπ' αὐτοῦ θαυμάσια, ἐκ τῆς τοῦ ἁγίου Πνεύματος ἐνεργείας ἦν, νεύματι Θεοῦ καὶ ἐν ὀνόματι τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ. Ἐκ τῆς δυνάμεως τούτου τοῦ ἁγίου Πνεύματος, ἔσπευδε μὲν εἰς τὴν ἁγίαν ταύτην πόλιν Ἱερουσαλὴμ ὁ αὐτὸς Παῦλος (5)· καὶ ταῦτα, τοῦ Ἀγάβου τὰ συμβησόμενα αὐτῷ προφητεύοντος Πνεύματι (6)· ἐδημηγόρει δὲ, τὰ περὶ Χριστοῦ διηγούμενος, ἐν πεποιθήσει. Εἰς δὲ τὴν Καισάρειαν ἀναχθεὶς (7), καὶ μέσοις δικαστηρίων βήμασι, ποτὲ μὲν ἐπὶ Φήλικος (8), ποτὲ δὲ ἐπὶ Φήστου ἡγεμόνος (9), καὶ Ἀγρίππα τοῦ βασιλέως (10), τοσαύτην ἐκ Πνεύματος ἁγίου νικητικὴν ἐν σοφίᾳ χάριν ἔσχεν ὁ Παῦλος, ὡς αὐτὸν ἤδη τὸν βασιλέα τῶν Ἰουδαίων Ἀγρίππαν εἰπεῖν· « Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γε-» νέσθαι ». Τοῦτο τὸ ἅγιον Πνεῦμα τῷ Παύλῳ παρέσχε, καὶ ἐν Μελίτῃ τῇ νήσῳ, διαχθέντι μὲν ὑπὸ τῆς ἐχίδνης, τὸ ἀβλαβὲς ἔχειν (11), διαφόρους δὲ ἐπὶ τῶν νοσούντων ἐπιτελέσαι τὰς θεραπείας (12). Τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον καὶ μέχρι τῆς βασιλίδος Ῥώμης αὐτὸν κήρυκα Χριστοῦ, τὸν ποτὲ διώκτην, ὡδήγησεν· ὃς (13) πολλοὺς μὲν αὐτόθι τῶν Ἰουδαίων πιστεύειν εἰς Χριστὸν ἔπεισε, τοῖς δὲ ἀντιλέγουσιν, ἔλεγε σαφῶς· « Καλῶς τὸ Πνεῦμα τὸ ἅγιον » ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος πρὸς τοὺς πατέρας » ὑμῶν» (14) καὶ τὰ ἑξῆς. Καὶ ὅτι γε Πνεύματος ἁγίου πλήρης ἦν

(1) Πράξ. Ἀποστόλ. Κ', 7—42.
(2) Ἐν ἀμφοτέροις, BT καὶ M, καὶ τὰ
(3) Ἐκ τοῦ BT.—M, κληθέντας προφήτας,
(4) Πράξ. Ἀποστόλ. Κ', 17—38. (5) Αὐτόθι, 16.
(6) Αὐτόθι, ΚΑ', 10—11.
(7) Αὐτόθι, ΚΓ', 33. (8) Αὐτόθι, ΚΔ', 1 κ' ἑπόμ.
(9) Αὐτόθι, ΚΕ', 1 κ' ἑπόμ.
(10) Αὐτόθι, 13 κ' ἑπόμ. καὶ ΚΣ', 1 κ' ἑπόμ.
(11) Ἐκ τοῦ BT.—M, ἐσχεν,
(12) Πράξ. Ἀποστόλ. ΚΗ', 1—10.
(13) Τὸ ὃς ἐκ τοῦ BT.—M, ὡς
(14) Πράξ. Ἀποστόλ. ΚΗ', 16—25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ Παῦλος, καὶ οἱ τούτῳ παραπλήσιοι πάντες Ἀπόστολοι, καὶ οἱ μετ' αὐτοὺς εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὁμοούσιον πιστεύοντες, ἄκουε σαφῶς ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ γράφοντος· « Καὶ ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρω» πίνης σοφίας (1) λόγοις, ἀλλ' ἐν ἀποδείξεσι Πνεύματος καὶ δυ» νάμεως » (2). Καὶ πάλιν· « Ὁ καὶ (3) σφραγισάμενος ἡμᾶς εἰς » αὐτὸ τοῦτο Θεός, ὁ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ Πνεύματος» (4)· καὶ πάλιν· « Ὁ ἐγείρας Ἰησοῦν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνη» τὰ ὑμῶν σώματα, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν » ὑμῖν » (5). Καὶ πάλιν, πρὸς Τιμόθεον γράφων· « Τὴν καλὴν πα» ραθήκην φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ δοθέντος ἡ» μῖν » (6).

ις'. Ὅτι δὲ τὸ Πνεῦμα τὸ ἅγιον ὑφέστηκε (7), καὶ ζῇ, καὶ λαλεῖ, καὶ προλέγει, πολλάκις μὲν ἐν τοῖς ἔμπροσθεν ἡμῖν εἴρηται. Γράφει δὲ σαφῶς πρὸς Τιμόθεον ὁ Παῦλος· « Τὸ δὲ Πνεῦμα ῥητῶς » λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως» (8)· ἅπερ, οὐ μόνον ἐν τοῖς πρὸ ἡμῶν (9), ἀλλὰ καὶ ἐν τοῖς ἐφ' ἡμῶν σχίσμασιν ὁρῶμεν, ποικίλης καὶ πολυτρόπου τῆς τῶν αἱρετικῶν πλάνης οὔσης. Καὶ πάλιν ὁ αὐτός φησιν· « Ὃ [ἐν] ἑτέραις γενεαῖς οὐκ » ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς » ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν Πνεύματι » (10), καὶ τὰ ἑξῆς. Καὶ πάλιν· « Διὸ καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον» (11). Καὶ πάλιν· « Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον » (12).

---

(1) Ἐν μὲν τῷ BT, οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης κτλ. ἐν δὲ τῷ M, οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνοις

(2) Α' πρὸς Κορινθ. Β', 4.

(3) Ἐν ἀμφοτέροις, BT καὶ M, ὁ δὲ σφραγισάμενος

(4) Β' πρὸς Κορινθ. Α', 22 καὶ Ε', 5.

(5) Πρὸς Ῥωμ. Η', 11.

(6) Β' πρὸς Τιμόθ. Α', 14.

(7) Ἐκ τοῦ BT.—M, ἐφέστηκε,

(8) Α' πρὸς Τιμόθ. Δ', 1.

(9) Ἐκ τοῦ BT.—M, πρὸ ὑμῶν,

(10) Πρὸς Ἐφεσ. Γ', 5.

(11) Πρὸς Ἑβρ. Γ', 7. (12) Αὐτόθι, Ι', 15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ πάλιν τοῖς τῆς δικαιοσύνης ὁπλίταις προσφωνεῖ, λέγων· « Καὶ » τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν » τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, διὰ πάσης (1) προσευχῆς » καὶ δεήσεως » (2). Καὶ πάλιν· « Μὴ μεθύσκεσθε οἴνῳ (3), ἐν » ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν Πνεύματι (4), λαλοῦντες » ἑαυτοῖς (5) ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς Πνευματικαῖς (6). Καὶ πάλιν· « Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ [Χριστοῦ], καὶ ἡ ἀγάπη » τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων « ὑμῶν » (7). Δι' ὧν ἁπάντων, καὶ τῶν παραλειφθέντων πλειόνων, συνίσταται τοῖς νοοῦσιν ἡ ἐνυπόστατος, καὶ ἁγιοποιὸς, καὶ ἐνεργητικὴ τοῦ ἁγίου Πνεύματος δύναμις. Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος, εἰ ἐβουλόμην λέγειν τὰ λείποντα περὶ ἁγίου Πνεύματος ἐκ τῶν Παύλου τεσσαρεσκαίδεκα ἐπιστολῶν, ἐν αἷς ποικίλως, καὶ ἀνελλιπῶς, καὶ εὐλαβῶς ἐδίδαξεν. Ἔργον δ' ἂν εἴη τῆς δυνάμεως αὐτοῦ τοῦ ἁγίου Πνεύματος, ἡμῖν μὲν, ἐφ' οἷς ἐνελλείπομεν διὰ τὸ τῶν ἡμερῶν ὀλίγον, δοῦναι συγγνώμην· ὑμῖν δὲ τοῖς ἀκροαταῖς τῶν λειπόντων τελειοτέραν ἐνθεῖναι τὴν γνῶσιν· τῶν σπουδαίων ἐν ὑμῖν, ἐκ τῆς πυκνοτέρας τῶν θείων Γραφῶν ἀναγνώσεως ταῦτα μανθανόντων, ἤδη δὲ καὶ ἐκ τῶν παρουσῶν τούτων Κατηχήσεων καὶ ἐκ τῶν πρότερον εἰρημένων ὑμῖν, βεβαιοτέραν τὴν πίστιν ἐχόντων, (8) *εἰς ἕνα Θεὸν πατέρα Παντοκράτορα· καὶ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐτοῦ τοῦ Θεοῦ τὸν μονογενῆ· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ὁμοούσιον καὶ παράκλητον.* Τῆς λέξεως μέν τε καὶ ὀνομασίας αὐτῆς, τῆς τοῦ Πνεύματος, ἐν ταῖς θείαις Γραφαῖς κειμένης ἐπικοίνως· λέγεται γὰρ περὶ τοῦ Πατρὸς « Πνεῦμα ὁ Θεὸς, » ὡς ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ γέγραπται (9)· καὶ περὶ τοῦ Υἱοῦ, « Πνεῦμα πρὸ προ-

(1) Μ, καὶ πάσης
(2) Πρὸς Ἐφεσ. Ϛ', 17—18.
(3) Μ, οἶνον,
(4) Ἐν ἀμφοτέροις, ΒΤ καὶ Μ, πληροῦσθε Πνεύματος,
(5) Ὡσαύτως· ἐν ἑαυτοῖς
(6) Πρὸς Ἐφεσ. Ε', 18, 19. (7) Β' πρὸς Κορινθ. ΙΓ', 13.
(8) Ἐκ τοῦ ΒΤ.—Μ, ἐχόντων, τῶν εἰς ἕνα κτλ.
(9) Ἰωάν. Δ', 24.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» σώπου ἡμῶν Χριστὸς Κύριος », ὡς φησιν Ἱερεμίας ὁ προφήτης (1)· καὶ περὶ τοῦ ἁγίου Πνεύματος, « Ὁ δὲ παράκλητος τὸ » Πνεῦμα τὸ ἅγιον » (2), ὡς εἴρηται· τῆς δὲ ἐν τῇ Πίστει τάξεως εὐσεβῶς νοουμένης, καὶ τὴν Σαβελλίου πλάνην ἀπελαυνούσης, ἐπανέλθωμεν τῷ λόγῳ πρὸς τὸ νῦν κατεπεῖγον καὶ ὑμῖν συμφέρον.

ιζ'. Βλέπε μή ποτε κατὰ τὸν Σίμωνα προσέρχῃ τοῖς βαπτίζουσιν ὑποκρινόμενος, ἡ δὲ καρδία σου οὐ ζητῇ (3) τὴν ἀλήθειαν. Ἡμέτερον τὸ διαμαρτύρασθαι, σὸν δὲ τὸ ἀσφαλίζεσθαι. Εἰ ἔστηκας ἐν πίστει, μακάριος τυγχάνεις· εἰ πέπτωκας ἐν ἀπιστίᾳ, ῥίψον τὴν ἀπιστίαν ἀπὸ τῆς σήμερον, καὶ πληροφορήθητι. Κατὰ γὰρ τὸν καιρὸν τοῦ βαπτίσματος, ὅταν προσέλθῃς ἐπὶ τῶν ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων· (ἀπανταχοῦ γὰρ ἡ χάρις, καὶ ἐν κώμαις καὶ ἐν πόλεσι· καὶ ἐπὶ ἰδιωτῶν καὶ ἐλλογίμων, καὶ ἐπὶ δούλων καὶ ἐλευθέρων· ἐπειδὴ οὐκ ἐξ ἀνθρώπων ἡ χάρις, ἀλλ' ἐκ Θεοῦ δι' ἀνθρώπων ἡ δόσις·) σὺ μὲν προσέρχου τῷ βαπτίζοντι· προσέρχου δὲ, μὴ προσέχων τῷ προσώπῳ τοῦ φαινομένου, ἀλλὰ μέμνησο τοῦ Πνεύματος τοῦ ἁγίου τούτου, περὶ οὗ νῦν ὁ λόγος. Τοῦτο γὰρ ἕτοιμον πάρεστι σφραγίσαι σου τὴν ψυχήν· καὶ δίδωσι σφραγῖδα ἣν τρέμουσι δαίμονες, ἐπουράνιόν τινα καὶ θείαν, καθὼς καὶ γέγραπται· « Ἐν ᾧ καὶ πιστεύσαντες, ἐσφραγίσθητε τῷ » Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ » (4). Ἀλλὰ δοκιμάζει τὴν ψυχὴν, οὐ βάλλει τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων (5). Εἰ ὑποκρίνῃ, νῦν ἄνθρωποί σε βαπτίζουσι, τὸ δὲ Πνεῦμά σε οὐ βαπτίσει. Ἐὰν δὲ ἐκ πίστεως προσέλθῃς, ἄνθρωποι μὲν ὑπηρετοῦσιν εἰς τὸ φαινόμενον, Πνεῦμα δὲ ἅγιον δίδωσι τὸ μὴ φαινόμενον. Εἰς μεγάλην ἐξέτασιν ἔρχῃ, εἰς μεγάλην στρατολογίαν, κατὰ τὴν μίαν ὥραν. Ἂν ἐὰν ἀπολέσῃς, ἀκατόρθωτόν σοι τὸ κακόν· ἐὰν δὲ καταξιωθῇς τῆς χάριτος, φωτίζεταί σου ἡ ψυχὴ, λαμβάνεις δύναμιν ἣν οὐκ εἶχες, λαμβάνεις ὅπλα φρικώδη τοῖς δαίμοσι· καὶ ἐὰν μὴ ῥίψῃς τὰ ὅπλα, ἔχῃς δὲ (6)

(1) Θρῆνοι Δ', 20. (2) Ἰωάν. Ιδ', 26.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, οὐ ζητεῖ
(4) Πρὸς Ἐφεσ. Α', 13.
(5) Ματθ. Ζ', 6. (6) Ἐκ τοῦ ΒΤ.—Μ, ἔχεις δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν σφραγῖδα ἐπὶ ψυχῆς, οὐ προσέρχεται δαίμων· πτήσσει γάρ καὶ δὴ ἐν Πνεύματι Θεοῦ ἐκβάλλεται τὰ δαιμόνια (1). Ἐὰν πιστεύσῃς, οὐ μόνον λαμβάνῃς ἄφεσιν ἁμαρτιῶν, ἀλλὰ ποιεῖς καὶ τὰ ὑπὲρ ἄνθρωπον.

ιη'. Γένοιτο δέ σε ἄξιον εἶναι καὶ προφητικοῦ χαρίσματος. Λαμβάνεις γὰρ τοσοῦτον τῆς χάριτος, ὅσον χωρεῖς, καὶ οὐχ ὅσον ἐγὼ λέγω. Ἐγχωρεῖ γὰρ ἐμὲ μὲν μικρὰ λέγειν, σὲ δὲ μείζονα λαμβάνειν· ἐπειδὴ [πραγματεία] πλατεῖα ἡ πίστις. Παραμένει σοι διὰ παντὸς ὁ φρουρός, ὁ Παράκλητος· περὶ σοῦ μεριμνᾷ, ὡς περ ἰδίου στρατιώτου· περὶ τῶν εἰσόδων σου, καὶ περὶ τῶν ἐξόδων σου (2), καὶ περὶ τῶν ἐπιβουλευόντων· καὶ δίδωσί σοι παντοίας χαρισμάτων δόσεις, ἐὰν μὴ δι' ἁμαρτίας αὐτὸν λυπήσῃς. Γέγραπται γάρ· « Καὶ μὴ λυπᾶτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως » (3). Τί οὖν ἐστιν, ἀγαπητοί, τὸ διατηρῆσαι τὴν χάριν; Ἕτοιμοι γίνεσθε εἰς τὸ ὑποδέξασθαι τὴν χάριν, καὶ δεξάμενοι, μὴ ἀποβάλητε ταύτην. Αὐτὸς δὲ [ὁ] τῶν ὅλων Θεός, ὁ λαλήσας ἐν Πνεύματι ἁγίῳ διὰ τῶν προφητῶν, ὁ ἐξαποστείλας αὐτὸ ἐπὶ τοὺς Ἀποστόλους ἐν ἡμέρᾳ Πεντηκοστῆς ἐνταῦθα, τοῦτο καὶ νῦν αὐτὸς ἐφ' ὑμᾶς ἐξαποστείλειε· καὶ διὰ τούτου καὶ ἡμᾶς (4) τηρήσειε, κοινὴν ἅπασιν ἡμῖν παρασχὼν τὴν εὐεργεσίαν· ἵνα πάντες τοὺς καρποὺς τοῦ ἁγίου Πνεύματος ἀποδῶμεν· ἀγάπην, χαρὰν, εἰρήνην, μακροθυμίαν, χρηστότητα, ἀγαθωσύνην, πίστιν, πραΰτητα, ἐγκράτειαν (5), ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· δι' οὗ καὶ μεθ' οὗ, σὺν ἁγίῳ Πνεύματι, δόξα τῷ Πατρὶ καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν Αἰώνων. Ἀμήν.

---

(1) Ματθ. ΙΒ', 28.
(2) Ψαλμ. ΡΚ', 8.
(3) Πρὸς Ἐφες. Δ', 30.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ ὑμᾶς
(5) Πρὸς Γαλάτ. Ε', 22—23.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ ΙΗ'. ΦΩΤΙΖΟΜΕΝΩΝ,

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα εἰς τὸ, ΚΑΙ ΕΙΣ ΜΙΑΝ ΑΓΙΑΝ ΚΑΘΟΛΙΚΗΝ ΕΚΚΛΗΣΙΑΝ· ΚΑΙ [ΕΙΣ] ΣΑΡΚΟΣ ΑΝΑΣΤΑΣΙΝ· ΚΑΙ ΕΙΣ ΖΩΗΝ ΑΙΩΝΙΟΝ. *Καὶ ἀνάγνωσις ἐκ τοῦ Ἰεζεκιήλ· « Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ ἐξή-*
« γαγέ με [ἐν Πνεύματι Κύριος, καὶ ἔθηκέ με] ἐν
« μέσῳ τοῦ πεδίου, καὶ τοῦτο ἦν μεστὸν ὀστέων
« ἀνθρώπων, » καὶ τὰ ἑξῆς (1).

ά. ΡΙΖΑ [πάσης] τῆς ἀγαθοεργίας, ἡ τῆς ἀναστάσεως ἐλπίς· ἡ γὰρ προσδοκία τῆς μισθαποδοσίας νευροῖ τὴν ψυχὴν εἰς ἐργασίαν ἀγαθήν. Ἕτοιμος μὲν γὰρ ἅπας ἐργάτης εἰς τὸ ὑπομεῖναι τοὺς καμάτους, ἐὰν προβλέπῃ τῶν καμάτων τὸν μισθόν· τοῖς δὲ ἀμισθὶ κάμνουσι προκαταπίπτει καὶ ἡ ψυχὴ μετὰ τοῦ σώματος. Στρατιώτης ἔπαθλα προσδοκῶν, εἰς πολέμους ἕτοιμος· οὐδεὶς δὲ ἀκρίτῳ βασιλεῖ στρατευόμενος, τῷ μὴ παρέχοντι βραβεῖα τῶν καμάτων, ἕτοιμος εἰς τὸ ὑπεραποθανεῖν· οὕτω καὶ πᾶσα ψυχὴ, πιστεύουσα μὲν εἰς ἀνάστασιν, φείδεται ἑαυτῆς εἰκότως· ἀπιστοῦσα δὲ τῇ ἀναστάσει, γίνεται ἔκδοτος εἰς ἀπώλειαν. Ὁ πιστεύων ὅτι μένει τὸ σῶμα εἰς ἀνάστασιν, φείδεται τῆς στολῆς, καὶ οὐ μολύνει τοῦτο πορνείαις· ὁ δὲ ἀπιστῶν τῇ ἀναστάσει, δίδωσιν ἑαυτὸν εἰς πορνείας, ὡς ἀλλοτρίῳ παρακεχρημένος τῷ ἰδίῳ σώματι. Μέγα τοίνυν τῆς ἁγίας καθολικῆς Ἐκκλησίας παράγγελμα καὶ δίδαγμα, πίστις περὶ νεκρῶν ἀναστάσεως. Μέγα καὶ ἀναγκαιότατον· ὑπὸ πολλῶν μὲν ἀντιλεγόμενον, ὑπὸ δὲ τῆς ἀληθείας πιστοποιούμενον. Ἀντιλέγουσιν Ἕλληνες, ἀπιστοῦσι Σαμαρεῖται, διασύρουσιν αἱρετικοί. Πολυειδὴς ἡ ἀντίρρησις, ἀλλὰ μονοειδὴς ἡ ἀλήθεια. Καὶ λέγουσι πρὸς ἡμᾶς ταῦτα Ἕλληνες ὑμοῦ καὶ Σαμαρεῖται· Πέπτωκεν ὁ ἄνθρωπος τελευτήσας (2), καὶ σέσηπε, καὶ εἰς σκώληκας ὅλως ἀνελύθη, καὶ οἱ σκώληκες τεθνήκασι. Σηπεδὼν τοιαύτη καὶ ἀπώλεια διεδέξατο τὸ σῶμα, πῶς οὖν ἐγείρεται; Τοὺς ναυαγήσαντας ἰχθύες καταβεβρώκασι, καὶ αὐτοὶ κατεβρώθησαν. Τῶν θηριομαχησάντων

(1) Ἰεζεκ. ΛΖ', 1.

(2) Ἐκ τοῦ ΒΤ.—Ἐν τῷ Μ, ἐνάρθρως· ὁ τελευτήσας,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄρκτοι καὶ λέοντες, καὶ αὐτὰ τὰ ὀστέα λεπτύναντες ἀνήλωσαν. Γῦπες καὶ κόρακες τῶν χαμαὶ ῥιφθέντων νεκρῶν τὰς σάρκας φαγόντες, εἰς πάντα τὸν κόσμον ἀπέπτησαν· πόθεν συνάγεται τὸ σῶμα; Ἐγχωρεῖ γὰρ τῶν ὀρνίθων τῶν φαγόντων, τὸν μὲν ἐν Ἰνδικῇ τελευτῆσαι, τὸν δὲ ἐν Περσίδι, τὸν δὲ ἐν Γοτθίᾳ. Πυρὶ καταφλεγέντων ἑτέρων, καὶ αὐτὴν τὴν σποδιὰν διεσκόρπισεν ὄμβρος ἢ ἄνεμος. Πόθεν συνάγεται τὸ σῶμα;

Β'. Σοὶ τῷ ἀνθρώπῳ, μικροτάτῳ ὄντι καὶ ἀσθενεῖ, μακρὰ τῆς Γοτθίας ἡ Ἰνδικὴ, καὶ Ἱσπανία Περσίδος· Θεῷ δὲ τῷ κατέχοντι πᾶσαν τὴν γῆν ἐν δρακὶ (1), πάντα ἐγγύς. Μὴ τοίνυν πρὸς τὴν σὴν ἀσθένειαν, ἀδυναμίαν κατηγόρει Θεοῦ, ἀλλὰ τῇ ἐκείνου δυνάμει πρόσεχε μᾶλλον. Εἶτα, ἥλιος, ἔργον μὲν ὢν τοῦ Θεοῦ μικρὸν, μιᾷ προσβολῇ τῶν ἀκτίνων πάντα θερμαίνει τὸν κόσμον· καὶ ἀὴρ ὃν ὁ Θεὸς ἐποίησε, περιέχει τὰ πάντα ἐν κόσμῳ. Θεὸς δὲ, ὁ καὶ ἡλίου καὶ ἀέρος δημιουργὸς, ἆρα μακρὰν ἀπέχει τοῦ κόσμου; Ὑπόθου μοι διάφορα σπέρματα γεννημάτων μεμίχθαι· (ἀσθενοῦντι γάρ σοι περὶ τὴν πίστιν, ἀσθενῆ λέγω καὶ τὰ ὑποδείγματα·) καὶ ταῦτα τὰ διάφορα τῶν γεννημάτων, περιέχεσθαι ἐν μιᾷ δρακὶ τῇ σῇ· μέγα σοί ἐστιν ἆρα τῷ ἀνθρώπῳ, ἢ εὔκολον τὴν σὴν δρᾶκα διακρῖναι, καὶ ἕκαστον τῶν γεννημάτων κατὰ τὴν ἑαυτοῦ φύσιν συναγαγεῖν, καὶ ἀποκαταστῆσαι εἰς γένος; Εἶτα, σὺ μὲν τὰ ἐν τῇ σεαυτοῦ χειρὶ διακρῖναι δύνασαι, Θεὸς δὲ ἆρα τὰ ἐν τῇ ἑαυτοῦ δρακὶ περιεχόμενα, διακρῖναι καὶ ἀποκαταστῆσαι οὐ δύναται; Νόησον τὸ λεγόμενον, εἰ μὴ ἐστιν ἀσεβὴς ἡ ἄρνησις. Πρόσχες δέ μοι καὶ αὐτῷ τῷ τῆς δικαιοσύνης λόγῳ, καὶ ἐλθὲ εἰς σεαυτόν. Διαρόρους ἔχεις οἰκέτας· ἀλλ' οἱ μὲν, καλοὶ τυγχάνουσιν, οἱ δὲ, φαῦλοι· τιμᾷς ἄρα (2) τοὺς καλοὺς, καὶ τύπτεις τοὺς φαύλους. Καὶ εἰ δικαστὴς τυγχάνεις, ἐπαινεῖς τοὺς ἀγαθοὺς, καὶ τιμωρεῖς τοὺς παρανόμους. Εἶτα, παρὰ σοὶ μὲν θνητῷ ἀνθρώπῳ ὄντι, τὸ δίκαιον σώζεται· παρὰ δὲ Θεῷ τῷ πάντων ἀδιαδόχῳ βασιλεῖ τὸ τῆς δικαιοσύνης ἀνταποδοτικὸν ἆρα οὐκ ἔστιν; Ἀλλὰ ἀσεβὴς ἡ ἄρνησις· σκόπησον γὰρ τὸ λεγό-

(1) Ἡσ. Μ', 12.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἆρα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μενον. Πολλοὶ φονεῖς ἐπὶ κοίτης ἀτιμώρητοι τετελευτήκασι· ποῦ οὖν τοῦ Θεοῦ ἡ δικαιοσύνη; Πολλάκις δὲ καὶ φονεὺς πεντήκοντα φόνοις ὑποκείμενος, τὴν κεφαλὴν ἅπαξ ἀπετμήθη· ποῦ οὖν τῶν τεσσαράκοντα ἐννέα δώσει τὴν τιμωρίαν, ἐὰν μὴ ἡ κρίσις καὶ ἀνταπόδοσις μετὰ τὸν κόσμον τοῦτον; Ἀδικίαν Θεοῦ κατηγορεῖς; Ἀλλὰ μὴ θαυμάσῃς διὰ τὴν ὑπέρθεσιν τῆς κρίσεως. Πᾶς ἀγωνιζόμενος, μετὰ τὸ παρελθεῖν τὸν ἀγῶνα, στεφανοῦται ἢ καταισχύνεται· καὶ οὐδέποτε ἀγωνοθέτης τοὺς ἔτι ἀγωνιζομένους στεφανοῖ, ἀλλ' ἐκδέχεται πάντων τῶν ἀγωνιστῶν τὸ τέλος· ἵνα ὕστερον διακρίνας ἐπάγῃ τὰ βραβεῖα, καὶ τὰ στεφανηφόρια. Οὕτω καὶ ὁ Θεός, ἔτι τοῦ ἀγῶνος ἐν τῷ κόσμῳ τούτῳ συνεστῶτος, τέως [μὲν] βοηθεῖ τοῖς δικαίοις μερικῶς· ὕστερον δὲ ἀποδίδωσι τοὺς μισθοὺς αὐτοῖς τελείως.

γ'. Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστι κατὰ σὲ, διὰ τί τοὺς τυμβωρύχους καταδικάζεις (1); Εἰ γὰρ ἀπόλωλε τὸ σῶμα, καὶ ἀνέλπιστος ἡ ἀνάστασις, διὰ τί τιμωρίαν ὑπομένει ὁ τυμβωρύχος; Βλέπεις, ὅτι κἂν ἀρνῇ τοῖς χείλεσι, μένει παρὰ σοὶ τῆς ἀναστάσεως ἡ συνείδησις ἀδράγής; Εἶτα, δένδρον μὲν ἐκκοπὲν (2), ἐπανθεῖ· ἄνθρωπος δὲ ἐκκοπείς, οὐκ ἀνθεῖ; Καὶ τὰ σπαρέντα δὲ, καὶ θερισθέντα μένει εἰς ἄλωνας· ἄνθρωπος δὲ (3) θερισθεὶς ἀπὸ τοῦ κόσμου τούτου, οὐ μένει εἰς ἄλωνα (4); Καὶ ἀμπελῶνος κλήματα, καὶ δένδρων ἄλλων (5), ἀποτμηθέντα παντελῶς ἢ μεταφυτευθέντα, ζωοποιεῖται καὶ καρποφορεῖ· ἄνθρωπος δὲ (6) δι' ὃν κἀκεῖνά ἐστι, πεσὼν εἰς γῆν ἆρα οὐκ ἀναστήσεται; Ὡς ἐν συγκρίσει δὲ καμάτων, ποῖον μεῖζον, ἀνδριάντα τὸν μὴ ὄντα πλάσαι ἐξ ἀρχῆς, ἢ τὸν πεσόντα ἀναχωνεῦσαι πάλιν εἰς τὸ αὐτὸ σχῆμα; Ὁ ἐκ τοῦ μὴ ὄντος ἡμᾶς ποιήσας Θεὸς, ἆρα τοὺς ὄντας καὶ πεσόντας ἐγεῖραι πάλιν ἀδυνατεῖ; Ἀλλὰ ἀπιστεῖς τοῖς γεγραμμένοις περὶ τῆς ἀναστάσεως, Ἕλλην τυγχάνων; Ἐκ τῆς φύσεως τῶν ὄντων βλέπε τὰ

(1) Ἐκ τοῦ BT.—M, καταδικάζει;
(2) Αὐτόθεν.—M, ἐπικοπέν,
(3) Αὐτόθεν.—M, ἄνθρωπος καὶ
(4) Ματθ. Γ', 12.
(5) Ἐκ τοῦ BT—M, καὶ δένδρα ἄλλων,
(6) Ἐκ τοῦ BT.—M, ἄνθρωπος καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πράγματα, καὶ ἐκ τῶν μέχρι σήμερον φαινομένων ἐννόησον. Σπείρεται σῖτος, εἰ τύχοι, ἢ ἄλλο τι σπερμάτων γένος· πεσὼν δὲ ὁ σπόρος, τελευτᾷ καὶ σήπεται, καὶ ἔστιν ἄχρηστος εἰς βρῶσιν λοιπόν· ἀλλ' ὁ σαπεὶς ἐγείρεται χλοερός· καὶ μικρὸς πεσών, ἐγείρεται κάλλιστος (1). Ὁ δὲ σῖτος δι' ἡμᾶς γεγένηται· διὰ γὰρ τὴν ἡμετέραν χρῆσιν γέγονεν ὁ σῖτος καὶ τὰ σπέρματα, οὐ δι' ἑαυτά. Εἶτα, τὰ μὲν δι' ἡμᾶς γενόμενα, νεκρωθέντα ζωοποιεῖται· ἡμεῖς δὲ, δι' οὓς γέγονε κἀκεῖνα, ἆρα νεκρωθέντες οὐκ ἐγειρόμεθα; Χειμέριος ὁ καιρὸς, ὡς ὁρᾷς· ἕστηκε τὰ δένδρα νῦν ὡς νεκρά. Ποῦ γὰρ τὰ φύλλα τῆς συκῆς; ποῦ οἱ βότρυες τῆς ἀμπέλου; Ἀλλ' ἐν χειμῶνι ταῦτα νεκρὰ, καὶ ἐν ἔαρι χλοερά· καὶ ὅταν ὁ καιρὸς παραγένηται, τότε ὥσπερ ἀπὸ νεκρώσεως ἀποδίδοται ἡ ζωοποίησις. Εἰδὼς γὰρ ὁ Θεὸς τὴν σὴν ἀπιστίαν, ἐν τοῖς φαινομένοις τούτοις ἀνάστασιν εἰργάσατο κατ' ἐνιαυτὸν, ἵνα βλέπων τὰ ἐν τοῖς ἀψύχοις, καὶ περὶ τῶν ἐμψύχων λογικῶν πιστεύσῃς. Εἶτα, μυῖαι καὶ μέλισσαι εἰς ὕδατα πολλάκις ἀποπνιγεῖσαι, μεθ' ὥραν ἀνέστησαν· καὶ μυοζῶν γένη, χειμῶνος ἀκίνητα μένοντα, ἐν θέρει λοιπὸν ἀνέστησαν. (Εὐτελῆ γάρ σοι νοοῦντι, παραπλήσια δίδοται τὰ ὑποδείγματα.) Ὁ δὲ τοῖς ἀλόγοις καὶ ἐξουθενωμένοις τὸ ζῆν παρεχόμενος ὑπὲρ φύσιν, ὁ αὐτὸς ἆρα ἡμῖν, δι' οὓς κἀκεῖνα ἐποίησεν, οὐ χαρίζεται;

δ'. Ἀλλὰ ζητοῦσιν Ἕλληνες νεκρῶν ἀνάστασιν ἔτι φανεράν· καί φασιν, ὅτι εἰ καὶ ἐγείρεται ταῦτα, ἀλλ' οὐκ ἐσάπη παντελῶς· καὶ ζητοῦσιν ἰδεῖν σαφῶς παντελῶς ζῶον σαπὲν καὶ ἀναστάν. Ἤδει Θεὸς τῶν ἀνθρώπων τὴν ἀπιστίαν, καὶ ὄρνεον εἰς τοῦτο κατειργάσατο, Φοίνικα οὕτω καλούμενον. Τοῦτο, ὡς γράφει Κλήμης, καὶ ἱστοροῦσι πλείονες, μονογενὲς ὑπάρχον, κατὰ τὴν Αἰγυπτίων χώραν ἐν περιόδοις πεντακοσίων ἐτῶν ἐρχόμενον, δείκνυσι τὴν ἀνάστασιν· οὐκ ἐν ἐρήμοις τόποις, ἵνα μὴ ἀγνοηθῇ τὸ μυστήριον γινόμενον· ἀλλ' ἐν φανερᾷ πόλει παραγενόμενον, ἵνα ψηλαφηθῇ τὸ ἀπιστούμενον. Σηκὸν γὰρ ἑαυτῷ ποιῆσαν ἐκ λιβάνου καὶ σμύρνης, καὶ λοιπῶν ἀρωμάτων, καὶ ἐν τῇ συμπληρώσει τῶν ἐτῶν εἰς τοῦ-

(1) Ἰωάν. ΙΒ', 24· καὶ Α' πρὸς Κορινθ. ΙΕ', 36 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τον (1) εἰσελθὸν, τελευτᾷ φανερῶς καὶ σήπεται. Εἶτα, ἐκ τῆς σαπείσης (2) σαρκὸς τοῦ τελευτήσαντος, σκώληξ τις γεννᾶται· καὶ οὗτος αὐξηθεὶς, εἰς ὄρνεον μορφοῦται. (Μὴ ἀπιστήσῃς δὲ τούτῳ (3)· καὶ γὰρ τὰ μελισσῶν γεννήματα, οὕτω βλέπεις ἐκ τῶν σκωλήκων μορφούμενα· καὶ ἐξ ὠῶν ὑγροτάτων, ἐθεώρησας ὀρνέων πτερὰ καὶ ὀστέα καὶ νεῦρα ἐξερχόμενα.) Εἶτα, πτεροφυήσας ὁ προειρημένος Φοῖνιξ, ὁ τέλειος, οἷος ἦν ὁ πρότερος, [Φοῖνιξ] γενόμενος, ἀνίπταται τοιοῦτος (4) εἰς ἀέρα, οἷος καὶ ἐτετελευτήκει (5), σαφεστάτην νεκρῶν ἀνάστασιν ἀνθρώποις ἐπιδείξας. Θαυμαστὸν [μὲν] ὄρνεον ὁ Φοῖνιξ· ἀλλ' ὄρνεον ἄλογον, καὶ οὐδέποτε ἔψαλε τῷ Θεῷ. Περιπέτεται τὸν ἀέρα· ἀλλ' οὐκ οἶδε τίς ἐστιν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Εἶτα, τῷ μὲν ἀλόγῳ ζώῳ καὶ μὴ γινώσκοντι τὸν ποιητὴν, νεκρῶν ἀνάστασις δεδώρηται· ἡμῖν δὲ τοῖς δοξολογοῦσι Θεὸν καὶ τὰ προστάγματα αὐτοῦ τηροῦσιν, οὐ δίδοται ἀνάστασις;

ε. Ἀλλ' ἐπειδὴ μακρὰν καὶ σπάνιον τοῦ Φοίνικος τὸ σημεῖον, καὶ ἀπιστοῦσιν ἔτι, λαβὲ (6) τὴν ἀπόδειξιν ἐκ τῶν καθ' ἡμέραν φαινομένων σοι πάλιν. Πρὸ ἑκατὸν ἐτῶν (7) ἢ καὶ διακοσίων, ἡμεῖς πάντες, οἵ τε λαλοῦντες καὶ ἀκούοντες, ποῦ ἦμεν; Ἆρα οὐκ οἴδαμεν τῆς ἡμετέρας ὑποστάσεως τῶν σωμάτων τὴν ὑπόθεσιν; Οὐκ οἶδας ὅπως ἐξ ἀσθενῶν, καὶ ἀμόρφων, καὶ μονοειδῶν πραγμάτων γεννώμεθα; καὶ ἐκ τοῦ μονοειδοῦς καὶ ἀσθενοῦς μορφοῦται ζῶν ἄνθρωπος· καὶ τὸ ἀσθενὲς σαρκωθὲν, εἰς νεύρων ἰσχυρότητα μεταβάλλεται, καὶ εἰς ὀφθαλμῶν (8) λαμπρότητα, καὶ ῥινὸς ὄσφρησιν, καὶ ὤτων ἀκοὴν, καὶ γλῶσσαν λαλοῦσαν, καὶ καρδίαν πάλλουσαν, καὶ χειρῶν ἐργασίαν, καὶ ποδῶν δρόμον, καὶ παντοίαν ἰδέαν μελῶν· καὶ τὸ ἀσθενὲς ἐκεῖνο γίνεται ναυπηγὸς, καὶ οἰκοδόμος, καὶ ἀρχιτέκτων, καὶ παν-

(1) Ἐκ τοῦ BT.—M. εἰς τοσοῦτον
(2) Αὐτόθεν.—M, καὶ τῆς σαπείσης
(3) Αὐτόθεν,—M, τοῦτο·
(4) Αὐτόθεν.—M, ὁ τοιοῦτος
(5) Αὐτόθεν.—M, τετελευτήκει
(6) Ἐκ τοῦ BT.—M, λάβε
(7) Αὐτόθεν.—M, φαινομένων σοι. Πάλιν πρὸ ἑκατὸν κτλ.
(8) Αὐτόθεν,—M, ὀφθαλμοῦ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοίας τέχνης ἐργάτης, καὶ στρατιώτης, καὶ ἄρχων, καὶ νομοθέτης, καὶ βασιλεύς. Ἐξ ἀτελῶν πραγμάτων ποιήσας ἡμᾶς ὁ Θεὸς, ἆρα τοὺς πεσόντας ἐγεῖραι οὐ δύναται; Ὁ τὸ εὐτελέστατον οὕτω σωματοποιῶν, τὸ πεσὸν σῶμα πάλιν ἐγεῖραι οὐ δύναται; Καὶ ὁ τὸ μὴ ὂν πλάσας, τὸ ὂν καὶ πεσὸν ἆρα οὐκ ἐγείρει; Λαβὲ (1) δέμοι νεκρῶν ἀναστάσεως φανερὰν ἀπόδειξιν, ἐν οὐρανῷ καὶ ῥωστῆρσι καθ' ἕκαστον μῆνα μαρτυρουμένην. Τὸ γὰρ τῆς σελήνης σῶμα παντελῶς ἐκλεῖπον, ὡς μηδοτιοῦν αὐτοῦ φαίνεσθαι λοιπὸν, πάλιν ἀναπληροῦται, καὶ εἰς ὅπερ ἦν ἀποκαθίσταται. Ὑπὲρ δὲ τελείας τοῦ πράγματος ἀποδείξεως, κατὰ περιόδους ἐτῶν ἐκλείπουσα ἡ σελήνη, καὶ εἰς αἷμα φανερῶς μεταβληθεῖσα, πάλιν ἀπολαμβάνει τὸ σῶμα [τὸ] ῥωτοειδὲς· τοῦ Θεοῦ τοῦτο κατασκευάσαντος, ἵνα καὶ σὺ ὁ ἄνθρωπος ὁ ἐξ αἵματος συνεστὼς, τῇ τῶν νεκρῶν ἀναστάσει μὴ ἀπιστήσῃς· ἀλλ' ὅπερ ἐπὶ τῆς σελήνης βλέπεις, τοῦτο καὶ περὶ σεαυτοῦ πιστεύσῃς. Τούτοις μὲν οὖν κέχρησο λόγοις πρὸς Ἕλληνας· τοῖς γὰρ τὰ ἔγγραφα μὴ παραδεχομένοις, ἀγράφοις μάχου τοῖς ὅπλοις, ἐκ λογισμῶν μόνον καὶ ἀποδείξεων· τούτοις γὰρ οὔτε τίς ἐστι Μωσῆς γνώριμον, οὔτε τίς ἐστιν Ἡσαΐας, οὔτε τὰ Εὐαγγέλια, οὔτε Παῦλος.

σ'. Μετάβηθί μοι λοιπὸν ἐπὶ Σαμαρείτας, οἳ νόμον δεχόμενοι μόνον, προφήτας οὐκέτι καταδέχονται· οἷς ἀργὸν ἔοικε τὸ παρὸν ἀνάγνωσμα τοῦ Ἰεζεκιήλ· προφήτας γὰρ, ὡς ἔφην, οὐ δέχονται. Πόθεν οὖν πείσωμεν καὶ Σαμαρείτας; Ἐλθωμεν ἐπὶ τὰ ἔγγραφα τοῦ νόμου. Λέγει τοίνυν ὁ Θεὸς πρὸς τὸν Μωϋσῆν· « Ἐγὼ ὁ Θεὸς » Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ « (2)· πάντως ὅτι τῶν ὄντων καὶ ὑφεστηκότων. Εἰ γὰρ Ἀβραὰμ τετελεύτηκε, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, Θεός ἐστιν ἆρα τῶν μὴ ὄντων. Πότε βασιλεὺς εἶπεν, ὅτι βασιλεύς εἰμι στρατιωτῶν, ὧν μὴ ἔχει; Πότε τις ἐνεδείξατο πλοῦτον, ὃν μὴ ἐκέκτητο; Δεῖ τοίνυν ὑφεστάναι καὶ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ἵνα τῶν ὄντων Θεὸς ᾖ [ὁ] Θεός· οὐ γὰρ εἶπεν, *ἤμην* αὐτῶν, ἀλλ' *εἰμί*. Καὶ ὅτι κρίσις ἐστὶ, λέγει πρὸς τὸν Κύ-

(1) Ἐκ τοῦ BT.—M, Λάβε
(2) Ἐξόδ, Γ', 6, 15, 16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ριον ὁ Ἀβραάμ. « Ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις (1) κρί»σιν (2);» Ἀλλ' ἀντιλέγουσι πρὸς τοῦτο πάλιν οἱ ἀνόητοι Σαμαρεῖται, καί φασιν· ὅτι τὰς μὲν ψυχὰς ἐγχωρεῖ μένειν τοῦ Ἀβραὰμ, καὶ τοῦ Ἰσαὰκ, καὶ τοῦ Ἰακὼβ, τὰ δὲ σώματα ἀναστῆναι οὐ δύναται. Εἶτα, τὴν μὲν ῥάβδον Μωϋσέως τοῦ δικαίου, δράκοντα γενέσθαι δυνατόν (3)· τὰ δὲ σώματα τῶν δικαίων ζῆσαι καὶ ἀναστῆναι οὐ δύναται; Καὶ τὸ μὲν, παρὰ φύσιν ἐγένετο· τὸ δὲ, κατὰ φύσιν οὐκ ἀποκαθίσταται; Καὶ ἡ ῥάβδος Ἀαρὼν ἀποτμηθεῖσα, καὶ νεκρωθεῖσα, χωρὶς ὁρμῆς ὑδάτων ἐβλάστησε· καὶ ταῦτα, ὑπόστεγος οὖσα, καὶ τὰ ἐν ἀγροῖς βλαστήσασα (4)· καὶ ἐν ξηροῖς μὲν κειμένη, τὰ δὲ τῶν ἀρδευομένων πολυετῶς, διὰ μιᾶς νυκτὸς μετὰ καρπῶν ἀποδοῦσα. Ἡ ῥάβδος Ἀαρὼν, ἐκ νεκρῶν ὥς περ ἀνέστη, καὶ αὐτὸς Ἀαρὼν οὐκ ἐγείρεται; Καὶ ἵνα μὲν τὴν ἀρχιερωσύνην αὐτῷ διατηρήσῃ Θεὸς, ἐν ξύλῳ ἐθαυματούργησεν· αὐτῷ δὲ τῷ Ἀαρὼν τὴν ἀνάστασιν οὐ χαρίζεται; Καὶ γυνὴ μὲν παρὰ φύσιν ἅλας γίνεται, καὶ σὰρξ εἰς ἅλας μεταβάλλεται (5)· σὰρξ δὲ εἰς σάρκα οὐκ ἀποκαθίσταται; καὶ στήλη μὲν ἁλὸς γέγονεν ἡ γυνὴ Λώτ· ἡ δὲ γυνὴ τοῦ Ἀβραὰμ ἆρα οὐκ ἀνίσταται; Ποίᾳ δὲ δυνάμει μετεβλήθη ἡ χεὶρ τοῦ Μωϋσέως, ἣ καὶ ὑπὸ μίαν ὥραν ἐγένετο ὡς χιὼν, καὶ πάλιν ἀποκατέστη (6); πάντως ὅτι τῷ θείῳ προστάγματι. Εἶτα, τότε μὲν τὸ πρόσταγμα ἰσχυρὸν, νῦν δὲ οὐκ ἔτι ἰσχυρόν; Πόθεν δὲ καὶ ὅλως ἐξ ἀρχῆς ἐγεννήθη ὁ ἄνθρωπος, ᾧ πάντων ἀνθρώπων ἀνοητότατοι Σαμαρεῖται; Ἔλθετε ἐπὶ τὸ πρῶτον βιβλίον τῆς Γραφῆς, ὃ καὶ ὑμεῖς καταδέχεσθε· « Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς » (7)· χοῦς εἰς σάρκα μεταβάλλεται, καὶ σὰρξ εἰς σάρκα οὐ [πάλιν] ἀποκαθίσταται (8); Ἐρωτητέον δὲ ὑμᾶς, πόθεν ὑπέστησαν οἱ οὐρανοὶ

(1) Ἐν ἀμφοτέροις, BT καὶ M, οὐ ποιήσεις
(2) Γενέσ. ΙΗ', 25.
(3) Ἐξόδ. Δ', 3. (4) Ἀριθ. ΙΖ', 8.
(5) Γενέσ. ΙΘ', 26.
(6) Ἐξόδ. Δ', 6, 7.
(7) Γενέσ. Β', 7.
(8) Ἐκ τοῦ BT.—M, οὐκ ἀποκαθίσταται;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ γῆ, καὶ θάλασσαι; πόθεν ἥλιος, καὶ σελήνη, καὶ ἀστέρες; πῶς ἐξ ὑδάτων τὰ πετεινὰ, καὶ τὰ νηκτά; καὶ πῶς ἀπὸ γῆς τὰ ζῶα πάντα (1); Τοσαῦται μυριάδες ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρηνέχθησαν· καὶ ἄνθρωποι ἡμεῖς, οἱ τὸ κατ' εἰκόνα (2) ἔχοντες, ἆρα οὐκ ἀναστησόμεθα; Ἀληθῶς ἀπιστίας τὸ πρᾶγμα πεπλήρωται, καὶ πολλὴ κατάγνωσις τῶν ἀπιστούντων· ὅταν Ἀβραὰμ λέγῃ πρὸς τὸν Κύριον· « Ὁ κρίνων πᾶσαν τὴν γῆν » (3), καὶ ἀπιστῶσιν οἱ μανθάνοντες τὸν νόμον· ὅταν (4) γέγραπται, ὅτι ἐκ τῆς γῆς ὁ ἄνθρωπος (5), καὶ ἀπιστῶσιν οἱ ἀναγινώσκοντες.

Ζ'. Ἐκείνοις μὲν οὖν ταῦτα τοῖς ἀπίστοις· τὰ δὲ ἐκ προφητῶν, ἡμῖν τοῖς πιστεύουσιν. Ἐπειδὴ δὲ καὶ τοῖς προφήταις κεχρημένοι τινὲς, ἀπιστοῦσι τοῖς γεγραμμένοις, καὶ προφέρουσιν ἡμῖν ἐκεῖνο, τὸ « Οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει » (6)· καὶ τὸ « Ἐὰν ᾖ γὰρ καταβῇ ὁ ἄνθρωπος εἰς ᾅδην, οὐκέτι οὐ μὴ ἀναβῇ » (7)· καὶ τὸ « Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε Κύριε » (8)· (τοῖς γὰρ καλῶς γεγραμμένοις συγκέχρηνται κακῶς) καλὸν ἐν παραδρομῇ, καὶ ὡς ἐγχωρεῖ νῦν, ἀπαντῆσαι πρὸς αὐτούς. Ἐὰν γὰρ λέγῃ, ὅτι *ἀσεβεῖς οὐκ ἀναστήσονται ἐν κρίσει*, τοῦτο δηλοῖ, ὅτι οὐκ ἐν κρίσει, ἀλλ' ἐν κατακρίσει. Οὐ γὰρ ἐξετάσεως πολλῆς ἐστι χρεία τῷ Θεῷ· ἀλλ' ἅμα τῷ ἀναστῆναι τοὺς ἀσεβεῖς, ἀκολουθεῖ καὶ τὰ τῆς τιμωρίας. Καὶ ἐὰν λέγῃ, ὅτι *οὐχ οἱ νεκροὶ αἰνέσουσί σε Κύριε*, τοῦτο δηλοῖ, ὅτι τῆς μετανοίας καὶ τῆς ἀρέσεως, ἐν τῇ ζωῇ ταύτῃ μόνον τὴν προθεσμίαν ἐχούσης, ἐφ' ᾗ καὶ οἱ ἀπολαύοντες αἰνέσουσί σε, οὐκ ἔστι (9) μετὰ θάνατον λοιπὸν τοὺς ἐν ἁμαρτίαις τελευτήσαντας ὡς εὐεργετηθέντας αἰνεῖν, ἀλλὰ ἀποδύρεσθαι· ἔστι γὰρ αἶνος μὲν, τῶν εὐχαριστούντων· ὀδυρμὸς δὲ, τῶν μαστιζομένων.

---

(1) Γενέσ. Α', 20, 24.
(2) Αὐτόθεν.—Μ, οἱ τ ὰ κατ' εἰκόνα
(3) Γενέσ. ΙΗ', 25.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ὅ τ ε
(5) Γενέσ. Α', 20· καὶ Γ', 19.
(6) Ψαλμ. Α', 5. (7) Ἰὼβ Ζ', 9.
(8) Ψαλμ. ΡΙΓ', 25.
(9) Ἐκ τοῦ ΒΤ.—Μ, οὐκέτ ι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ μὲν οὖν δίκαιοι τότε αἰνοῦσιν· οἱ δὲ τελευτήσαντες ἐν ἁμαρτίαις, καιρὸν λοιπὸν ἐξομολογήσεως οὐκ ἔχουσι. Περὶ δὲ τοῦ (1), *ἐὰν καταβῇ ἄνθρωπος εἰς ᾅδην, οὐκέτι οὐ μὴ ἀναβῇ*, βλέπε τὴν ἀκολουθίαν. Γέγραπται γὰρ, « Οὐκέτι οὐ μὴ ἀναβῇ· οὐδ' οὐ μὴ » ἐπιστρέψῃ εἰς τὸν ἴδιον οἶκον » (2). Τοῦ κόσμου δὲ ὅλου παρερχομένου, καὶ πάσης οἰκίας διαφθειρομένης, πῶς εἰς τὸν ἴδιον οἶκον ἐπανελεύσεται, καινῆς λοιπὸν γινομένης [ἄλλης] γῆς (3); Ἐχρῆν δὲ αὐτοὺς ἀκοῦσαι τοῦ Ἰὼβ λέγοντος· « Ἔστι γὰρ δένδρῳ » ἐλπίς· ἐὰν γὰρ ἐκκοπῇ, πάλιν ἐπανθήσει· καὶ ὁ ῥάδαμνος αὐτοῦ » οὐ μὴ ἐκλείπῃ· ἐὰν γὰρ γηράσῃ, ἐν γῇ ἡ ῥίζα αὐτοῦ (4), ἐν δὲ » πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ· ἀπὸ ὀσμῆς ὕδατος ἀνθή» σει· ποιήσει δὲ θερισμὸν ὥσπερ νεόφυτον. Ἀνὴρ δὲ τελευτήσας, » ὤχετο· πεσὼν δὲ βροτὸς, οὐκέτι ἐστὶν (5); » μόνον γὰρ οὐχὶ δυσωπῶν, καὶ ἐπιτιμῶν· (οὕτω γὰρ ἀναγνωστέον ἐρωτηματικῶς τὸ, *οὐκ ἔστιν*;) ἆρα γὰρ, φησὶ, ξύλου πίπτοντος καὶ ἐγειρομένου, ἄνθρωπος αὐτὸς δι' ὃν τὰ ξύλα γέγονεν, οὐκ ἐγείρεται; Καὶ ἵνα μὴ νομίσῃς με βιάζεσθαι, ἀνάγνωθι τὸ ἀκόλουθον. Μετὰ [γὰρ] τὸ εἰπεῖν ἐρωτηματικῶς, *πεσὼν δὲ βροτὸς οὐκέτι ἐστί*; λέγει· « Ἐὰν » γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται· » καὶ εὐθὺς λέγει· « Ὑπο» μένω, ἕως ἂν πάλιν γένωμαι » (6). Καὶ ἀλλαχοῦ πάλιν· « Ὁ » μέλλων ἐπὶ γῆς ἀναστῆσαι τὸ δέρμα μου τὸ ἀνανταλοῦν ταῦ» τα (7)». Ἡσαΐας δὲ ὁ προφήτης φησίν· « Ἀναστήσονται οἱ νε» κροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις » (8)· Σαφέστατα δὲ ὁ [παρὼν] προφήτης Ἰεζεκιὴλ λέγει· « Ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνή» ματα ὑμῶν, καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν » (9).

(1) Ἐκ τοῦ ΒΤ.—Μ, Περὶ γὰρ τοῦ,
(2) Ἰὼβ Ζ', 9—10.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, καινῆς λοιπὸν γινομένης γῆς;—(Βλ. Β' Πέτρ. Γ', 13.)
(4) Μ, ἡ ῥίζα αὐτοῦ ἔστω,
(5) Ἰὼβ ΙΔ', 7—10
(6) Αὐτόθι, 14.
(7) « Ἀένναός ἐστιν ὁ ἐκλύειν με μέλλων ἐπὶ γῆς· ἀναστήσει δέ μου τὸ δέρμα » τὸ ἀνανταλοῦν ταῦτα. » Ἰὼβ ΙΘ', 25—26.
(8) Ἡσ. ΚΣ', 19.
(9) Ἰεζεκ. ΑΖ', 12.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ ὁ Δανιὴλ λέγει· « Πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι » ἀναστήσονται· οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς αἰσχύνην » αἰώνιον » (1).

ή. Καὶ πολλαὶ γραφαὶ μαρτυροῦσι περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως· ἔστι γὰρ ἄλλα πλείονα ῥητὰ περὶ τούτου· ὡς ἐν ὑπομνήσει [δὲ] μόνῃ, νῦν παρατρέχομεν τὴν τοῦ Λαζάρου τετραήμερον ἀνάστασιν (2)· παρατρέχομεν δὲ, διὰ τὸ τῆς ὥρας ὀλίγον, καὶ τὸν υἱὸν τῆς χήρας τὸν ἐγηγερμένον (3). Ὑπομνήσεώς τε μόνον ἕνεκεν παραφερέσθω [νῦν] καὶ ἡ θυγάτηρ τοῦ ἀρχισυναγώγου (4)· λεγέσθω καὶ τὸ (5) σχισθῆναι τὰς πέτρας, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἐγερθῆναι, τῶν μνημείων ἀνοιχθέντων (6). Προηγουμένως δὲ (7) μνημονευέσθω, ὅτι Χριστὸς ἐκ νεκρῶν ἐγήγερται. Παρῆλθον τὸν Ἠλίαν, καὶ τὸν υἱὸν τῆς χήρας τὸν ἐξεγερθέντα ὑπ' αὐτοῦ (8)· καὶ τὸν Ἐλισσαῖον τὸν δὶς ἐγείραντα, ἕν τε τῷ ζῆν, καὶ μετὰ τὸ τελευτῆσαι αὐτόν· ζῶν μὲν γὰρ ἐνήργησε τὴν ἀνάστασιν, διὰ τῆς ἑαυτοῦ ψυχῆς (9)· ἵνα δὲ μὴ μόνον τιμηθῶσι τῶν δικαίων αἱ ψυχαὶ, πιστευθῇ δὲ ὅτι καὶ ἔγκειται ἐν τοῖς τῶν δικαίων σώμασι δύναμις, ὁ ῥιφθεὶς ἐν τῷ μνημείῳ τοῦ Ἐλισσαίου νεκρὸς, τοῦ νεκροῦ σώματος τοῦ προφήτου ἁψάμενος, ἐζωποιήθη (10)· καὶ τὸ σῶμα τοῦ προφήτου τὸ νεκρὸν, ἀπετέλεσε ψυχῆς ἔργον· καὶ τὸ τελευτῆσαν καὶ κείμενον, ζωὴν παρέσχε τῷ τελευτήσαντι· καὶ παρασχὸν τὴν ζωὴν, αὐτὸ ὁμοίως ἔμεινεν ἐν νεκροῖς. Διὰ τί; ἵνα μὴ ἐξαναστάντος τοῦ Ἐλισσαίου, τῇ ψυχῇ μόνῃ προσγραφῇ τὸ πρᾶγμα· δειχθῇ δὲ, ὅτι καὶ ψυχῆς μὴ παρούσης, ἔγκειταί τις δύναμις τῷ τῶν ἁγίων σώματι, διὰ τὴν ἐν τοσούτοις ἔτεσιν ἐνοικήσασαν ἐν αὐτῷ

(1) Δανιὴλ ΙΒ', 2.
(2) Ἰωάν. ΙΑ', 39—44.
(3) Λουκ. Ζ', 11—16.
(4) Ματθ. Θ', 18, 23—26.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, Ὑπομνήσεώς τε μόνης λεγέσθω καὶ τὸ κτλ.
(6) Ματθ. ΚΖ', 51—53.
(7) Ὁ δὲ ἐκ τοῦ ΒΤ· ἀντὶ τοῦ ἐν τῷ Μ, καὶ
(8) Γ' Βασιλ. ΙΖ', 19 κ' ἑπόμ.
(9) Δ' Βασιλ. Δ', 32—37.
(10) Δ' Βασιλ. ΙΓ', 21.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δικαίαν ψυχήν, ἧς ὑπηρέτημα γέγονε. Καὶ μὴ ἀπιστῶμεν, νήπιοι, ὡς μὴ γεγενημένου τούτου. Εἰ γὰρ σουδάρια καὶ σημικίνθια τὰ ἔξωθεν ὄντα, τῶν σωμάτων ἁπτόμενα τῶν νοσούντων, ἤγειρε τοὺς ἀσθενεῖς (1), πόσῳ μᾶλλον αὐτὸ τὸ σῶμα τοῦ προφήτου ἤγειρε τὸν νεκρόν;

θ'. Καὶ ἐνῆν μὲν πολλὰ εἰπεῖν εἰς ταῦτα, καθ' ἕκαστον (2) ἐξηγουμένοις τῶν γεγενημένων πραγμάτων τὸ παράδοξον· διὰ δὲ τὸν κάματον τὸν προγενόμενον ὑμῖν, ἔκ τε τῆς ὑπερθέσεως τῆς νηστείας τῆς Παρασκευῆς, καὶ τῆς ἀγρυπνίας, ἐκεῖνα μὲν τέως ἐν παραδρομῇ λελέχθω δι' ὀλίγων ἐσπαρμένα· ἵνα ὑμεῖς, καλλίστης γῆς δίκην δεξάμενοι τὸν σπόρον, καρποφορήσητε πλατύνοντες. Μνημονευέσθω [δὲ] ὅτι καὶ οἱ Ἀπόστολοι νεκροὺς ἤγειραν. Πέτρος μὲν, ἐν Ἰόππῃ Ταβιθᾶν (3)· Παῦλος δὲ, Εὔτυχον ἐν Τρῳάδι (4)· καὶ οἱ λοιποὶ πάντες Ἀπόστολοι, εἰ καὶ μὴ πάντα γέγραπται τὰ ὑφ' ἑκάστου θαυματουργηθέντα. Μνημονεύετε δὲ τῶν ἐν τῇ πρώτῃ πρὸς Κορινθίους εἰρημένων ἁπάντων, ὧν ἔγραψεν ὁ Παῦλος πρὸς τοὺς λέγοντας, « Πῶς ἐγείρονται οἱ νε- » κροὶ, ποίῳ δὲ σώματι ἔρχονται; (5)» Καὶ ὅτι· « Εἰ νεκροὶ οὐκ » ἐγείρονται, οὐδὲ ὁ Χριστὸς ἐγήγερται » (6). Καὶ ὅτι *ἄφρονας* ἐκάλεσε (7) τοὺς μὴ πιστεύοντας πάσαις ταῖς αὐτόθι διδασκαλίαις τῆς περὶ νεκρῶν ἀναστάσεως. Καὶ ὅτι πρὸς Θεσσαλονικεῖς ἔγραψεν· « Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κε- » κοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχον- τες ἐλπίδα » (8), καὶ τὰ ἑξῆς ὅλα, μάλιστα δὲ τὸ, *καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον*· ἐξαιρέτως δὲ τοῦτο ἐπισημήνασθε, ὅτι μονονουχὶ δακτυλοδεικτῶν ὁ Παῦλος, λέγει· « Δεῖ γὰρ

(1) Πράξ. Ἀποστόλ. ΙΘ', 12.
(2) Ἐκ τοῦ ΒΓ.—Μ, καθ' ἑκάστην
(3) Πράξ. Ἀποστόλ. Θ', 36 κ' ἑπόμ.
(4) Αὐτόθι, Κ', 7 κ' ἑπόμ.
(5) Α' πρὸς Κορινθ. ΙΕ', 35.
(6) Αὐτόθι, 16.
(7) Αὐτόθι, 36—45.
(8) Α' πρὸς Θεσσαλον. Δ', 13 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι [ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο »ἐνδύσασθαι] ἀθανασίαν » (1). Τὸ γὰρ σῶμα τοῦτο ἐγείρεται [, οὐ τοιοῦτον μένον ἀσθενὲς, ἀλλ' αὐτὸ τοῦτο ἐγείρεται']. Ἐνδυσάμενον [δὲ] τὴν ἀφθαρσίαν, μεταποιεῖται, ὥσπερ σίδηρος πυρὶ προσομιλήσας γίνεται πῦρ, μᾶλλον δὲ ὡς οἶδεν ὁ ἁνιστῶν Κύριος. Ἐγείρεται μὲν οὖν τοῦτο τὸ σῶμα· ἀλλ' οὐ μένει τοιοῦτον, ἀλλὰ μένει αἰώνιον. Οὐκέτι τροφῶν τοιούτων χρείαν ἔχει πρὸς ζωὴν, οὐδὲ κλιμάκων πρὸς ἀνάβασιν· γίνεται γὰρ πνευματικὸν (2), θαυμάσιόν τι· καὶ οἷον εἰπεῖν κατ' ἀξίαν οὐκ ἔχομεν· « Τότε οἱ δίκαιοι, » φησὶ, λάμψουσιν ὡς ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ ὡς ἡ λαμπρό- » της τοῦ στερεώματος » (3). Καὶ προειδὼς τὴν τῶν ἀνθρώπων ἀπιστίαν ὁ Θεὸς, σκώληξι μικροτάτοις ἐν τῷ θέρει φωτοειδεῖς δέδωκεν αὐγὰς λάμπειν ἐκ τοῦ σώματος, ἵνα ἐκ τῶν φαινομένων πιστευθῇ τὸ προσδοκώμενον. Ὁ γὰρ τὸ μέρος παρασχὼν, δύναται καὶ τὸ ὅλον παρασχεῖν· καὶ ὁ σκώληκα φῶς ἐκλάμπειν ποιήσας, πολλῷ μᾶλλον φωτοποιήσει δίκαιον ἄνθρωπον.

ί. Ἐγειρόμεθα τοίνυν, αἰώνια μὲν πάντες ἔχοντες τὰ σώματα, οὐ πάντες δὲ ὅμοια· ἀλλ' εἰ μέν τις ἐστὶ δίκαιος, λαμβάνει σῶμα ἐπουράνιον, ἵνα δύνηται μετὰ ἀγγέλων ἀναστρέφειν ἐπαξίως· εἰ δέ τις ἁμαρτωλός ἐστι, λαμβάνει σῶμα αἰώνιον, ὑπομονητικὸν τιμωρίας ἁμαρτιῶν, ἵνα ἐν πυρὶ αἰωνίῳ καιόμενος (4), μηδέποτε ἀναλωθῇ. Καὶ δικαίως ἀμφοτέροις τοῖς τάγμασιν ὁ Θεὸς παρέχει τοῦτο· οὐδὲν γὰρ ἡμῖν χωρὶς σώματός τι πέπρακται. Βλασφημοῦμεν διὰ στόματος, [προσευχόμεθα διὰ στόματος·] πορνεύομεν διὰ σώματος, ἁγνεύομεν διὰ σώματος (5)· ἁρπάζομεν διὰ χειρὸς, ἐλεημοσύνας δίδομεν (6) διὰ χειρὸς, καὶ τὰ λοιπὰ ὁμοίως. Ἐπειδὴ τοίνυν εἰς πάντα ὑπηρετήσατο τὸ σῶμα, καὶ ἐν τοῖς μέλλουσι συναπολαύει τῶν γενομένων. Φεισώμεθα τοίνυν, ἀδελφοὶ, τῶν σωμάτων, καὶ μὴ ὡς ἀλλοτρίοις αὐτοῖς παρα-

(1) Α' πρὸς Κορινθ. ΙΕ', 53. (2) Α' πρὸς Κορινθ. ΙΕ', 44.
(3) Ματθ. ΙΓ', 43· καὶ Δανιὴλ ΙΒ', 3.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, κ ε ί μ ε ν ο ς,
(5) Ἐκ τοῦ ΒΤ. — Μ, Βλασφημοῦμεν διὰ στόματος, πορνεύομεν διὰ σώματος, ἁγνεύομεν διὰ σώματος, προσευχόμεθα δ ι ὰ σ ώ μ α τ ο ς, ἁρπάζομεν κτλ.
(6) Λύτόθεν.—Μ, δ ι δ ο ῦ μ ε ν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χρησώμεθα. Μὴ, κατὰ τοὺς αἱρετικοὺς, λέγωμεν ὅτι ἀλλότριός ἐστιν ὁ τοῦ σώματος χιτών· ἀλλ' ὡς ἰδίου φεισώμεθα. Δεῖ γὰρ ἡμᾶς δοῦναι λόγον τῷ Κυρίῳ περὶ πάντων τῶν διὰ τοῦ σώματος πεπραγμένων (1). Μὴ εἴπῃς, οὐδείς με ὁρᾷ (2), μηδὲ νομίσῃς ὅτι μάρτυς τῶν γινομένων οὐκ ἔστιν (3). Ἄνθρωπος μὲν γὰρ πολλάκις οὐκ ἔστιν· ὁ δὲ πλάστης ἀπλανὴς μάρτυς, μένει ἐν οὐρανῷ πιστὸς, καὶ βλέπει τὸ γινόμενον (4). Καὶ οἱ σπίλοι δὲ τῶν ἁμαρτιῶν μένουσιν [ἐν] τῷ σώματι. Ὡς περ γὰρ πληγῆς προχωρησάσης ἐν τῷ σώματι, κἂν θεραπεία γένηταί τις, ὅμως ἡ οὐλὴ μένει, οὕτω καὶ ἡ ἁμαρτία πλήσσει τὴν ψυχὴν καὶ τὸ σῶμα· καὶ μένουσιν οἱ τύποι τῶν οὐλῶν (5) ἐν πᾶσι· περιαιροῦνται δὲ μόνον ἀπὸ τῶν λαμβανόντων τὸ λουτρόν. Τὰ μὲν οὖν παρελθόντα ψυχῆς καὶ σώματος τραύματα, θεραπεύει Θεὸς διὰ τοῦ βαπτίσματος· πρὸς δὲ τὰ μέλλοντα λοιπὸν ἑαυτοὺς ἀσφαλιζώμεθα (6) κοινῇ πάντες· ἵνα καθαρὸν τοῦτον (7) τοῦ σώματος τὸν χιτῶνα διατηρήσαντες, καὶ μὴ δι' ὀλίγης πορνείας καὶ ἡδυπαθείας, ἤ τινος ἄλλης ἁμαρτίας πρᾶξιν, ἀπολέσωμεν οὐράνιον σωτηρίαν· ἀλλ' ἵνα κληρονομήσωμεν βασιλείαν Θεοῦ αἰώνιον, ἧς πάντας ὑμᾶς τῇ ἑαυτοῦ χάριτι καταξιώσειεν ὁ Θεός.

ιά. Καὶ ταῦτα μὲν εἰρήσθω πρὸς ἀπόδειξιν τῆς τῶν νεκρῶν ἀναστάσεως. Ἡ δὲ τῆς πίστεως ἐπαγγελία, πάλιν ὑμῖν ὑφ' ἡμῶν ῥηθεῖσα, μετὰ σπουδῆς πάσης ἐπὶ λέξεως αὐτῆς ὑφ' ὑμῶν (8) ἀπαγγελέσθω τε καὶ μνημονευέσθω. Τῆς δὲ ἀπαγγελλομένης Πίστεως ἀκολούθως περιεχούσης τὸ, [*Καὶ*] *εἰς ἓν βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ εἰς μίαν* [*ἁγίαν*] *καθολικὴν Ἐκκλησίαν· καὶ εἰς σαρκὸς ἀνάστασιν· καὶ εἰς ζωὴν αἰώνιον·* περὶ μὲν τοῦ βαπτίσματος καὶ τῆς μετανοίας, ἐν ταῖς πρώταις ἡμῖν εἴρηται Κατηχήσεσι· καὶ τὰ περὶ ἀναστάσεως δὲ νεκρῶν

(1) Β' πρὸς Κορινθ. Ε', 10.
(2) Σοφ. Σειρὰχ ΚΓ', 18.
(3) Ἰσ. ΚΘ', 15.
(4) Ψαλμ. ΠΗ', 38.
(5) Μ, τῶν ἄλλων
(6) Ἐκ τοῦ ΒΤ.—Μ, ἀσφαλιζόμεθα
(7) Αὐτόθεν.—Μ, τούτου
(8) Ἐκ τοῦ ΒΤ.—Μ, ὑφ' ἡμῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λεχθέντα νῦν, διὰ τὸ, *καὶ εἰς σαρκὸς ἀνάστασιν*, εἴρηται. Λεγέσθω δὲ τὰ λείποντα καὶ τέως (1), διὰ τὸ, *καὶ εἰς μίαν ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν*· περὶ ἧς πολλὰ μὲν εἰπεῖν δυνατὸν ἦν, δι' ὀλίγων δὲ ἐροῦμεν (2). Καθολικὴ μὲν οὖν καλεῖται, διὰ τὸ κατὰ πάσης εἶναι τῆς οἰκουμένης, ἀπὸ περάτων γῆς ἕως περάτων. Καὶ διὰ τὸ διδάσκειν καθολικῶς καὶ ἀνελλειπῶς ἅπαντα τὰ εἰς γνῶσιν ἀνθρώπων ἐλθεῖν ὀφείλοντα δόγματα, περί τε ὁρατῶν καὶ ἀοράτων πραγμάτων, ἐπουρανίων τε καὶ ἐπιγείων. Καὶ διὰ τὸ πᾶν γένος ἀνθρώπων εἰς εὐσέβειαν ὑποτάσσειν, ἀρχόντων τε καὶ ἀρχομένων, λογίων τε καὶ ἰδιωτῶν. Καὶ διὰ τὸ καθολικῶς ἰατρεύειν μὲν καὶ θεραπεύειν ἅπαν τὸ τῶν ἁμαρτιῶν εἶδος, τῶν διὰ ψυχῆς καὶ σώματος ἐπιτελουμένων, κεκτῆσθαι [δὲ] ἐν αὐτῇ πᾶσαν ἰδέαν ὀνομαζομένης ἀρετῆς, ἐν ἔργοις τε καὶ λόγοις, καὶ πνευματικοῖς παντοίοις χαρίσμασιν. Ἐκκλησία δὲ καλεῖται φερωνύμως διὰ τὸ πάντας ἐκκαλεῖσθαι καὶ ὁμοῦ συνάγειν, καθὼς ἐν τῷ Λευϊτικῷ φησιν ὁ Κύριος· « Καὶ πᾶσαν τὴν » συναγωγὴν (3) ἐκκλησίασον ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρ» τυρίου· » Σημειωτέον δὲ, ὅτι τὸ *ἐκκλησίασον* πρώτως ἐν ταῖς Γραφαῖς εἴρηται νῦν, ἡνίκα τὸν Ἀαρὼν εἰς τὴν ἀρχιερωσύνην ὁ Κύριος καθίζα. Καὶ ἐν Δευτερονομίῳ δὲ λέγει ὁ Θεὸς τῷ Μωϋσῇ· « Ἐκ» κλησίασον πρός με τὸν λαόν, καὶ ἀκουσάτωσαν τὰ ῥήματά » μου, ὅπως μάθωσι (4) φοβεῖσθαί με. » Τοῦ δὲ τῆς Ἐκκλησίας ὀνόματος μνημονεύει πάλιν, ὅτε περὶ τῶν πλακῶν· « Καὶ ἐπ' αὐ» ταῖς ἐγέγραπτο (5) πάντες οἱ λόγοι οὓς ἐλάλησε Κύριος πρὸς » ὑμᾶς ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρὸς, ἐν ἡμέρᾳ *Ἐκκλησίας*. » Ὡσεὶ ἔλεγε σαφέστερον, ἐν ἡμέρᾳ ᾗ κληθέντες ὑπὸ τοῦ Θεοῦ συνήχθητε. Καὶ ὁ ψαλμῳδὸς (6) φησιν· « Ἐξομολογήσομαί σοι ἐν

(1) Ἐκ τοῦ BT.—M, Λεγέσθω δὲ πάλιν τὰ λείποντα· καὶ τέως διὰ τὸ,

(2) Ἐκ τοῦ BT.—M, ἐρῶμεν.

(3) Ἐν ἀμφοτέροις, BT καὶ M, « Καὶ πάσῃ τῇ συναγωγῇ » κτλ. — Λευϊτ. Η', 3.

(4) Ἐν ἀμφοτέροις, BT καὶ M, « ὅπως ἂν μάθωσι— Δευτερονομ. Δ', 10.

(5) Ὡσαύτως αὐτόθι. « ἐπεγέγραπτο — Δευτερονομ. Θ', 10.

(6) Ἐκ τοῦ BT. — M, Καὶ ὁ ψαλμὸς δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» ἐκκλησίᾳ πολλῇ (1), ἐν λαῷ βαρεῖ αἰνέσω σε. » Πρότερον μὲν οὖν ᾔδεν ὁ ψαλμῳδός· « Ἐν ἐκκλησίαις (2) εὐλογεῖτε τὸν Θεὸν » τὸν Κύριον, ἐκ πηγῶν Ἰσραήλ.» Ἀφ' οὗ δὲ, διὰ τὰς γενομένας κατὰ τοῦ Σωτῆρος ἐπιβουλὰς, ἀπεβλήθησαν Ἰουδαῖοι τῆς χάριτος, δευτέραν ᾠκοδόμησεν (3) ἐξ ἐθνῶν ὁ Σωτὴρ τὴν τῶν χριστιανῶν ἡμῶν ἁγίαν Ἐκκλησίαν, περὶ ἧς εἶπε τῷ Πέτρῳ· « Καὶ » ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι » ᾅδου οὐ κατισχύσουσιν αὐτῆς » (4). Περὶ δὲ ἀμφοτέρων τούτων προφητεύων, σαφῶς ἔλεγεν ὁ Δαβίδ· περὶ μὲν τῆς πρώτης ἀποβληθείσης, «Ἐμίσησα ἐκκλησίαν πονηρευομένων» (5)· περὶ δὲ τῆς δευτέρας τῆς ᾠκοδομουμένης (6), ἐν τῷ αὐτῷ ψαλμῷ φησι· «Κύριε » ἠγάπησα εὐπρέπειαν οἴκου σου » (7)· καὶ ἑξῆς εὐθύς· « Ἐν ἐκ- » κλησίαις εὐλογήσω σε Κύριε» (8). Τῆς γὰρ ἐν τῇ Ἰουδαίᾳ μιᾶς ἀποβληθείσης, κατὰ πάσης τῆς οἰκουμένης λοιπὸν αἱ τοῦ Χριστοῦ πληθύνουσιν Ἐκκλησίαι, περὶ ὧν ἐν ψαλμοῖς εἴρηται· « Ἄσατε τῷ » Κυρίῳ ᾆσμα καινόν· ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων » (9). Οἷς ἀκόλουθα καὶ ὁ προφήτης πρὸς Ἰουδαίους εἶπεν· « Οὐκ ἔστι » μου (10) θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ»· καὶ ἑξῆς εὐθύς· « Διότι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν τὸ ὄνομά μου » δεδόξασται ἐν τοῖς ἔθνεσι» (11). Περὶ ταύτης τῆς ἁγίας καθολικῆς Ἐκκλησίας γράφει πρὸς Τιμόθεον ὁ Παῦλος· «Ἵνα εἰδῇς πῶς » δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι (12), ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ » ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας ».

---

(1) Ἐν ἀμφοτέροις, BT καὶ M, « Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ἐκκλησίᾳ μεγάλῃ — Ψαλμ. ΛΔ', 18.

(2) Ὡσαύτως αὐτόθι. « Ἐν ἐκκλησίᾳ » — Ψαλμ. ΞΖ', 28.

(3) Ἐν μὲν τῷ BT, ᾠμοκόμησε (προδήλως ἁμαρτημένον κατὰ τὸν τύπον)· ἐν δὲ τῷ M, ᾠκονόμησεν

(4) Ἐν μὲν τῷ BT, οὐ κατισχύσωσιν αὐτῆς· ἐν δὲ τῷ M, οὐ κατισχύσωσιν ἑαυτῆς. (Βλ. Ματθ. ΙΣ', 18.)

(5) Ψαλ. ΚΕ', 5. (6) Γρ. ἴσ. ᾠκοδομημένης, (7) Ψαλ. ΚΕ', 8.

(8) Αὐτόθι, 12. (9) Ψαλ. ΡΜΘ', 1.

(10) Ἐν ἀμφοτέροις, BT καὶ M, « Οὐκ ἔστι μοι.

(11) Μαλαχ. Α', 10 καὶ 11.

(12) Ἐν ἀμφοτέροις, BT καὶ M, «ἵνα εἰδῇς ἐν οἴκῳ Θεοῦ πῶς δεῖ ἀναστρέφεσθαι ». — Α' πρὸς Τιμόθ. Γ', 15.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιθ'. Ἐπειδὴ δὲ τὸ τῆς Ἐκκλησίας ὄνομα περὶ (1) διαφόρων λέγεται πραγμάτων, ὡς καὶ περὶ τοῦ ὄχλου τοῦ ἐν τῷ θεάτρῳ τῶν Ἐφεσίων γέγραπται· «Καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν» (2)· κυρίως δὲ ἄν τις εἴποι καὶ ἀληθῶς ἐκκλησίαν εἶναι πονηρευομένων (3) τὰ συστήματα τῶν αἱρετικῶν [Μαρκιονιστῶν, λέγω, καὶ] Μανιχαίων, καὶ τῶν λοιπῶν· διὰ τοῦτό σοι νῦν ἀσφαλισμένως παρέδωκεν ἡ Πίστις τὸ, *Καὶ εἰς μίαν, ἁγίαν, καθολικὴν, Ἐκκλησίαν*· ἵνα ἐκείνων μὲν τὰ μιαρὰ συστήματα φεύγῃς, παραμένῃς δὲ τῇ ἁγίᾳ καθολικῇ Ἐκκλησίᾳ διὰ παντὸς, ἐν ᾗ καὶ ἀνεγεννήθης. Κἂν ποτε ἐπιδημῇς ἐν πόλεσι, μὴ ἁπλῶς ἐξέταζε ποῦ τὸ Κυριακόν ἐστι ; (καὶ γὰρ αἱ λοιπαὶ τῶν ἀσεβῶν αἱρέσεις, κυριακὰ τὰ ἑαυτῶν σπήλαια καλεῖν ἐπιχειροῦσι·) μηδὲ, ποῦ ἐστιν ἁπλῶς [ἡ] Ἐκκλησία; ἀλλὰ, ποῦ ἐστιν ἡ Καθολικὴ Ἐκκλησία. Τοῦτο γὰρ ἰδικὸν ὄνομα τυγχάνει τῆς ἁγίας ταύτης καὶ μητρὸς ἡμῶν ἁπάντων, ἥτις νύμφη μέν ἐστι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ· γέγραπται γὰρ, «Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς» (4), καὶ ὅλα τὰ ἑξῆς· τύπον δὲ ἔχει καὶ μίμημα τῆς ἄνω Ἱερουσαλὴμ, ἥτις «ἐλευθέρα ἐστὶ καὶ μήτηρ πάντων ἡμῶν (5)»· ἡ πρότερον μὲν στεῖρα, νῦν δὲ πολύτεκνος (6). Τῆς γὰρ πρώτης ἀποβληθείσης, ἐν τῇ δευτέρᾳ καθολικῇ Ἐκκλησίᾳ, καθὼς ὁ Παῦλός φησιν· «Ὁ Θεὸς ἔθετο πρῶτον Ἀποστόλους, δεύτερον προφήτας, τρίτον» διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα (7) χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν» (8), καὶ πάσης ἀρετῆς ἅπαν εἶδος· σοφίαν, λέγω, καὶ σύνεσιν, σωφροσύνην τε καὶ δικαιοσύνην, ἐλεημοσύνην τε καὶ φιλανθρωπίαν, καὶ ὑπομονὴν τὴν ἐν διωγμοῖς ἀκαταγώνιστον. Ἥτις «διὰ τῶν ὅπλων τῆς δικαιοσύ-

(1) Ἐκ τοῦ BT. — M, κατὰ διαφόρων
(2) Πράξ. Ἀποστόλ. ΙΘ', 41.
(3) Ψαλ. ΚΕ', 5.
(4) Πρὸς Ἐφεσ. Ε', 25.
(5) Πρὸς Γαλ. Δ', 26.
(6) Αὐτόθι, 27.
(7) Ἐν ἀμφοτέροις, BT καὶ M, ἔπειτα
(8) Α' πρὸς Κορινθ. ΙΒ', 28.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» νης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας » (1), πρότερον μὲν ἐν διωγμοῖς καὶ θλίψεσι, τοὺς ἁγίους μάρτυρας τοῖς τῆς ὑπομονῆς ποικίλοις καὶ πολυανθέσιν ἔστεψε στεφάνοις· νυνὶ δὲ ἐν καιροῖς εἰρήνης, Θεοῦ χάριτι, τὰ τῆς ὀφειλομένης ἔχει τιμῆς ὑπὸ βασιλέων, καὶ τῶν ἐν ὑπεροχαῖς ὄντων, καὶ παντὸς ἀνθρώπων εἴδους τε καὶ γένους, βασιλέων μὲν τῶν κατὰ τόπον ἐθνῶν (2), τῆς ἐξουσίας ὅρους ἐχόντων· μόνης [δὲ] τῆς ἁγίας καθολικῆς Ἐκκλησίας κατὰ τὴν οἰκουμένην πᾶσαν ἀπεριόριστον ἐχούσης τὴν δύναμιν· « Ἔθηκε γὰρ ὁ Θεὸς », κατὰ τὸ γεγραμμένον, « τὸ ὅριον αὐ» τῆς εἰρήνην » (3). Περὶ ἧς εἰ πάντα λέγειν ἐβουλόμην, χρεία ἂν εἴη μοι πλειόνων ὡρῶν εἰς διήγησιν.

ιγ'. Ἐν ταύτῃ τῇ ἁγίᾳ καθολικῇ Ἐκκλησίᾳ, διδασκόμενοί τε καὶ ἀναστρεφόμενοι καλῶς, τὴν οὐρανῶν βασιλείαν ἔξομεν, καὶ *ζωὴν αἰώνιον* κληρονομήσομεν, δι' ἣν καὶ πάντα κάμνομεν, ὅπως παρὰ τοῦ Κυρίου ταύτης ἀπολαύσωμεν. Οὐ γὰρ περὶ μικρῶν ἡμῖν ὁ σκοπὸς, ἀλλὰ περὶ ζωῆς αἰωνίου τὸ σπουδαζόμενον. Διό περ ἐν τῇ τῆς Πίστεως ἐπαγγελίᾳ διδασκόμεθα [μετὰ] τὸ, *καὶ εἰς σαρκὸς ἀνάστασιν*, τοῦτ' ἔστι τὴν τῶν νεκρῶν περὶ ἧς διελέχθημεν, πιστεύειν *καὶ εἰς ζωὴν αἰώνιον*, περὶ ἧς τοῖς Χριστιανοῖς ἡμῖν ἐστιν ὁ ἀγών. Ἡ μὲν οὖν ὄντως ζωὴ καὶ ἀληθῶς, ἐστὶν ὁ Πατὴρ, ὁ δι' Υἱοῦ τοῖς ἅπασιν, ἐν ἁγίῳ Πνεύματι, τὰς ἐπουρανίους πηγάζων δωρεάς· διὰ δὲ τὴν ἐκείνου φιλανθρωπίαν, καὶ ἡμῖν τοῖς ἀνθρώποις τὰ τῆς αἰωνίου ζωῆς ἀψευδῶς ἐπήγγελται. Οὐκ ἀπιστητέον δὲ τοῦτο εἶναι δυνατόν· οὐ γὰρ πρὸς τὴν ἡμετέραν ἀσθένειαν, ἀλλὰ πρὸς τὴν ἐκείνου δύναμιν ἀφορῶντας (4), πιστεύειν χρή· « Πάντα γὰρ δυ» νατὰ παρὰ τῷ Θεῷ » (5). Καὶ ὅτι γε δυνατόν ἐστι τοῦτο, καὶ ζωὴν αἰώνιον προσδοκῶμεν, λέγει μὲν Δανιὴλ (6)· « Καὶ ἀπὸ τῶν » δικαίων τῶν πολλῶν, ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας, καὶ ἔτι» (7).

(1) Β' πρὸς Κορινθ. ϛ', 7—8.
(2) Ἐκ τοῦ ΒΤ. — Μ, τῶν κατὰ τόπον τῶν ἐθνῶν,
(3) Ψαλμ. ΡΜΖ', 3.
(4) Ἐκ τοῦ ΒΤ. — Μ, ἀφορῶντες,
(5) Ματθ. ΙΘ', 26.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, λέγει μὲν καὶ Δανιήλ·
(7) Δανιὴλ ΙΒ', 3.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Φησὶ δὲ ὁ Παῦλος· « Καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα» (1)· τὸ γὰρ πάντοτε σὺν Κυρίῳ εἶναι, τὴν αἰώνιον ὑποσημαίνει ζωήν. Σαφέστατα δὲ καὶ ὁ Σωτὴρ ἐν Εὐαγγελίοις φησί· « Καὶ ἀπελεύ-» σονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώ-» νιον » (2). Καὶ πολλαὶ περὶ τῆς αἰωνίου ζωῆς εἰσιν αἱ ἀποδείξεις. Ἐπιθυμοῦσι δὲ ἡμῖν κτήσασθαι ταύτην τὴν αἰώνιον ζωὴν, αἱ θεῖαι Γραφαὶ τῆς κτήσεως ὑποτίθενται τοὺς τρόπους· ἐξ ὧν νῦν, διὰ τὸ τοῦ λόγου μῆκος, ὀλίγας μαρτυρίας (3) παραθησόμεθα, τὰς λοιπὰς τοῖς σπουδαίοις ἐρευνᾷν καταλιπόντες. Ποτὲ μὲν, ὅτι (4) διὰ πίστεως· γέγραπται γὰρ, « Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει » ζωὴν αἰώνιον» καὶ τὰ ἑξῆς (5). Καὶ πάλιν αὐτός φησιν· «Ἀμὴν, » λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμ-» ψαντί με, ἔχει ζωὴν αἰώνιον», καὶ τὰ ἑξῆς (6). Ποτὲ δὲ, ὅτι (7) δι' εὐαγγελικοῦ κηρύγματος· λέγει γὰρ ὅτι, « Καὶ ὁ θερίζων μι-» σθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον» (8). Ποτὲ δὲ, ὅτι (9) διὰ μαρτυρίου καὶ τῆς ἐν Χριστῷ ὁμολογίας· φησὶ γὰρ « Καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώ-» νιον φυλάξει αὐτήν » (10). Καὶ πάλιν, [ὅτι] διὰ τοῦ προκρίνειν χρημάτων τε καὶ γένους τὸν Χριστόν· « Καὶ πᾶς ὅστις ἀφῆκεν » ἀδελφοὺς ἢ ἀδελφὰς », καὶ τὰ ἑξῆς, « ζωὴν αἰώνιον κληρονομή-» σει» (11). Καὶ ὅτι διὰ τοῦ (12) τηρεῖν τὰς ἐντολάς· « Οὐ μοι-» χεύσεις, οὐ φονεύσεις» (13), καὶ τὰ λοιπὰ ἑξῆς· καθὼς ἀπεκρί-νατο τῷ προσελθόντι καὶ εἰπόντι, « Διδάσκαλε ἀγαθὲ, τί ποιή-» σω ἵνα ζωὴν αἰώνιον ἔχω (14);» Ἔτι μέν τοι καὶ διὰ τοῦ (15)

(1) Α' πρὸς Θεσσαλον. Δ', 16.
(2) Ματθ. ΚΕ', 46. (3) Μ, ὀλίγας τὰς μαρτυρίας
(4) Ἐκ τοῦ ΒΤ.—Μ, ὅτε
(5) Ἰωάν. Γ', 36.
(6) Ἰωάν. Ε', 24.
(7) Ἐκ τοῦ ΒΤ.—Μ, ὅτε
(8) Ἰωάν. Δ', 36.
(9) Ἐκ τοῦ ΒΤ.—Μ, ὅτε
(10) Ἰωάν. ΙΒ', 25.
(11) Ματθ. ΙΘ', 29.
(12) Ἐκ τοῦ ΒΤ—Μ, διὰ τὸ τηρεῖν
(13) Ματθ. ΙΘ', 18.
(14) Λυτόθι, 16. (15) Ἐκ τοῦ ΒΤ.—Μ, διὰ τὸ τῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν φαύλων μὲν ἀποστῆναι πράξεων, λοιπὸν δὲ Θεῷ δουλεύειν· φησὶ γὰρ ὁ Παῦλος, « Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, » δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ἡμῶν εἰς ἁγια- » σμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον » (1). Καὶ πολύτροπός ἐστιν, ἣν κατέλιπον διὰ τὸ πλῆθος, τῆς αἰωνίου ζωῆς ἡ εὕρεσις. Φιλάνθρωπος γὰρ ὢν ὁ Κύριος, οὐ μίαν, οὐδὲ δευτέραν μόνην, ἀλλὰ πολλὰς τῆς εἰσόδου (2) τῆς εἰς τὴν αἰώνιον ζωὴν ἀνέῳξε [τὰς] θύρας, πρὸς τὸ πάντας ἀπολαῦσαι, τὸ ὅσον ἐπ' αὐτῷ, ταύτης ἀκωλύτως. Ταῦτα ἡμῖν τέως καὶ περὶ τῆς αἰωνίου ζωῆς εἴρηται συμμέτρως, ἥτις ἐστὶ τῶν ἐπαγγελλομένων ἐν τῇ Πίστει τὸ τελευταῖον δίδαγμα, καὶ τέλος. Ἧς γένοιτο πάντας ἡμᾶς τούς τε διδάσκοντας καὶ τοὺς ἀκούοντας ἀπολαῦσαι, Θεοῦ χάριτι.

ιδ'. Λοιπὸν, ἀδελφοὶ ἀγαπητοὶ, παρακαλεῖ πάντας ὑμᾶς ὁ τῆς διδασκαλίας λόγος, ἑτοιμάζειν τὴν ψυχὴν πρὸς ὑποδοχὴν τῶν ἐπουρανίων χαρισμάτων. Περὶ μὲν οὖν τῆς παραδοθείσης ὑμῖν εἰς ἐπαγγελίαν ἁγίας καὶ Ἀποστολικῆς Πίστεως, ὅσας ἐγχωρεῖ Κατηχήσεις, διὰ τὴν τοῦ Κυρίου χάριν εἰρήκαμεν, ἐν ταῖς διελθούσαις ταύταις τῆς τεσσαρακοστῆς ἡμέραις. Οὐχ ὅτι ταῦτα μόνα εἰπεῖν ὠφείλομεν· πολλὰ γὰρ ἐστὶ τὰ παραλειφθέντα, καὶ μειζόνως ἴσως ὑπὸ τῶν καλλιόνων (3) διδασκάλων νοούμενα. Ἐνεστώσης δὲ λοιπὸν τῆς ἁγίας τοῦ Πάσχα ἡμέρας, καὶ τῆς ὑμετέρας ἐν Χριστῷ, διὰ λουτροῦ παλιγγενεσίας, ἀγάπης φωτιζομένης, διδαχθήσεσθε πάλιν τὰ πρέποντα, Θεοῦ θέλοντος, μεθ' ὅσης εὐσεβείας καὶ τάξεως εἰσελθεῖν χρὴ καλουμένους· τίνος δὲ ἕνεκεν ἐπιτελεῖται ἕκαστον τῶν ἁγίων τοῦ βαπτίσματος μυστηρίων· μεθ' ὅσης δὲ εὐλαβείας καὶ τάξεως, χρὴ ἀπὸ τοῦ βαπτίσματος πρὸς τὸ ἅγιον τοῦ Θεοῦ προσελεύσεσθαι θυσιαστήριον, καὶ τῶν αὐτόθι πνευματικῶν καὶ ἐπουρανίων ἀπολαβεῖν μυστηρίων· ἵνα τῆς ὑμετέρας (4) ψυχῆς διὰ τοῦ τῆς διδασκαλίας λόγου προφωτιζομένης, εἰς ἕκαστον γνωρίζηται τῶν ἐκ Θεοῦ δωρουμένων ὑμῖν χαρισμάτων τὸ

(1) Πρὸς Ῥωμ. ϛ', 22.
(2) Ἐκ τοῦ BT.—M, πολλὰς τὰς εἰσόδους τῆς κτλ.
(3) Ἐκ τοῦ BT.—M, καὶ μειζόνων ἴσως καὶ ὑπὸ τῶν καλλιόνων κτλ.
(4) Ἐκ τοῦ BT.—M, τῆς ἡμετέρας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μέγεθος. Μετὰ δὲ τὴν ἁγίαν καὶ σωτήριον τοῦ Πάσχα ἡμέραν, ἀπὸ τῆς δευτέρας τῶν Σαββάτων, εὐθὺς, καθ' ἑκάστην ἡμέραν ἐν ταῖς ἑξῆς ἑβδομάδος ἡμέραις μετὰ [τὴν] Σύναξιν εἰς τὸν ἅγιον τῆς Ἀναστάσεως τόπον εἰσερχόμενοι, Κατηχήσεων ἄλλων ἀκούσεσθε, Θεοῦ θέλοντος· ἐν αἷς πάλιν περὶ ἑκάστου τῶν γεγενημένων διδαχθήσεσθε τὰς αἰτίας· ἐκ παλαιᾶς δὲ καὶ καινῆς Διαθήκης λήψεσθε τὰς ἀποδείξεις. Πρῶτον μὲν, περὶ τῶν πρὸ τοῦ βαπτίσματος εὐθὺς γενομένων· ἔπειτα δὲ, πῶς ἐκαθαρίσθητε τῶν ἁμαρτιῶν ὑπὸ τοῦ Κυρίου, τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι (1)· καὶ ὅπως ἱερατικῶς τῆς Χριστοῦ προσηγορίας γεγόνατε κοινωνοί· καὶ ὅπως ἡ σφραγὶς ὑμῖν ἐδόθη τῆς κοινωνίας (2) τοῦ ἁγίου Πνεύματος· καὶ περὶ τῶν ἐν Θυσιαστηρίῳ τῆς καινῆς Διαθήκης μυστηρίων, ἃ τὴν ἀρχὴν ἐντεῦθεν εἴληφε· τίνα μὲν αἱ θεῖαι Γραφαὶ παραδεδώκασι, τίς δὲ ἡ τούτων δύναμις, καὶ ὅπως προσιέναι τούτοις καὶ πότε, καὶ πῶς ἔχειν χρή. Ἐπὶ τέλει δὲ πάντων, ὅπως ὑμᾶς εἰς τὸν ἐπιόντα χρόνον, ἔργοις τε καὶ λόγοις ἐπαξίως τῆς χάριτος ἀναστρέφειν δεῖ, πρὸς τὸ δυνηθῆναι πάντας ὑμᾶς ἀπολαῦσαι τῆς αἰωνίου ζωῆς. Καὶ ταῦτα μὲν, εἰ Θεὸς θέλει, λεχθήσεται.

ιέ. « Τὸ λοιπὸν, ἀδελφοὶ, χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν » ἐρῶ, χαίρετε » (3)· « Ἤγγικε γὰρ ἡ ἀπολύτρωσις ὑμῶν » (4), καὶ τὴν ἡμετέραν ἐκδέχεται σωτηρίαν ὁ τῶν ἀγγέλων ἐπουράνιος στρατός. Καὶ φωνὴ μὲν ἤδη « βοῶντος ἐν τῇ ἐρήμῳ Ἑτοιμάσατε » τὴν ὁδὸν τοῦ Κυρίου » (5). Βοᾷ δὲ ὁ προφήτης· « Οἱ διψῶντες » πορεύεσθε ἐφ' ὕδωρ »· καὶ εὐθὺς ἑξῆς· « Ἀκούσατέ μου καὶ φά » γεσθε τὰ ἀγαθὰ, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν » (6). Καὶ μετ' οὐ πολὺ, τῆς ἁγαθῆς ἀναγνώσεως ἀκούσεσθε λεγούσης· « Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς » (7).

---

(1) Πρὸς Ἐφεσ. Ε', 26.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἐκ τῆς κοινωνίας
(3) Πρὸς Φιλιππησ. Γ', 1· καὶ Δ', 4.
(4) Λουκ. ΚΑ', 28· καὶ Ματθ. Γ', 3.
(5) Ματθ. Γ', 3· καὶ Ἡσ. Μ', 3.
(6) Μ, ἡμῶν. — Ἡσ. ΝΕ', 1, 2.
(7) Ἡσ. Ξ', 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Περὶ ἧς Ἱερουσαλὴμ ὁ προφήτης εἶπε, « Καὶ μετὰ ταῦτα κλη-
» θήσῃ πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιών » (1), διὰ τὸν
ἐκ Σιὼν ἐξελθόντα νόμον, καὶ λόγον Κυρίου τὸν ἐξ Ἱερουσαλὴμ
(2), ὃς ἐντεῦθεν εἰς ἅπασαν τὴν οἰκουμένην ἐξώμβρησε. Πρὸς ἣν
καὶ ὁ προφήτης περὶ ὑμῶν φησιν· « Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς
» σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου » (3)· ἡ δὲ ἀποκρίνεται
λέγουσα· « Τίνες οἵ δε ὡς νεφέλαι πέτανται, καὶ ὡς περιστεραὶ σὺν
» νεοσσοῖς ἐπ' ἐμέ (4); » *νεφέλαι*, διὰ τὸ πνευματικόν· καὶ *περι-
στεραὶ*, διὰ τὸ ἀκέραιον. Καὶ πάλιν, « Τίς οἶδε τοιαῦτα, ἢ τίς
» ἑώρακεν οὕτως; εἰ ὤδινε [γῆ] ἐν μιᾷ ἡμέρᾳ, καὶ ἐτέχθη ἔθνος
» εἰς ἅπαξ; ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ παιδία αὐτῆς » (5). Χα-
ρᾶς δὲ ἀνεκλαλήτου τὰ πάντα πληρωθήσεται (6), διὰ τὸν εἰπόντα
Κύριον· « Ὅτι ἰδοὺ [ἐγὼ] ποιῶ Ἱερουσαλὴμ ἀγαλλίαμα, καὶ τὸν
» λαόν μου εὐφροσύνην » (7). Εἴη δὲ καὶ ἐφ' ὑμῖν λεχθῆναι καὶ
νῦν· « Εὐφράνθητε οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ »· [καὶ ἑξῆς·]
« Ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ
» λαοῦ αὐτοῦ παρεκάλεσε » (8). Ταῦτα δὲ ἔσται (6) διὰ τὴν τοῦ
Θεοῦ φιλανθρωπίαν, [τοῦ] πρὸς ὑμᾶς λέγοντος· « Ἰδοὺ ἀπαλείψω
» ὡς νεφέλην τὰς ἀνομίας σου, καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου »
(10). Ὑμεῖς δὲ (11) τοῦ ὀνόματος τῶν πιστῶν καταξιωθέντες, περὶ
ὧν γέγραπται « Τοῖς δουλεύουσί μοι κληθήσεται ὄνομα καινὸν, ὃ
» εὐλογηθήσεται ἐπὶ τῆς γῆς » (12), ἐρεῖτε μετ' εὐφροσύνης· « Εὐλο-
» γητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλο-
» γήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν

(1) Ἡσ. Α', 26.
(2) Ἡσ. Β', 3.
(3) Ἡσ. ΜΘ', 18.
(4) Ἡσ. Ξ', 8.
(5) Ἡσ. ΞϚ', 8.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, πληρώσεται,
(7) Ἡσ. ΞΕ', 18.
(8) Ἡσ. ΜΘ', 13.
(9) Ἐκ τοῦ ΒΤ.—Μ, Ταῦτα δέ ἐστι
(10) Ἡσ. ΜΔ', 22,
(11) Ἐκ τοῦ ΒΤ.—Μ, ὑμεῖς τε
(12) Ἡσ. ΞΕ', 16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» Χριστῷ· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, » τὴν ἄφεσιν τῶν παραπτωμάτων (1), κατὰ τὸν πλοῦτον τῆς » χάριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς» (2), καὶ τὰ ἑξῆς. Καὶ πάλιν· « Ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν αὐτοῦ » ἀγάπην, ἣν ἠγάπησεν ἡμᾶς, νεκροὺς ὄντας τοῖς παραπτώμασι, » συνεζωοποίησε τῷ Χριστῷ » (3), καὶ τὰ ἑξῆς. [Καὶ πάλιν] ὁμοίως τὸν τῶν ἀγαθῶν Κύριον αἰνέσατε, λέγοντες· « Ὅτε δὲ ἡ » χρηστότης καὶ ἡ φιλανθρωπία τοῦ Σωτῆρος [ἡμῶν] Θεοῦ ἐπε» φάνη· οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, » ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγε» νεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς » πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος (4) ἡμῶν, ἵνα δι» καιωθέντες τῇ ἐκείνου (5) χάριτι, κληρονόμοι γενώμεθα κα» τ' ἐλπίδα ζωῆς αἰωνίου» (6). Αὐτὸς δὲ « ὁ Θεὸς καὶ πατὴρ τοῦ » Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, δῴη ὑμῖν » πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτι» σμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας » (7)· καὶ διαφυλάξειεν ὑμᾶς διὰ παντὸς ἐν ἔργοις τε καὶ λόγοις καὶ νοήμασιν ἀγαθοῖς· ᾧ ἡ δόξα, τιμὴ καὶ κράτος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Ἐν ἀμφοτέροις, BT καὶ M, τῶν ἁμαρτημάτων,
(2) Πρὸς Ἐφες. Α', 3, 7 καὶ 8.
(3) Πρὸς Ἐφες. Β', 4—5.
(4) Ἐν ἀμφοτέροις, BT καὶ M, τοῦ Κυρίου ἡμῶν,
(5) Ὡσαύτως, αὐτόθ. τῇ αὐτοῦ
(6) Πρὸς Τίτ. Γ', 4, 5, 6, 7.
(7) Πρὸς Ἐφες. Α', 3, 17, 18.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ,

Ἀρχιεπισκόπου Ἱεροσολύμων,

ΜΥΣΤΑΓΩΓΙΚΟΙ ΛΟΓΟΙ

ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ ΠΕΝΤΕ.

ΜΥΣΤΑΓΩΓΙΚΗ Α΄. ΚΑΤΗΧΗΣΙΣ

ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ· *καὶ ἀνάγνωσις ἐκ τῆς Πέτρου Καθολικῆς πρώτης ἐπιστολῆς, ἀπὸ τοῦ «Νήψατε, γρηγορήσατε»* (1), *ἕως τέλους τῆς ἐπιστολῆς.*

ά. ΕΠΟΘΟΥΝ ὑμῖν καὶ πάλαι (2), ὦ γνήσια καὶ περιπόθητα τῆς Ἐκκλησίας τέκνα, περὶ τῶν πνευματικῶν τούτων καὶ ἐπουρανίων διαλεχθῆναι μυστηρίων. Ἀλλ' ἐπειδὴ σαφῶς ἐπιστάμην, ὅψιν ἀκοῆς πολλῷ πιστοτέραν εἶναι, ἀνέμενον τὸν παρόντα καιρὸν, ἵνα εὐπροσαγωγοτέρους ὑμᾶς περὶ τῶν λεγομένων ἐκ ταύτης λαβὼν τῆς πείρας (3), εἰς τὸν φωτεινότερον καὶ εὐωδέστερον λειμῶνα τοῦ παραδείσου χειραγωγήσω. Ἄλλως δὲ καὶ χωρητικοὶ τῶν θειοτέρων κατέστητε μυστηρίων, θείου καὶ ζωοποιοῦ βαπτίσματος ἀξιωθέντες. Ἐπεὶ τοίνυν λοιπὸν τῶν ἐντελεστέρων δεῖ μαθημάτων παρατιθέναι τράπεζαν, φέρε ταῦτα ὑμᾶς ἀκριβῶς παιδεύσωμεν, ἵνα εἰδῆτε τὴν ἔμφασιν τὴν πρὸς ἡμᾶς κατ' ἐκείνην γεγενημένην τοῦ βαπτίσματος τὴν ἐσπέραν.

β΄. Εἰσήειτε πρῶτον εἰς τὸν προαύλιον τοῦ βαπτιστηρίου οἶκον, καὶ πρὸς τὰς δυσμὰς ἑστῶτες ἠκούσατε καὶ προσετάττεσθε ἐκτείνειν τὴν χεῖρα· καὶ ὡς παρόντι ἀπετάττεσθε τῷ Σατανᾷ. Χρὴ δὲ τοῦτο ὑμᾶς εἰδέναι, ὅτι ἐν παλαιᾷ ἱστορίᾳ οὕτος (4) κεῖται ὁ τύπος. Ὅτε

(1) Α΄ Πέτρ. Ε΄, 8.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ὑμῖν πάλιν,
(3) Αὐτόθεν.—Μ, τῆς ἑσπέρας,
(4) Ἐκ τοῦ ΒΤ.—Μ, οὕτως

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ Φαραὼ, ὁ πικρότατος καὶ ὠμότατος τύραννος, κατέθλιβε τῶν Ἑβραίων τὸν ἐλεύθερον λαὸν καὶ εὐγενῆ, ὁ Θεὸς ἀπέστειλε τὸν Μωσῆν, ἐξάγειν αὐτοὺς ἐκ τῆς πονηρᾶς τῶν Αἰγυπτίων δουλείας. Καὶ αἵματι μὲν ἀρνοῦ ἐχρίοντο αἱ ῥλιαὶ, ἵνα ῥύγῃ (1) ὁ ὀλοθρεύων, τοὺς τὸ σημεῖον ἔχοντας τοῦ αἵματος οἴκους· παραδόξως δὲ ἠλευθεροῦτο ὁ τῶν Ἑβραίων λαός. Ἐπειδὴ δὲ [καὶ] ἐλευθερωθέντας ὁ ἐχθρὸς κατεδίωξε, καὶ παραδόξως εἶδε τὴν θάλασσαν αὐτοῖς τεμνομένην· ὅμως ἐχώρει, ἴχνη ἴχνεσι συμβάλλων, καὶ παραχρῆμα ὑποβρύχιος ἐγένετο, καταποντούμενος ἐν θαλάσσῃ Ἐρυθρᾷ (2). Μετάβηθί μοι λοιπὸν ἀπὸ τῶν παλαιῶν ἐπὶ τὰ νέα, ἀπὸ τοῦ τύπου ἐπὶ τὴν ἀλήθειαν. Ἐκεῖ Μωσῆς εἰς Αἴγυπτον ἀπὸ τοῦ Θεοῦ πεμπόμενος· ἐνταῦθα Χριστὸς ἐκ τοῦ Πατρὸς εἰς τὸν κόσμον ἀποστελλόμενος. Ἐκεῖ, ἵνα ἐξαγάγῃ λαὸν ἐξ Αἰγύπτου θλιβόμενον· ὧδε Χριστὸς, ἵνα ῥύσηται τοὺς ἐν τῷ κόσμῳ ὑπὸ τῆς ἁμαρτίας καταπονουμένους (3). Ἐκεῖ αἷμα ἀρνοῦ, ὀλοθρευτοῦ ἦν ἀποτρόπαιον· ἐνταῦθα τοῦ ἀρνοῦ τοῦ ἀμώμου Ἰησοῦ Χριστοῦ τὸ αἷμα, δαιμόνων καθέστηκε φυγαδευτήριον (4). Ἐκεῖνος ὁ τύραννος κατεδίωκεν ἕως θαλάσσης τὸν παλαιὸν ἐκεῖνον λαόν· καὶ σοὶ ὁ ἰταμὸς, ὁ ἀναίσχυντος καὶ ἀρχέκακος οὗτος δαίμων, ἕως αὐτῶν ἀκολούθει τῶν σωτηρίων ναμάτων. Ἐκεῖνος ὑποβρύχιος γέγονεν ἐν θαλάσσῃ· καὶ οὗτος ἐν τῷ σωτηρίῳ ὕδατι ἀφανίζεται. Ἀλλ' ὅμως ἀκούεις, τεταμένῃ τῇ χειρὶ ὡς πρὸς παρόντα εἰπεῖν· *Ἀποτάσσομαί σοι, Σατανᾶ.* Βούλομαι (5), καὶ τίνος ἕνεκεν ἵστασθε πρὸς δυσμὰς, εἰπεῖν· ἀναγκαῖον γάρ. Ἐπειδὴ τοῦ φαινομένου σκότους τόπος (6) αἱ δυσμαί· ἐκεῖνος δὲ σκότος τυγχάνων, ἐν σκότῳ ἔχει καὶ τὸ κράτος· τούτου χάριν συμβολικῶς πρὸς δυσμὰς ἀποβλέποντες, ἀποτάσσεσθε τῷ σκοτεινῷ ἐκείνῳ καὶ ζοφερῷ ἄρχοντι. Τί οὖν ὑμῶν ἕκαστος ἑστὼς ἔλεγεν; *Ἀποτάσσομαί σοι, Σατανᾶ*, σοὶ τῷ πονηρῷ καὶ ὠμοτάτῳ τυράννῳ. Οὐκ ἔτι σου δέδοικα, λέγων, τὴν ἰσχύν· κατέλυσε

(1) Ἐκ τοῦ ΒΤ.—Μ, φυγῇ
(2) Ἐξόδ. ΙΔ', 49—30.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, καταποντουμένους,
(4) Α' Πέτρ. Α', 19.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, βουλόμενος,
(6) Αὐτόθεν. — Μ, τύπος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ ταύτην Χριστὸς, αἵματός μοι καὶ σαρκὸς κοινωνήσας, ἵνα διὰ τούτων τῶν παθημάτων καταργήσῃ θανάτῳ τὸν θάνατον· ὅπως μὴ διὰ παντὸς ἔνοχος γένωμαι δουλείας (1). *Ἀποτάσσομαί σοι* τῷ δολερῷ καὶ πανουργοτάτῳ ὄφει. *Ἀποτάσσομαί σοι* ἐπιβούλῳ ὄντι, καὶ προσποιήσει φιλίας πράξαντι πᾶσαν παρανομίαν, καὶ ἐμποιήσαντι τοῖς ἡμετέροις προγόνοις ἀποστασίαν. *Ἀποτάσσομαί σοι, Σατανᾶ*, τῷ πάσης κακίας δημιουργῷ καὶ συνεργῷ.

γ'. Εἶτα ἐν δευτέρᾳ λέξει μανθάνεις λέγειν· *Καὶ πᾶσι τοῖς ἔργοις σου.* Ἔργα δὲ τοῦ Σατανᾶ, πᾶσά ἐστιν ἡ ἁμαρτία, ᾗ καὶ ἀποτάσσεσθαι ἀναγκαῖον· ὡσεὶ καὶ τύραννόν τις ἀπορυγὼν, πάντως [που] καὶ τὰ τούτου ὅπλα ἀπέφυγε. Πᾶσα οὖν κατ' εἶδος ἁμαρτία ἐγκατείλεκται τοῖς τοῦ διαβόλου ἔργοις. Πλὴν τοῦτο ἴσθι, ὅτι ὅσα λέγεις, μάλιστα κατ' ἐκείνην τὴν φρικωδεστάτην ὥραν, ἔγγραφά ἐστι [ἐν] τοῖς τοῦ Θεοῦ βιβλίοις. Ἐπειδὰν τοίνυν ἐναντίον τι διαπραττόμενος τούτοις ᾖς, ὡς παραβάτης κριθήσῃ. Ἀποτάσσῃ τοίνυν τοῖς ἔργοις τοῦ Σατανᾶ, πάσαις, φημὶ, πράξεσι καὶ ἐννοίαις παρὰ λόγον γενομέναις.

δ'. Εἶτα λέγεις· *Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ.* Πομπὴ δὲ διαβόλου ἐστὶ θεατρομανίαι, καὶ ἱπποδρομίαι, κυνηγεσία καὶ πᾶσα τοιαύτη ματαιότης, ἧς εὐχόμενος ἐλευθερωθῆναι ὁ ἅγιος, τῷ Θεῷ λέγει· «Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιό-» τητα» (2). Μὴ περισπούδαστός σοι ἔστω ἡ θεατρομανία, ἔνθα τὰς ἀσελγείας τῶν μίμων ὄψει, ὕβρεσι πεπραγμένας καὶ πάσῃ ἀσχημοσύνῃ, ἐκτεθηλυσμένων τε ἀνδρῶν ἐμμανεῖς ὀρχήσεις. Μήτε ἡ (3) τῶν ἐν κυνηγίοις ἑαυτοὺς θηρίοις ἐκδιδόντων (4), ἵνα τὴν ἀθλίαν κολακεύσωσι γαστέρα· οἳ, ἵνα κοιλίαν τροφαῖς θεραπεύσωσιν, αὐτοὶ γαστρὸς ἀτιθάσσων ἀληθῶς τροφὴ γίνονται θηρίων. Ἵνα δὲ δικαίως εἴπω, ὑπὲρ οἰκείου θεοῦ τῆς κοιλίας (5), τὴν ἑαυτῶν ζωὴν κατὰ κρημνῶν μονομαχοῦσι. Φεῦγε καὶ τὰς ἱπποδρομίας, τὸ ἐμμανὲς θέαμα, καὶ ψυχὰς ἐκτραχηλίζον. Ταῦτα γὰρ πάντα πομπήεσι τοῦ διά-

(1) Πρὸς Ἑβρ. Β', 15. (2) Ψαλ. ΡΙΗ', 37.
(3) Νοητέον ἴσως· μανία τῶν κτλ.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, Μήτε τοὺς ἐν κυνηγίοις ἑαυτοὺς θηρίοις ἐκδιδόντας,
(5) Πρὸς Φιλιππησ. Γ', 19.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βόλου. Ἀλλὰ καὶ τὰ ἐν εἰδωλικαῖς πανηγύρεσι κρεμώμενα ἔσθ' ὅτε κρέα, ἢ ἄρτοι, ἢ ἄλλα τοιαῦτα, μιανθέντα τῇ τῶν παμμιάρων ἐπικλήσει δαιμόνων, τῇ τοῦ διαβόλου πομπῇ ἐγκαταλέγεται. Ὥσπερ γὰρ ὁ ἄρτος καὶ ὁ οἶνος τῆς εὐχαριστίας, πρὸ τῆς ἁγίας ἐπικλήσεως τῆς προσκυνητῆς Τριάδος, ἄρτος ἦν καὶ οἶνος λιτός· ἐπικλήσεως δὲ γενομένης, ὁ μὲν ἄρτος γίνεται σῶμα Χριστοῦ, ὁ δὲ οἶνος, αἷμα Χριστοῦ· τὸν αὐτὸν δὴ τρόπον τὰ τοιαῦτα βρώματα τῆς πομπῆς τοῦ Σατανᾶ, τῇ ἰδίᾳ φύσει λιτὰ ὄντα, τῇ ἐπικλήσει τῶν δαιμόνων βέβηλα γίνεται.

ε. Μετὰ ταῦτα λέγεις· *Καὶ πάσῃ τῇ λατρείᾳ σου.* Λατρεία δέ ἐστι διαβόλου ἡ ἐν εἰδωλείοις εὐχή· τὰ πρὸς τιμὴν γινόμενα τῶν ἀψύχων εἰδώλων· τὸ ἅπτειν λύχνους, ἢ θυμιᾶν παρὰ πηγὰς ἢ ποταμούς, ὥς τινες ἀπ' ὀνειράτων ἢ ἐκ δαιμόνων ἀπατηθέντες, ἐπὶ τούτους διέβησαν, οἰόμενοι καὶ σωματικῶν παθῶν τὴν ἴασιν εὑρήσειν, ἢ τοιαῦτα· μὴ τοίνυν αὐτὰ μετέλθῃς. Οἰωνοσκοπία, μαντεία, κληδονισμοί, ἢ περιάμματα, ἢ ἐν πετάλοις ἐπιγραφαί, μαγεῖαι, ἢ ἄλλαι κακοτεχνίαι, καὶ ὅσα τοιαῦτα, λατρεῖαί εἰσι διαβόλου. Φεῦγε οὖν ταῦτα. Ἐὰν γὰρ τούτοις ὑποπέσῃς, μετὰ τὴν ἀπόταξιν τοῦ Σατανᾶ καὶ τὴν πρὸς τὸν Χριστὸν σύνταξιν, πικροτέρου πειρασθήσῃ (1) τοῦ τυράννου· ἴσως ὡς οἰκεῖον περιέποντος πάλαι, ᾧ τῆς πικρᾶς ἀνιέντος σε δουλείας, νῦν δὲ σφόδρα παρὰ σοῦ καταπικρανθέντος· καὶ τοῦ Χριστοῦ σεργηθήσῃ, κἀκείνου πειρασθήσῃ. Οὐκ ἤκουσας παλαιᾶς ἱστορίας, τὰ περὶ τοῦ Λὼτ ἡμῖν καὶ τῶν τούτου θυγατέρων διηγουμένης (2); Οὐχὶ αὐτὸς μὲν σέσωσται μετὰ τῶν θυγατέρων, ἐπειδὴ τὸ ὄρος κατείληφεν, ἡ δὲ τούτου γυνὴ *στήλη γέγονεν ἁλὸς*, ἐστηλιτευμένη δι' αἰῶνος (3), ἔχουσα τῆς πονηρᾶς προαιρέσεως καὶ ὑποστροφῆς τὴν μνήμην; Πρόσεχε τοίνυν σεαυτῷ, καὶ μὴ στρέφου πάλιν εἰς τὰ ὀπίσω (4), βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον (5), καὶ στρέφων πάλιν εἰς τὴν ἁλμυρὰν τοῦ βίου τούτου πρᾶξιν·

(1) Ἐκ τοῦ ΒΤ.—Μ, πειραθείσῃ
(2) Γενέσ. ΙΘ', 15—30.
(3) Αὐτόθ. 26.
(4) Δευτερονόμ. Δ', 23.
(5) Λουκ. Θ', 62.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλὰ φεῦγε εἰς τὸ ὄρος (1), πρὸς Ἰησοῦν Χριστὸν, τὸν τμηθέντα λίθον ἄνευ χειρῶν (2), καὶ τὴν οἰκουμένην πληρώσαντα.

ς'. Ὅτε οὖν τῷ Σατανᾷ ἀποτάττῃ, πᾶσαν τὴν πρὸς αὐτὸν πάντως διαθήκην λύσας, τὰς παλαιὰς πρὸς τὸν ᾅδην συνθήκας (3), ἀνοίγεταί σοι ὁ παράδεισος τοῦ Θεοῦ, ὃν ἐφύτευσε κατὰ ἀνατολὰς (4), ὅθεν διὰ τὴν παράβασιν ἐξόριστος γέγονεν ὁ ἡμέτερος προπάτωρ (5). Καὶ τούτου σύμβολον, τὸ στραφῆναί σε ἀπὸ δυσμῶν πρὸς ἀνατολὴν, τοῦ φωτὸς τὸ χωρίον. Τότε σοι ἐλέγετο εἰπεῖν· *Πιστεύω εἰς τὸν Πατέρα, καὶ εἰς τὸν Υἱὸν, καὶ εἰς τὸ ἅγιον Πνεῦμα, καὶ εἰς ἓν βάπτισμα μετανοίας.* Περὶ ὧν ἐν ταῖς προτέραις Κατηχήσεσιν, ὡς τοῦ Θεοῦ χάρις ἔδωκεν, ἐν πλάτει σοι εἴρηται. Τούτοις οὖν ἀσφαλιζόμενος τοῖς λόγοις, νῆφε. Ὁ γὰρ ἀντίδικος ἡμῶν διάβολος, καθὼς ἀρτίως ἀνέγνωσται, « Ὡς λέων ὠ- » ρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ » (6). Ἀλλ' ἐν μὲν τοῖς πρὸ τούτου χρόνοις « κατέπιεν ὁ θάνατος ἰσχύσας » · ἐπὶ δὲ τοῦ ἁγίου τῆς παλιγγενεσίας λουτροῦ, « ἀφεῖλεν ὁ Θεὸς πᾶν δά- » κρυον ἀπὸ παντὸς προσώπου » (7). Οὐκ ἔτι γὰρ πενθήσεις, ἐνδεδυμένος τὸν παλαιὸν ἄνθρωπον· ἀλλὰ πανηγυρίσεις, ἐνδεδυμένος τὸ ἱμάτιον σωτηρίου (8) Ἰησοῦν Χριστόν (9). Καὶ ταῦτα ἐν τῷ ἐξωτέρῳ ἐγίνετο οἴκῳ. Θεοῦ δὲ θέλοντος, ὅταν ἐν ταῖς ἑξῆς μυσταγωγίαις εἰς τὰ ἅγια τῶν ἁγίων εἰσέλθωμεν, ἐκεῖ εἰσόμεθα τῶν αὐτόθι ἐπιτελουμένων τὰ σύμβολα. Τῷ δὲ Θεῷ Πατρὶ ἡ δόξα, κράτος, μεγαλωσύνη, σὺν Υἱῷ καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Γενέσ. ΙΘ', 17.
(2) Δανιὴλ Β', 34, 35, 45.
(3) Ἡσ. ΚΗ', 15.
(4) Γενέσ. Β', 8.
(5) Γενέσ. Γ', 23—24.
(6) Α' Πέτρ. Ε', 8.
(7) Ἡσ. ΚΕ', 8.
(8) Ἡσ. ΞΑ', 10.
(9) Ἐκ τοῦ ΒΤ.—Μ, Ἰησοῦ Χριστοῦ. (Βλ. Πρὸς Ῥωμ. ΙΓ', 14.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΑΤΗΧΗΣΙΣ ΜΥΣΤΑΓΩΓΙΚΗ Β'.

ΠΕΡΙ ΒΑΠΤΙΣΜΑΤΟΣ· *καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς ἀπὸ τοῦ «Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν » εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτί- » σθημεν;» ἕως τοῦ, « Οὐ γὰρ ἐστὲ ὑπὸ νόμον, » ἀλλ' ὑπὸ χάριν »* (1).

ά. ΧΡΗΣΙΜΑΙ ἡμῖν αἱ καθ' ἡμέραν μυσταγωγίαι, καὶ διδασκαλίαι καινότεραι, καινοτέρων οὖσαι πραγμάτων ἀπαγγελτικαὶ, καὶ μάλιστα ὑμῖν τοῖς ἀνακαινισθεῖσιν ἀπὸ παλαιότητος εἰς καινότητα. Διὰ τοῦτο ἀναγκαίως ὑμῖν παραθήσομαι τὰ ἐξῆς τῆς χθεσινῆς μυσταγωγίας, ἵνα μάθητε τίνων ἦν σύμβολα, τὰ ἐφ' ὑμῶν ἐν τῷ ἐσωτέρῳ οἴκῳ γενόμενα.

β'. Εὐθὺς οὖν εἰσελθόντες, ἀπεδύεσθε τὸν χιτῶνα· καὶ τοῦτο ἦν εἰκὼν τοῦ τὸν παλαιὸν ἄνθρωπον ἀποδύεσθαι σὺν ταῖς πράξεσιν (2). Ἀποδυθέντες, γυμνοὶ ἦτε, μιμούμενοι καὶ ἐν τούτῳ τὸν ἐπὶ σταυροῦ γυμνωθέντα Χριστὸν, καὶ τῇ γυμνότητι *ἀπεκδυσάμενον τὰς Ἀρχὰς καὶ τὰς Ἐξουσίας, καὶ μετὰ παῤῥησίας ἐν τῷ ξύλῳ θριαμβεύσαντα* (3). Ἐπειδὴ γὰρ τοῖς μέλεσι τοῖς ὑμετέροις (4) ἐνεφώλευον αἱ ἀντικείμεναι δυνάμεις, οὐκ ἔτι φορεῖν ὑμῖν ἔξεστι τὸν παλαιὸν ἐκεῖνον χιτῶνα. Οὐ τοῦτον πάντως λέγω τὸν αἰσθητόν· ἀλλὰ « τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον ἐν ταῖς ἐπιθυ- » μίαις τῆς ἀπάτης » (5). Ὃν μὴ εἴη πάλιν ἐνδύσασθαι τῇ ἅπαξ τοῦτον ἀποδυσαμένῃ ψυχῇ, ἀλλὰ λέγειν κατὰ τὴν ἐν τῷ Ἄσματι τῶν Ἀσμάτων τοῦ Χριστοῦ νύμφην· « Ἐξεδυσάμην τὸν χιτῶνά » μου, πῶς ἐνδύσομαι αὐτόν (6); » Ὢ θαυμασίου πράγματος! γυμνοὶ ἦτε ἐν ὄψεσι πάντων, καὶ οὐκ ᾐσχύνεσθε. Ἀληθῶς γὰρ μίμημα ἐφέρετε [τοῦ] πρωτοπλάστου Ἀδάμ, ὃς ἐν τῷ παραδείσῳ γυμνὸς ἦν καὶ οὐκ ᾐσχύνετο (7).

---

(1) Πρὸς Ῥωμ. Ϛ', 3—14.
(2) Πρὸς Κολοσ. Γ', 9.
(3) Πρὸς Κολοσ. Β', 15.
(4) Ἐκ τοῦ ΒΤ.—Μ, τοῖς ἡμετέροις
(5) Πρὸς Ἐφεσ. Δ', 22.
(6) Ἄσμ. Ἀσμ. Ε', 3. (7) Γενέσ. Β', 25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γ'. Εἶτα ἀποδυθέντες, ἐλαίῳ ἠλείφεσθε ἐπορκιστῷ, ἀπ' ἄκρων τριχῶν κορυφῆς ἕως τῶν κάτω· καὶ κοινωνοὶ ἐγένεσθε τῆς καλλιελαίου, Ἰησοῦ Χριστοῦ. Ἐκκοπέντες γὰρ ἐκ τῆς ἀγριελαίου, ἐνεκεντρίζεσθε εἰς τὴν καλλιέλαιον, καὶ κοινωνοὶ ἐγίνεσθε τῆς πιότητος τῆς ἀληθινῆς ἐλαίας (1). Τὸ οὖν ἐπορκιστὸν ἔλαιον, σύμβολον ἦν τῆς κοινωνίας τῆς πιότητος τοῦ Χριστοῦ, φυγαδευτήριον τυγχάνον παντὸς ἴχνους ἀντικειμένης ἐνεργείας. Ὥσπερ γὰρ τὰ ἐμφυσήματα τῶν ἁγίων, καὶ ἡ τοῦ ὀνόματος τοῦ Θεοῦ ἐπίκλησις, ὥσπερ σφοδροτάτη φλὸξ, καίει καὶ ἐκδιώκει δαίμονας· οὕτω καὶ τὸ ἐπορκιστὸν τοῦτο ἔλαιον, ἐπικλήσει Θεοῦ καὶ εὐχῇ δύναμιν τηλικαύτην λαμβάνει, ὥστε οὐ μόνον καῖον τὰ ἴχνη τῶν ἁμαρτημάτων ἀποκαθαίρειν (2), ἀλλὰ καὶ πάσας ἀοράτους τοῦ πονηροῦ ἐκδιώκειν τὰς δυνάμεις.

δ'. Μετὰ ταῦτα, ἐπὶ τὴν ἁγίαν τοῦ θείου βαπτίσματος ἐχειραγωγεῖσθε κολυμβήθραν, ὡς ὁ Χριστὸς ἀπὸ τοῦ σταυροῦ ἐπὶ τὸ προκείμενον μνῆμα. Καὶ ἠρωτᾶτο ἕκαστος εἰ πιστεύει εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· καὶ ὡμολογήσατε τὴν σωτήριον ὁμολογίαν, καὶ κατεδύσετε τρίτον εἰς τὸ ὕδωρ, καὶ πάλιν ἀνεδύσετε· καὶ ἐνταῦθα, διὰ συμβόλου τὴν τριήμερον τοῦ Χριστοῦ αἰνιττόμενοι ταφήν. Καθάπερ γὰρ ὁ Σωτὴρ ἡμῶν τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐν τῇ κοιλίᾳ τῆς γῆς ἐποίησεν (3), οὕτω καὶ ἡμεῖς ἐν τῇ πρώτῃ ἀναδύσει, τὴν πρώτην ἐμιμεῖσθε τοῦ Χριστοῦ ἐν τῇ γῇ ἡμέραν, καὶ τῇ καταδύσει τὴν νύκτα. Ὡς περ γὰρ ὁ ἐν νυκτὶ, οὐκ ἔτι βλέπει· ὁ δὲ ἐν ἡμέρᾳ, ἐν φωτὶ διάγει· οὕτως ἐν τῇ καταδύσει, ὡς ἐν νυκτὶ οὐδὲν ἑωρᾶτε· ἐν δὲ τῇ ἀναδύσει πάλιν, ὡς ἐν ἡμέρᾳ ἐτυγχάνετε ὄντες· καὶ ἐν τῷ αὐτῷ ἀπεθνήσκετε καὶ ἐγεννᾶσθε· καὶ τὸ σωτήριον ἐκεῖνο ὕδωρ, καὶ τάφος ὑμῖν ἐγίνετο καὶ μήτηρ. Καὶ ὅπερ Σολομὼν ἐπὶ ἄλλων εἴρηκε, τοῦτο ἁρμόσαι ἂν ὑμῖν. Ἐκεῖ μὲν γὰρ ἔλεγε· «Καιρὸς τοῦ » τεκεῖν, καὶ καιρὸς τοῦ ἀποθανεῖν » (4)· ἐφ' ὑμῶν δὲ τὸ ἀνάπα-

(1) Πρὸς Ῥωμ. ΙΑ', 17, 24.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἀποκαθαίρει·
(3) Ματθ. ΙΒ', 40.
(4) Ἐκκλησιαστ. Γ', 2.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λιν, καιρὸς τοῦ ἀποθανεῖν καὶ καιρὸς τοῦ γεννηθῆναι. Καὶ εἷς καιρὸς ἀμφοτέρων τούτων ποιητικός· καὶ σύνδρομος ἐγίνετο τῷ θανάτῳ ἡ γέννησις ἡ ὑμετέρα.

έ. Ὦ ξένου καὶ παραδόξου πράγματος! Οὐκ ἀληθῶς ἀπεθάνομεν, οὐδ' ἀληθῶς ἐτάφημεν, οὐδ' ἀληθῶς σταυρωθέντες ἀνέστημεν· ἀλλ' ἐν εἰκόνι ἡ μίμησις, ἐν ἀληθείᾳ δὲ ἡ σωτηρία. Χριστὸς ὄντως ἐσταυρώθη, καὶ ὄντως ἐτάφη, καὶ ἀληθῶς ἀνέστη· καὶ πάντα ἡμῖν ταῦτα κεχάρισται, ἵνα τῇ μιμήσει τῶν παθημάτων αὐτοῦ κοινωνήσαντες, ἀληθείᾳ τὴν σωτηρίαν κερδήσωμεν. Ὦ φιλανθρωπίας ὑπερβαλλούσης! Χριστὸς [ἐδέξατο] ἐπὶ τῶν ἀχράντων αὐτοῦ χειρῶν καὶ ποδῶν ἧλους, [καὶ ἤλγησε· καί μοι ἀναλγητι καὶ ἀπονητι, διὰ τῆς τοῦ ἄλγους κοινωνίας,] χαρίζεται τὴν σωτηρίαν (1). Μηδεὶς οὖν νομιζέτω τὸ βάπτισμα, ἀφέσεως ἁμαρτιῶν μόνον, ἀλλὰ καὶ υἱοθεσίας χάριν τυγχάνειν· ὡς τὸ Ἰωάννου ἐτύγχανε βάπτισμα, μόνης ἀφέσεως ἁμαρτιῶν παρεκτικόν· ἀλλὰ ἀκριβῶς εἰδότων ἡμῶν, ὅτι ὡς ἔστιν ἁμαρτημάτων καθαρτήριον, καὶ Πνεύματος ἁγίου δωρεᾶς πρόξενον, οὕτω καὶ τῶν τοῦ Χριστοῦ παθημάτων ἀντίτυπον. Διὰ τοῦτο γὰρ καὶ Παῦλος ἀρτίως βοῶν ἔλεγεν· «Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι » ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβα» πτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς » τὸν θάνατον » (2). Ταῦτα ἔλεγε πρὸς διατεθέντας, ὡς ἀφέσεως ἁμαρτημάτων καὶ υἱοθεσίας προξενητικὸν τὸ βάπτισμα, οὐκ ἔτι δὲ καὶ τῶν ἀληθινῶν τοῦ Χριστοῦ παθημάτων ἐν μιμήσει ἔχει τὴν κοινωνίαν.

ς'. Ἵνα οὖν μάθωμεν, ὅτι ὅσα ὁ Χριστὸς ὑπέμεινε, δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν ἐν ἀληθείᾳ καὶ οὐκ ἐν δοκήσει ταῦτα πέπονθε, καὶ ἡμεῖς κοινωνοὶ αὐτοῦ τῶν παθημάτων γινόμεθα, μετὰ πάσης ἐβόα Παῦλος τῆς ἀκριβείας· « Εἰ γὰρ σύμφυτοι γεγόναμεν » τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως » ἐσόμεθα » (3). Καλῶς δὲ καὶ τὸ *σύμφυτοι*· ἐπειδὴ γὰρ ἐνταῦθα

(1) Ἐκ τοῦ ΒΤ.—Μ, Χριστὸς ἐπὶ τῶν ἀχράντων αὐτοῦ χειρῶν καὶ ποδῶν ἧλους λαμβάνει, καὶ διὰ τοῦ ἄλγους χαρίζεται τὴν κτλ.

(2) Πρὸς Ῥωμ. ς', 3—4.

(3) Πρὸς Ῥωμ. ς', 5.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πεφύτευται ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ἡμεῖς κοινωνίᾳ τοῦ βαπτίσματος τοῦ θανάτου, σύμφυτοι αὐτοῦ γεγόναμεν. Ἐπίστησον δὲ μετὰ πολλῆς προσοχῆς τὸν νοῦν τοῖς τοῦ Ἀποστόλου λόγοις· οὐκ εἶπεν, *Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ θανάτῳ, ἀλλὰ, τῷ ὁμοιώματι τοῦ θανάτου.* Ἀληθῶς γὰρ ἐπὶ Χριστοῦ θάνατος· ἀληθῶς γὰρ ἐχωρίζετο (1) τοῦ σώματος ἡ ψυχή. Καὶ ἀληθινὴ ταφή· *ἐν σινδόνι γὰρ καθαρᾷ* τὸ ἅγιον αὐτοῦ σῶμα εἰλεῖτο (2)· καὶ πάντα ἀληθῶς ἐν αὐτῷ συνέβαινεν. Ἐπὶ δὲ ὑμῶν, θανάτου μὲν καὶ παθημάτων ὁμοίωμα· σωτηρίας δὲ οὐχ ὁμοίωμα, ἀλλὰ ἀλήθεια. Ταῦτα διδαχθέντες αὐτάρκως, κατέχετε διὰ τῆς μνήμης, παρακαλῶ· ἵνα κἀγὼ ὁ ἀνάξιος ἐπὶ ὑμῶν λέγω, « Ἀγαπῶ δὲ ὑμᾶς, ὅτι πάν» τοτέ μου μέμνησθε, καὶ τὰς παραδόσεις ἃς παρέδωκα ὑμῖν κα» τέχετε » (3). Δυνατὸς δέ ἐστιν ὁ Θεὸς παραστῆσαι ὑμᾶς *ὡς ἐκ νεκρῶν ζῶντας* (4), δοῦναι ὑμῖν *ἐν καινότητι ζωῆς περιπατεῖν* (5)· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΥΣΤΑΓΩΓΙΚΗ Γ'.

ΠΕΡΙ ΧΡΙΣΜΑΤΟΣ· *καὶ ἀνάγνωσις ἐκ τῆς Ἰωάννου Καθολικῆς πρώτης ἐπιστολῆς, ἀπὸ τοῦ « Καὶ ὑμεῖς χρί» σμα ἔχετε ἀπὸ τοῦ Θεοῦ, καὶ οἴδατε πάντα »· ἕως [τοῦ] « Καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐπὶ » τῇ παρουσίᾳ αὐτοῦ »* (6).

ά. ΕΙΣ Χριστὸν βεβαπτισμένοι καὶ Χριστὸν ἐνδυσάμενοι (7), σύμμορφοι γεγόνατε τοῦ υἱοῦ τοῦ Θεοῦ (8). Προορίσας γὰρ ἡμᾶς

(1) Ἐκ τοῦ ΒΤ.—Μ, θάνατος ἀληθής· ἐχωρίζετο γὰρ τοῦ σώματος κτλ.
(2) Ματθ. ΚΖ', 59.
(3) Α' πρὸς Κορινθ. ΙΑ', 2.
(4) Πρὸς Ῥωμ. Ϛ', 13.
(5) Αὐτόθι, 4.
(6) Α' Ἰωάν. Β', 20, 28.
(7) Πρὸς Γαλάτ. Γ', 27.
(8) Πρὸς Ῥωμ. Η', 29.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ Θεὸς εἰς υἱοθεσίαν (1), συμμόρφους ἐποίησε τοῦ σώματος τῆς δόξης τοῦ Χριστοῦ (2). Μέτοχοι οὖν τοῦ Χριστοῦ γενόμενοι (3), χριστοὶ εἰκότως καλεῖσθε· καὶ περὶ ὑμῶν ἔλεγεν ὁ Θεός· « Μὴ ἅψα» σθε τῶν χριστῶν μου » (4). Χριστοὶ δὲ γεγόνατε, τοῦ ἁγίου Πνεύματος τὸ ἀντίτυπον δεξάμενοι, καὶ πάντα (5) εἰκονικῶς ἐφ' ὑμῶν γεγένηται, ἐπειδὴ εἰκόνες ἐστὲ Χριστοῦ. Κἀκεῖνος μὲν [ἐν] Ἰορδάνῃ λουσάμενος ποταμῷ, καὶ τῶν χρώτων (6) τῆς θεότητος μεταδοὺς τοῖς ὕδασιν, ἀνέβαινεν ἐκ τούτων· καὶ Πνεύματος ἁγίου οὐσιώδης ἐπιφοίτησις αὐτῷ ἐγίνετο, τῷ ὁμοίῳ ἐπαναπαυομένου τοῦ ὁμοίου. Καὶ ὑμῖν ὁμοίως ἀναβεβηκόσιν ἀπὸ τῆς κολυμβήθρας τῶν ἱερῶν νομάτων, ἐδόθη χρίσμα, τὸ ἀντίτυπον οὗ ἐχρίσθη Χριστός. Τοῦτο δέ ἐστι τὸ ἅγιον Πνεῦμα· περὶ οὗ καὶ ὁ μακάριος Ἡσαΐας, ἐν τῇ κατ' αὐτὸν προφητείᾳ, ἐκ προσώπου τοῦ Κυρίου ἔλεγε· « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι » πτωχοῖς ἀπέσταλκέ με » (7).

Ϛ'. Ἐλαίῳ γὰρ ἢ μύρῳ σωματικῷ Χριστὸς ὑπ' ἀνθρώπων οὐκ ἐχρίσθη, ἀλλ' ὁ Πατὴρ αὐτὸν Σωτῆρα προχειρισάμενος τοῦ παντὸς κόσμου, Πνεύματι ἔχρισεν ἁγίῳ, ὡς Πέτρος φησίν· « Ἰησοῦν τὸν ἀπὸ » Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς Πνεύματι ἁγίῳ » (8). Καὶ [ὁ Δαβὶδ] ὁ προφήτης ἐβόα λέγων· « Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶ» νος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας » δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς » ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου » (9). Καὶ ὥς περ ὁ Χριστὸς ἀληθῶς ἐσταυροῦτο, καὶ ἐθάπτετο, καὶ ἐγείρετο· ὑμεῖς δὲ κατὰ τὸ βάπτισμα, ἐν ὁμοιώματι καὶ συσταυρωθῆναι, καὶ συνταφῆναι, καὶ συναναστῆναι αὐτῷ καταξιοῦσθε· οὗ-

(1) Πρὸς Ἐφεσ. Α', 5.
(2) Πρὸς Φιλιππησ. Γ', 21.
(3) Πρὸς Ἑβρ. Γ', 14.
(4) Ψαλμ. ΡΔ', 15.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, καὶ πάντως
(6) Αὐτόθεν.—Μ, καὶ τῶν φώτων
(7) Ἡσ. ΞΑ', 1.
(8) Πράξ. Ἀποστόλ. Γ', 38.
(9) Ψαλμ. ΜΔ', 7—8.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τω καὶ ἐπὶ τοῦ χρίσματος. Ἐκεῖνος ἐλαίῳ νοητῷ ἀγαλλιάσεως ἐχρίετο, τοῦτ' ἔστι Πνεύματι ἁγίῳ, *ἀγαλλιάσεως* καλουμένῳ *ἐλαίῳ*, διὰ τὸ αἴτιον αὐτὸ τῆς πνευματικῆς τυγχάνειν ἀγαλλιάσεως· ὑμεῖς δὲ μύρῳ ἐχρίσθητε, κοινωνοὶ καὶ μέτοχοι τοῦ Χριστοῦ γενόμενοι.

Γ'. Ἀλλ' ὅρα μὴ ὑπονοήσῃς ἐκεῖνο τὸ μύρον ψιλὸν εἶναι. Ὡς περ γὰρ (1) ὁ ἄρτος τῆς Εὐχαριστίας, μετὰ τὴν ἐπίκλησιν τοῦ ἁγίου Πνεύματος, οὐκ ἔτι ἄρτος λιτὸς, ἀλλὰ σῶμα Χριστοῦ· οὕτω καὶ τὸ ἅγιον τοῦτο μύρον, οὐκ ἔτι ψιλὸν, οὐδ' ὡς ἂν εἴποι τις κοινὸν μετ' ἐπίκλησιν· ἀλλὰ Χριστοῦ χάρισμα, καὶ Πνεύματος ἁγίου, παρουσίᾳ τῆς αὐτοῦ θεότητος ἐνεργητικὸν γινόμενον. Ὅπερ συμβολικῶς ἐπὶ μετώπου, καὶ τῶν ἄλλων σου χρίεται αἰσθητηρίων. Καὶ τῷ μὲν φαινομένῳ μύρῳ τὸ σῶμα χρίεται, τῷ δὲ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι ἡ ψυχὴ ἁγιάζεται. Καὶ πρῶτον ἐχρίεσθε ἐπὶ τὸ μέτωπον, ἵνα ἀπαλλαγῆτε τῆς αἰσχύνης, ἣν ὁ πρῶτος παραβάτης ἄνθρωπος πανταχοῦ περιέφερε (2)· καὶ ἵνα ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν [Κυρίου] κατοπτρίζησθε (3). Εἶτα, ἐπὶ τὰ ὦτα· ἵνα προσλάβητε τὰ ἀκουστικὰ τῶν θείων μυστηρίων ὦτα, περὶ ὧν Ἡσαΐας ἔλεγε· « Καὶ προσέθηκέ μοι Κύριος ὠτίον τοῦ ἀκούειν » (4). [Καὶ ὁ Κύριος] Ἰησοῦς (5) ἐν Εὐαγγελίοις· « Ὁ ἔχων ὦτα ἀ- » κούειν, ἀκουέτω » (6). Εἶτα, ἐπὶ τὴν ὄσφρησιν· ὅπως τοῦ θείου ἀντιλαμβανόμενοι μύρου, λέγητε· « Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ » ἐν τοῖς σωζομένοις » (7). Μετὰ ταῦτα, ἐπὶ τὰ στήθη· ἵνα ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, στῆτε πρὸς τὰς μεθοδείας τοῦ διαβόλου (8). Ὡς περ γὰρ ὁ Χριστὸς μετὰ τὸ βάπτισμα καὶ τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν, ἐξελθὼν κατηγωνίσατο τὸν ἀντικείμενον (9), οὕτω καὶ ὑμεῖς μετὰ τὸ ἱερὸν βάπτισμα καὶ τὸ

(1) Ἐκ τοῦ ΒΤ.— Μ, ὥσπερ κ α ὶ
(2) Γενέσ. Γ', 7—8.
(3) Β' πρὸς Κορινθ. Γ', 18.
(4) Ἡσ. Ν', 4.
(5) Ἐκ τοῦ ΒΤ.—Μ, Ὁ Ἰησοῦς
(6) Ματθ. ΙΑ', 15.
(7) Β' Πρὸς Κορινθ. Β', 15.
(8) Πρὸς Ἐφες. Τ', 11, 14.
(9) Ματθ. Δ', 1 κ' ἑπόμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μυστικὸν χρίσμα, ἐνδεδυμένοι τὴν πανοπλίαν τοῦ ἁγίου Πνεύματος (1), ἵστασθε πρὸς τὴν ἀντικειμένην δύναμιν, καὶ ταύτην καταγωνίζεσθε λέγοντες· » Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ » (2).

δ'. Τούτου τοῦ ἁγίου χρίσματος καταξιωθέντες, καλεῖσθε Χριστιανοί, ἐπαληθεύοντες τῇ ἀναγεννήσει καὶ τὸ ὄνομα. Πρὸ γὰρ τοῦ καταξιωθῆναι ὑμᾶς ταύτης τῆς χάριτος, ταύτης τῆς προσηγορίας κυρίως οὐκ ἦτε ἄξιοι, ἀλλ' ὁδεύοντες προεβαίνετε (3) εἰς τὸ εἶναι Χριστιανοί. Εἰδέναι δὲ ὑμᾶς ἀναγκαῖον, ὅτι τοῦ χρίσματος τούτου ἐν παλαιᾷ Γραφῇ τὸ σύμβολον κεῖται. Καὶ γὰρ ὁπηνίκα [τὸ] τοῦ Θεοῦ πρόσταγμα Μωσῆς τῷ ἀδελφῷ μετεδίδου, ἀρχιερέα καθιστῶν τοῦτον· μετὰ τὸ ἐν ὕδατι λούσασθαι ἔχρισε (4)· καὶ ἐκαλεῖτο Χριστὸς (5), ἐκ τοῦ χρίσματος δηλαδὴ τοῦ τυπικοῦ. Οὕτω καὶ τὸν Σολομῶνα προάγων εἰς βασιλέα, ἔχρισεν αὐτὸν, μετὰ τὸ λούσασθαι ἐν τῷ Γειών, ὁ ἀρχιερεύς (6). Ἀλλὰ ταῦτα μὲν ἐκείνοις συνέβαινε τυπικῶς· ὑμῖν δὲ οὐ τυπικῶς, ἀλλ' ἀληθῶς· ἐπειδὴ ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐχρίσθε ἀληθῶς. Ἡ ἀρχὴ τῆς ὑμετέρας σωτηρίας ὁ Χριστός· ἐκεῖνος γὰρ ἀληθῶς ἀπαρχὴ, καὶ ὑμεῖς τὸ φύραμα· *εἰ δὲ ἡ ἀπαρχὴ ἁγία*, δῆλον ὅτι μεταδώσεται ἐπὶ τὸ φύραμα ἡ ἁγιότης (7).

ε. Τοῦτο φυλάξατε ἄσπιλον· πάντων γὰρ ἔσται τοῦτο διδακτικὸν, εἰ ἐν ὑμῖν μένοι, καθὼς ἀρτίως ἠκούσατε τοῦ μακαρίου Ἰωάννου λέγοντος, καὶ πολλὰ περὶ τούτου τοῦ χρίσματος φιλοσοφοῦντος (8), ἔστι γὰρ τοῦτο [τὸ] ἅγιον, πνευματικὸν σώματος φυλακτήριον καὶ ψυχῆς σωτήριον. Τοῦτο ἐκ παλαιῶν χρόνων ὁ μακάριος Ἡσαΐας προφητεύων ἔλεγε· « Καὶ ποιήσει Κύριος πᾶσι [τοῖς] ἔθνεσιν, ἐπὶ » τὸ ὄρος τοῦτο» (9)· (ὄρος δὲ καλεῖ τὴν Ἐκκλησίαν καὶ ἀλλαχοῦ,

(1) Πρὸς Ἐφες. ς', 11.
(2) Πρὸς Φιλιππησ. Δ', 13.
(3) Ἐκ τοῦ ΒΤ.—Μ, προβαίνετε
(4) Λευϊτ. Η', 6 κ' ἑπόμ.
(5) Λευϊτ. Δ', 5.
(6) Γ' Βασιλ. Α', 38—45.
(7) Πρὸς Ῥωμ. ΙΑ', 16.
(8) Α' Ἰωάν. Β', 27.
(9) Ἡσ. ΚΕ', 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὡς ὅταν λέγῃ· « Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ » ὄρος Κυρίου (1).» « Πίονται οἶνον, πίονται εὐφροσύνην, χρίσονται » μύρον (2).» Καὶ ἵνα ἀσφαλίσηταί σε, ἄκουε ἃ περὶ τούτου τοῦ μύρου, ὡς μυστικοῦ, φησί· « Παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν· » ἡ γὰρ βουλὴ τοῦ Κυρίου ἐπὶ πάντα τὰ ἔθνη » (3). Τούτῳ οὖν χρισθέντες τῷ ἁγίῳ μύρῳ, τηρήσατε αὐτὸ ἄσπιλον καὶ ἄμωμον ἐν ὑμῖν, δι' ἔργων ἀγαθῶν προκόπτοντες, καὶ εὐάρεστοι γενόμενοι τῷ ἀρχηγῷ τῆς σωτηρίας ὑμῶν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΥΣΤΑΓΩΓΙΚΗ Δ'.

ΠΕΡΙ ΣΩΜΑΤΟΣ ΚΑΙ ΑΙΜΑΤΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ· *καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους πρώτης* (4) *ἐπιστολῆς· « Ἐγὼ γὰρ » παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν. » [καὶ τὰ ἑξῆς]* (5).

ά. ΚΑΙ αὕτη (6) τοῦ μακαρίου Παύλου ἡ διδασκαλία ἱκανὴ καθέστηκε πληροφορῆσαι ὑμᾶς περὶ τῶν θείων μυστηρίων, ὧν καταξιωθέντες, σύσσωμοι καὶ σύναιμοι τοῦ Χριστοῦ γεγόνατε. Αὐτὸς γὰρ ἀρτίως ἔφη, « Ὅτι ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο ὁ Κύριος ἡ- » μῶν (7) Ἰησοῦς Χριστὸς, λαβὼν ἄρτον καὶ εὐχαριστήσας, ἔκλα- » σε καὶ ἔδωκε τοῖς ἑαυτοῦ μαθηταῖς, λέγων· Λάβετε, φάγετε, » τοῦτό μου ἐστὶ τὸ σῶμα. Καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστή- » σας, εἶπε· Λάβετε, πίετε, τοῦτό μου ἐστὶ τὸ αἷμα » (8). Αὐτοῦ οὖν ἀποφηναμένου, καὶ εἰπόντος περὶ τοῦ ἄρτου· *Τοῦτό μου ἐστὶ*

---

(1) Ἡσ. Β', 2. (2) Ἡσ. ΚΕ', 6.
(3) Ἡσ. ΚΕ', 7.
(4) Τὴν λέξιν π ρ ώ τ η ς, ἐξ ἀμφοτέρων (ΒΤ καὶ Μ) λείπουσαν, προσέθηκα.—Ἐν τῷ ΒΤ, Π α ύ λ ο υ ἐπιστολῆς.
(5) Α' πρὸς Κορινθ. ΙΑ', 23.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, Καὶ α ὐ τ ὴ
(7) Αὐτόθεν.—Μ, ὑμῶν
(8) Α' πρὸς Κορινθ. ΙΑ', 23—25.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ σῶμα, τίς τολμήσει ἀμφιβάλλειν λοιπόν; Καὶ αὐτοῦ βεβαιωσαμένου καὶ εἰρηκότος· *Τοῦτό μου ἐστὶ τὸ αἷμα*, τίς ἐνδοιάσει ποτὲ, λέγων μὴ εἶναι αὐτοῦ τὸ αἷμα; Τὸ ὕδωρ ποτὲ εἰς οἶνον μεταβέβληκεν, οἰκεῖον αἵματι (1), ἐν Κανᾷ τῆς Γαλιλαίας (2)· καὶ οὐκ ἀξιόπιστός ἐστιν οἶνον μεταβαλὼν εἰς αἷμα; Εἰς γάμον σωματικὸν κληθεὶς, ταύτην ἐθαυματούργησε τὴν παραδοξοποιΐαν· καὶ *τοῖς υἱοῖς τοῦ νυμφῶνος* (3) οὐ πολλῷ μᾶλλον τὴν ἀπόλαυσιν τοῦ σώματος αὐτοῦ (4) καὶ τοῦ αἵματος δωρησάμενος ὁμολογηθήσεται; Ὥστε μετὰ πάσης πληροφορίας, ὡς σώματος καὶ αἵματος μεταλαμβάνωμεν Χριστοῦ. Ἐν τύπῳ γὰρ ἄρτου δίδοταί σοι τὸ σῶμα· καὶ ἐν τύπῳ οἴνου δίδοταί σοι τὸ αἷμα· ἵνα γένῃ, μεταλαβὼν σώματος καὶ αἵματος Χριστοῦ, σύσσωμος καὶ σύναιμος αὐτοῦ. Οὕτω γὰρ καὶ Χριστοφόροι γινόμεθα, τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος εἰς τὰ ἡμέτερα ἀναδιδομένου μέλη· οὕτω κατὰ τὸν μακάριον Πέτρον, *θείας κοινωνοὶ φύσεως* γινόμεθα (5). Ποτὲ Χριστὸς τοῖς Ἰουδαίοις διαλεγόμενος, ἔλεγεν· « Ἐὰν μὴ φάγητέ μου τὴν » σάρκα, καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς » (6). Ἐκεῖνοι μὴ ἀκηκοότες πνευματικῶς τῶν λεγομένων, σκανδαλισθέντες, ἀπῆλθον εἰς τὰ ὀπίσω, νομίζοντες ὅτι ἐπὶ σαρκοφαγίαν αὐτοὺς προτρέπεται (7).

Ε'. Ἦσαν καὶ ἐν παλαιᾷ Διαθήκῃ ἄρτοι *προθέσεως* (8)· ἀλλ' ἐκεῖνοι παλαιᾶς ὄντες Διαθήκης, τέλος εἰλήφασιν. Ἐν δὲ τῇ καινῇ Διαθήκῃ, ἄρτος οὐράνιος καὶ *ποτήριον σωτηρίου* (9), ψυχὴν καὶ σῶμα ἁγιάζοντα. Ὡς περ [γὰρ] ὁ ἄρτος σώματι κατάλληλος· οὕτω καὶ ὁ Λόγος τῇ ψυχῇ ἁρμόδιος. Μὴ πρόσεχε οὖν ὡς ψιλοῖς τῷ ἄρτῳ καὶ τῷ οἴνῳ· σῶμα γὰρ καὶ αἷμα Χριστοῦ, κατὰ τὴν δεσποτικὴν τυγχάνει ἀπόφασιν. Εἰ γὰρ καὶ ἡ αἴσθησίς σοι τοῦτο ὑποβάλλει,

(1) Ἐκ τοῦ ΒΤ.—Μ, εἰς οἶνον μεταβέβληκεν, ἐν Κανᾷ τῆς Γαλιλαίας, οἰκείῳ νεύματι,— (Σημ. Τοῖς περὶ τοῦ Χριστοῦ προφητεύθεῖσι μᾶλλον συνᾴδουσαν, καὶ διὰ τοῦτο ὀρθοτέραν, ἔκρινα τὴν τοῦ ΒΤ γραφήν. Βλ. Γενές. ΜΘ', 11· καὶ Ἡσ. ΞΓ', 1 κ' ἑπομ.)

(2) Ἰωάν. Β', 1—10. (3) Ματθ. Θ', 15.

(4) Μ, αὐτὸς αὐτοῦ (5) Β' Πέτρ. Α', 4.

(6) Ἰωάν. Τ', 53· (7) Ἰωάν. Τ', 60—67.

(8) Ἐξόδ. ΚΘ', 32.—Λευϊτ. Η', 31—32· καὶ ΚΔ', 5—9. (9) Ψαλμ. ΡΙΕ', 4.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλὰ ἡ πίστις σε βεβαιούτω. Μὴ ἀπὸ τῆς γεύσεως κρίνῃς τὸ πρᾶγμα, ἀλλ' ἀπὸ τῆς πίστεως πληροφοροῦ ἀνενδοιάστως, σώματος καὶ αἵματος Χριστοῦ καταξιωθείς. Καὶ ὑπαγορεύσει σοι Δαβὶδ ὁ μακάριος τὴν δύναμιν, λέγων· « Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν » ἐξ ἐναντίας τῶν θλιβόντων με » (1). Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· Πρὸ τῆς σῆς παρουσίας, τράπεζαν οἱ δαίμονες τοῖς ἀνθρώποις ἡτοίμασαν, ἠλισγημένην (2) καὶ μεμιασμένην, καὶ διαβολικῆς πεπληρωμένην δυνάμεως· ἀλλὰ μετὰ τὴν σὴν παρουσίαν, ὦ δέσποτα, ἡτοίμασας ἐνώπιόν μου τράπεζαν. Ὅταν ὁ ἄνθρωπος λέγῃ Θεῷ, *Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν*, τί ἄλλο σημαίνει, ἢ τὴν μυστικὴν καὶ νοητὴν τράπεζαν, ἣν ὁ Θεὸς ὑμῖν ἡτοίμασεν ἐξ ἐναντίας, ἀντὶ τοῦ ἐκ τοῦ ἐναντίου, καὶ ἀντικειμένως τοῖς δαίμοσι; Καὶ μάλα εἰκότως. Ἐκείνη μὲν γὰρ κοινωνίαν ἔσχε δαιμόνων, αὕτη δὲ κοινωνίαν Θεοῦ. « Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου » (3). Ἐλαίῳ ἐλίπανέ σου τὴν κεφαλὴν ἐπὶ μετώπου, διὰ τὴν σφραγῖδα ἣν ἔχεις τοῦ Θεοῦ, ἵνα γένῃ *ἐκτύπωμα σφραγῖδος, ἁγίασμα Θεοῦ* (4)· « Καὶ τὸ ποτήριόν σου μεθύσκον με, ὡσεὶ κράτιστον » (5). Ὁρᾷς ἐνταῦθα ποτήριον λεγόμενον, ὃ λαβὼν (6) Ἰησοῦς μετὰ χεῖρας, καὶ εὐχαριστήσας, εἶπε· «Τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ ὑπὲρ » πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν» (7). Διὰ τοῦτο καὶ ὁ Σολομὼν ταύτην αἰνιττόμενος τὴν χάριν, ἐν τῷ Ἐκκλησιαστῇ λέγει· « Δεῦρο, φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σου » (τὸν πνευματικὸν ἄρτον. *Δεῦρο*, καλεῖ τὴν σωτήριον μακαριοποιὸν κλῆσιν.), « Καὶ πῖε » τὸν οἶνόν σου ἐν καρδίᾳ ἀγαθῇ, » (τὸν πνευματικὸν οἶνον). Καὶ « ἔλαιον ὑπὲρ κεφαλῆς σου ἐκχείσθω»· (ὁρᾷς αὐτὸν, καὶ τὸ μυστικὸν αἰνιττόμενον χρίσμα) « Καὶ διὰ παντὸς ἔστω σου τὰ ἱμάτια » λευκὰ, ὅτι εὐδόκησε Κύριος τὰ ποιήματά σου » (8). Πρὶν γὰρ

(1) Ψαλμ. ΚΒ΄, 5.
(2) Μαλαχ. Α΄, 7.
(3) Ψαλμ. ΚΒ΄, 5.
(4) Ἐξόδ. ΚΗ΄, 36.
(5) Ψαλμ. ΚΒ΄, 5.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, ὁ λαβὼν
(7) Ματθ. Κϛ΄, 28.
(8) Ἐκκλησιαστ. Θ΄, 7 καὶ 8.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσέλθῃς τῇ χάριτι, *ματαιότης ματαιοτήτων* (1) ἦν τὰ ποιήματά σου. Ἀποδυσάμενον (2) δὲ τὰ παλαιὰ ἱμάτια, καὶ ἐνδυσάμενον τὰ πνευματικῶς λευκὰ (3), χρὴ λευχειμονεῖν διὰ παντός. Οὐ πάντως τοῦτο λέγομεν, ὅτι σε δεῖ λευκὰ ἱμάτια προβεβλῆσθαι ἀεί, ἀλλὰ τὰ ὄντως λευκὰ καὶ λαμπρὰ καὶ πνευματικά, ἀναγκαῖόν ἐστι περιβεβλῆσθαι, ἵνα λέγῃς κατὰ τὸν μακάριον Ἡσαΐαν, «Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ μοι» (4).

γ'. Ταῦτα μαθών, καὶ πληροφορηθείς, ὡς ὁ φαινόμενος ἄρτος οὐκ ἄρτος ἐστὶν, εἰ καὶ τῇ γεύσει αἰσθητὸς, ἀλλὰ σῶμα Χριστοῦ· καὶ ὁ φαινόμενος οἶνος οὐκ οἶνός ἐστιν, εἰ καὶ ἡ γεῦσις τοῦτο βούλεται, ἀλλὰ αἷμα Χριστοῦ· καὶ ὅτι περὶ τούτου ἔλεγε πάλαι ὁ Δαβὶδ ψάλλων, «Καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει, τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ» (5)· στηρίζου τὴν καρδίαν, μεταλαμβάνων αὐτοῦ ὡς πνευματικοῦ· καὶ ἱλάρυνον τὸ τῆς ψυχῆς σου πρόσωπον. Ὃ γένοιτό σε ἀνακεκαλυμμένον ἔχοντα ἐν καθαρᾷ συνειδήσει, τὴν δόξαν Κυρίου κατοπτριζόμενον, ἔρχεσθαι ἀπὸ δόξης εἰς δόξαν (6), ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ τιμὴ, καὶ κράτος, καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ΜΥΣΤΑΓΩΓΙΚΗ Ε'.

Ἐκ τῆς Πέτρου καθολικῆς πρώτης (7) *ἐπιστολῆς·* «*Διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ πάντα δόλον καὶ καταλαλιὰν,* » *καὶ τὰ ἑξῆς* (8)·

ά. ΤΗ τοῦ Θεοῦ φιλανθρωπίᾳ, ἐν ταῖς προλαβούσαις Συνάξεσιν,

(1) Ἐκκλησιαστ. Α', 2.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἀποδυσάμενος..., καὶ ἐνδυσάμενος
(3) Αὐτοθ.—Μ, τὰ πνευματικὰ λευκὰ, (4) Ἡσ. ΞΑ', 10.
(5) Ψαλμ. ΡΓ', 15.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, ἐν καθαρᾷ συνειδήσει τεθεᾶσθαι αὐτοῦ τὴν δόξαν Κυρίου κατοπτριζομένην, ἐργάζεσθαι ἀπὸ δόξης εἰς δόξαν κτλ.
(7) Τὴν λέξιν πρώτης, ἐξ ἀφαιρέσεων (ΒΤ. καὶ Μ) λείπουσαν, προσέθηκα.
8) Α' Πέτρ. Β', 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀρκούντως ἀκηκόατε περί τε (1) βαπτίσματος, καὶ χρίσματος, καὶ μεταλήψεως σώματος καὶ αἵματος Χριστοῦ. Νῦν δὲ ἐπὶ τὰ ἑξῆς μεταβαίνειν ἀναγκαῖον, σήμερον τὴν στεφάνην ἐπιθήσοντας τῇ πνευματικῇ ὑμῶν τῆς ὠφελείας οἰκοδομῇ. Ἑωράκατε τοίνυν τὸν διάκονον τὸν νίψασθαι διδόντα τῷ ἱερεῖ, καὶ τοῖς κυκλοῦσι τὸ θυσιαστήριον τοῦ Θεοῦ πρεσβυτέροις. Οὐ πάντως δὲ ἐδίδου διὰ τὸν σωματικὸν ῥύπον. Οὐκ ἔστι τοῦτο· οὔτε γὰρ ῥύπον σώματος ἔχοντες, τὴν ἀρχὴν εἰσήειμεν εἰς τὴν Ἐκκλησίαν. Ἀλλὰ σύμβολόν ἐστι τοῦ δεῖν ὑμᾶς καθαρεύειν πάντων ἁμαρτημάτων καὶ ἀνομημάτων, τὸ νίψασθαι. Ἐπειδὴ γὰρ αἱ χεῖρες σύμβολον πράξεως, νίψασθαι ταύτας, τὸ καθαρὸν δηλονότι καὶ ἄμωμον τῶν πράξεων αἰνιττόμεθα. Οὐκ ἤκουσας τοῦ μακαρίου Δαβὶδ, αὐτὸ τοῦτο μυσταγωγοῦντος καὶ λέγοντος· « Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς » μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε » (2); Οὐκοῦν τὸ νίψασθαι τὰς χεῖρας, τοῦ ἀνυπεύθυνον εἶναι ἁμαρτήμασι σύμβολόν ἐστιν.

Εἶτα βοᾷ ὁ διάκονος· *Ἀλλήλους ἀπολάβετε, καὶ ἀλλήλους ἀσπαζώμεθα.* Μὴ ὑπολάβῃς τὸ φίλημα ἐκεῖνο, σύνηθες εἶναι τοῖς ἐπ' ἀγορᾶς γινομένοις ὑπὸ τῶν κοινῶν φίλων. Οὐκ ἔστι τοίνυν τοιοῦτον τὸ φίλημα· ἀνακίρνησι τὰς ψυχὰς ἀλλήλαις, καὶ πᾶσαν ἀμνησικακίαν αὐταῖς μνηστεύεται. Σημεῖον τοίνυν ἐστὶ τὸ φίλημα τοῦ ἀνακραθῆναι τὰς ψυχὰς, καὶ πᾶσαν ἐξορίζειν μνησικακίαν. Διὰ τοῦτο ὁ Χριστὸς ἔλεγεν· « Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ » θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ » σοῦ, ἄφες τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ὕπαγε πρῶτον » καὶ διαλλάγηθι τῷ ἀδελφῷ σου· καὶ τότε προσελθὼν πρόσφερε τὸ » δῶρόν σου » (3). Οὐκοῦν τὸ φίλημα διαλλαγή ἐστι, καὶ διὰ τοῦτο ἅγιον· ὥς που ὁ μακάριος Παῦλος ἐβόα, λέγων· « Ἀσπάσα- » σθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ » (4)· καὶ Πέτρος, « Ἐν φιλή- » ματι ἀγάπης » (5).

(1) Ἐκ τοῦ ΒΤ.—Μ, περὶ τοῦ
(2) Ψαλμ. ΚΕ', 6.
(3) Ματθ. Ε', 23—24.
(4) Α' πρὸς Κορινθ. ΙΣ', 20.
(5) Α' Πέτρ. Ε', 14.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γ'. Μετὰ τοῦτο βοᾷ ὁ ἱερεύς· *Ἄνω τὰς καρδίας.* Ἀληθῶς γὰρ, κατ' ἐκείνην τὴν φρικωδεστάτην ὥραν, δεῖ ἄνω ἔχειν τὴν καρδίαν πρὸς τὸν Θεὸν, καὶ μὴ κάτω περὶ τὴν γῆν καὶ τὰ γήϊνα πράγματα. Δυνάμει τοίνυν ὁ ἱερεὺς προστάττει, κατ' ἐκείνην τὴν ὥραν, πάντας ἀφιέναι φροντίδας βιωτικὰς, μεριμνας τὰς κατ' οἶκον, καὶ ἔχειν ἐν οὐρανῷ τὴν καρδίαν πρὸς τὸν φιλάνθρωπον [Θεόν]. Εἶτα ἀποκρίνεσθε, *Ἔχομεν πρὸς τὸν Κύριον·* τούτῳ συγκατατιθέμενοι δι' ὧν ὁμολογεῖτε. Μηδεὶς δὲ τοιοῦτος παρέστω, ὡς στόματι μὲν λέγειν, *Ἔχομεν πρὸς τὸν Κύριον·* τῇ δὲ διανοίᾳ, περὶ τὰς βιωτικὰς ἔχειν τὸν νοῦν φροντίδας. Πάντοτε μὲν οὖν Θεοῦ μνημονευτέον· εἰ δὲ τοῦτο διὰ τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην ἀδύνατον, κατ' ἐκείνην μάλιστα τὴν ὥραν τοῦτο φιλοτιμητέον.

δ'. Εἶτα ὁ ἱερεὺς λέγει· *Εὐχαριστήσωμεν τῷ Κυρίῳ.* Ὄντως γὰρ εὐχαριστεῖν ὀφείλομεν, ὅτι ἀναξίους ὄντας ἡμᾶς ἐκάλεσεν εἰς τὴν τηλικαύτην χάριν· ὅτι ἐχθροὺς ὄντας ἡμᾶς, κατήλλαξεν (1)· ὅτι Πνεύματος υἱοθεσίας κατηξίωσεν (2). Εἶτα λέγετε· *Ἄξιον καὶ δίκαιον.* Εὐχαριστοῦντες γὰρ ἡμεῖς, ἄξιον ποιοῦμεν πρᾶγμα καὶ δίκαιον· αὐτὸς δὲ οὐ δίκαιον, ἀλλ' ὑπὲρ τὸ δίκαιον ποιῶν, ἡμᾶς (3) εὐηργέτησε, καὶ τηλικούτων ἠξίωσεν ἀγαθῶν.

ε'. Μετὰ ταῦτα, μνημονεύομεν οὐρανοῦ, καὶ γῆς, καὶ θαλάσσης· ἡλίου καὶ σελήνης· ἄστρων, καὶ πάσης κτίσεως λογικῆς τε καὶ ἀλόγου, ὁρατῆς τε καὶ ἀοράτου· Ἀγγέλων, Ἀρχαγγέλων, Δυνάμεων, Κυριοτήτων, Ἀρχῶν, Ἐξουσιῶν, Θρόνων, τῶν Χερουβὶμ τῶν πολυπροσώπων (4)· [δυνάμει] λέγοντες τὸ τοῦ Δαβὶδ, « Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί » (5). Μνημονεύομεν καὶ τῶν Σεραφὶμ (6), ἃ ἐν Πνεύματι ἁγίῳ ἐθεάσατο Ἡσαΐας, παρεστηκότα κύκλῳ τοῦ θρόνου τοῦ Θεοῦ, καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτοντα

(1) Πρὸς Ῥωμ. Ε', 10.

(2) Πρὸς Ῥωμ. Η', 15.

(3) Ἐκ τοῦ ΒΤ.—Μ, ὑμᾶς

(4) Ἐκ τοῦ ΒΤ.—Μ, τῶν Χερουβὶμ τῶν τὸ πρόσωπον δυνάμει καλυπτόντων,—(Βλ. Ἰεζεκ. Α', 6 καὶ Γ', 21.)

(5) Ψαλμ. ΛΓ', 4.

(6) Ἐκ τοῦ ΒΤ.—Μ, Μνημονεύομεν οὖν καὶ τῶν Χερουβὶμ,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ πρόσωπον, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα· καὶ λέγοντα, *Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ* (1). Διὰ τοῦτο γὰρ τὴν παραδοθεῖσαν ἡμῖν ἐκ τῶν Σεραφὶμ θεολογίαν ταύτην λέγομεν, ὅπως κοινωνοὶ τῆς ὑμνῳδίας ταῖς ὑπερκοσμίοις γενώμεθα στρατιαῖς. Εἶτα, ἁγιάσαντες ἑαυτοὺς διὰ τῶν πνευματικῶν τούτων ὕμνων, παρακαλοῦμεν (2) τὸν φιλάνθρωπον Θεόν, τὸ ἅγιον Πνεῦμα ἐξαποστεῖλαι ἐπὶ τὰ προκείμενα, ἵνα ποιήσῃ, τὸν μὲν ἄρτον, σῶμα Χριστοῦ· τὸν δὲ οἶνον, αἷμα Χριστοῦ. Πάντως γὰρ οὗ ἐὰν ἐφάψαιτο τὸ ἅγιον Πνεῦμα, τοῦτο ἡγίασται καὶ μεταβέβληται.

ς'. Εἶτα, μετὰ τὸ ἀπαρτισθῆναι τὴν πνευματικὴν θυσίαν, τὴν ἀναίμακτον λατρείαν, ἐπὶ τῆς θυσίας ἐκείνης τοῦ ἱλασμοῦ παρακαλοῦμεν τὸν Θεὸν ὑπὲρ κοινῆς τῶν Ἐκκλησιῶν εἰρήνης· ὑπὲρ τῆς τοῦ κόσμου εὐσταθείας· ὑπὲρ βασιλέων· ὑπὲρ στρατιωτῶν καὶ συμμάχων· ὑπὲρ τῶν ἐν ἀσθενείαις· ὑπὲρ τῶν καταπονουμένων· καὶ ἁπαξαπλῶς, ὑπὲρ πάντων βοηθείας δεομένων δεόμεθα πάντες ἡμεῖς, καὶ ταύτην προσφέρομεν τὴν θυσίαν (3). Εἶτα, μνημονεύομεν (4) καὶ τῶν προκεκοιμημένων, πρῶτον πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων· ὅπως ὁ Θεὸς [ταῖς] εὐχαῖς αὐτῶν καὶ πρεσβείαις προσδέξηται ἡμῶν τὴν δέησιν. Εἶτα καὶ ὑπὲρ τῶν προκεκοιμημένων ἁγίων πατέρων, καὶ ἐπισκόπων, καὶ πάντων ἁπλῶς τῶν ἐν ἡμῖν προκεκοιμημένων· μεγίστην ὄνησιν πιστεύοντες ἔσεσθαι ταῖς ψυχαῖς, ὑπὲρ ὧν ἡ δέησις ἀναφέρεται, τῆς ἁγίας καὶ φρικωδεστάτης προκειμένης θυσίας.

ζ'. Καὶ βούλομαι ὑμᾶς ἀπὸ ὑποδείγματος πεῖσαι. Οἶδα γὰρ πολλοὺς τοῦτο λέγοντας, τί ὠφελεῖται ψυχὴ, μετὰ ἁμαρτημάτων ἀπαλλασσομένη τοῦδε τοῦ κόσμου, ἢ οὐ μεθ' ἁμαρτημάτων, ἐὰν ἐπὶ τῆς προσευχῆς μνημονεύηται (5); Ἆρα γὰρ, εἴ τις βασιλεὺς προσκεκρουκότας αὐτῷ, ἐξορίσους ποιήσειεν, εἶτα οἱ τούτοις διαφέροντες,

(1) Ἡσ. ϛ', 2—3.

(2) Ἐκ τοῦ ΒΤ.—Μ, στρατιαῖς· ἵνα ἁγιάσαντες ἑαυτοὺς διὰ τῶν πνευματικῶν τούτων ὕμνων, παρακαλῶμεν κτλ.

(3) Ἐκ τοῦ ΒΤ.—Μ, δεόμεθά σου πάντες ἡμεῖς, καὶ ταύτην προσφέρομέν σοι τὴν κτλ.

(4) Αὐτόθεν.—Μ, ἵνα μνημονεύσωμεν

(5) Ἐκ τοῦ ΒΤ.—Μ, μνημονεύηται;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στέφανον πλέξαντες, ὑπὲρ τῶν ἐν τιμωρίαις αὐτῷ τοῦτον προσενέγκωσιν (1) οὐκ ἂν αὐτοῖς ἄνεσιν δῴη τῶν κολάσεων; Τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς ὑπὲρ τῶν κεκοιμημένων τῷ Θεῷ (2) τὰς δεήσεις προσφέροντες, κἂν ἁμαρτωλοὶ ὦσιν, οὐ στέφανον πλέκομεν, ἀλλὰ Χριστὸν ἐσφαγιασμένον, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων προσφέρομεν, ἐξιλεούμενοι ὑπὲρ αὐτῶν [τε] καὶ ἡμῶν τὸν φιλάνθρωπον [Θεόν].

ή. Εἶτα μετὰ ταῦτα τὴν εὐχὴν λέγομεν ἐκείνην, ἣν ὁ Σωτὴρ παρέδωκε τοῖς οἰκείοις αὐτοῦ μαθηταῖς (3), μετὰ καθαρᾶς συνειδήσεως Πατέρα ἐπιγραφόμενοι τὸν Θεὸν, καὶ λέγοντες· *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.* Ὤ τῆς μεγίστης τοῦ Θεοῦ φιλανθρωπίας! τοῖς ἀποπηδήσασιν αὐτοῦ, καὶ ἐν ἐσχάτοις γενομένοις κακοῖς, τοσαύτην δεδώρηται κακῶν ἀμνηστείαν, καὶ χάριτος μετουσίαν, ὡς καὶ Πατέρα ἐπικαλεῖσθαι. *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.* Οὐρανοὶ δὲ (4) εἶεν ἂν καὶ οἱ *τὴν τοῦ ἐπουρανίου φοροῦντες εἰκόνα* (5), *ἐν οἷς ἐστι Θεὸς ἐνοικῶν καὶ ἐμπεριπατῶν* (6).

θ'. *Ἁγιασθήτω τὸ ὄνομά σου.* Ἅγιόν ἐστι φύσει τὸ τοῦ Θεοῦ ὄνομα, κἂν λέγωμεν, κἂν μὴ λέγωμεν. Ἐπεὶ [δὲ] καὶ ἐν τοις ἁμαρτάνουσιν ἔσθ' ὅτε βεβηλοῦται, κατὰ τὸ « Δι' ὑμᾶς τὸ ὄνομά » μου διὰ παντὸς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν » (7), εὐχόμεθα ἐν ἡμῖν ἁγιασθῆναι τὸ ὄνομα τοῦ Θεοῦ. Οὐχ ὅτι ἐκ τοῦ μὴ εἶναι [ἅγιον] ἐπὶ τὸ εἶναι ἔρχεται, ἀλλ' ὅτι ἐν ἡμῖν ἅγιον γίνεται, ἁγιαζομένοις καὶ ἄξια τοῦ ἁγιασμοῦ ποιοῦσιν.

ι. *Ἐλθέτω ἡ βασιλεία σου.* Καθαρᾶς ψυχῆς ἐστι τὸ σὺν παῤῥησίᾳ φάναι, *Ἐλθέτω ἡ βασιλεία σου.* Ὁ γὰρ ἀκούσας Παύλου λέγοντος, « Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ σώματι» (8)· ἀλλὰ καθάρας ἑαυτὸν πράξει, καὶ ἐννοίᾳ, καὶ λόγῳ, ἐρεῖ τῷ Θεῷ· *Ἐλθέτω ἡ βασιλεία σου.*

ια. *Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.*

---

(1) Ἐκ τοῦ BT.—M, προσενεγκεῖεν,

(2) Ἐν ἀμφοτέροις, BT καὶ M, αὐτῷ—(Σημ. Ἀντὶ ταύτης τῆς γραφῆς παρεδεξάμην τὴν τῷ Θεῷ, εἰκαστικῶς ἐν τῷ περισελίδῳ BT σεσημειωμένην.)

(3) Ματθ. ς', 9.

(4) Ὁ δὲ ἐκ τοῦ BT· ἀντὶ τοῦ ἐν τῷ M, γὰρ

(5) Α' πρὸς Κορινθ. ΙΕ', 49. (6) Β' πρὸς Κορινθ. ς', 16.

(7) Ἰσ. ΝΒ', 5· καὶ πρὸς Ῥωμ. Β', 24. (8) Πρὸς Ῥωμ. ς', 12.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ θεῖοι καὶ μακάριοι τοῦ Θεοῦ Ἄγγελοι, τὸ [τοῦ] Θεοῦ θέλημα ποιοῦσι, καθὼς Δαβὶδ ψάλλων ἔλεγεν· « Εὐλογεῖτε τὸν Κύριον » πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὰ θελήματα » αὐτοῦ » (1). Δυνάμει τοίνυν εὐχόμενος τοῦτο λέγεις· Ὡς ἐν ἀγγέλοις γίνεταί σου τὸ θέλημα, οὕτω καὶ ἐπὶ τῆς γῆς ἐν ἐμοὶ γένοιτο, Δέσποτα.

ιβ'. *Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.* Ὁ ἄρτος οὗτος ὁ κοινός, οὐκ ἔστιν ἐπιούσιος. Ἄρτος δὲ οὗτος ὁ ἅγιος, ἐπιούσιός ἐστιν· ἀντὶ τοῦ, [ἐπὶ] τὴν οὐσίαν τῆς ψυχῆς καταστασόμενος (2). Οὗτος ὁ ἄρτος, οὐκ εἰς κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται (3), ἀλλ' εἰς πᾶσάν σου τὴν σύστασιν ἀναδίδοται, εἰς ὠφέλειαν σώματος καὶ ψυχῆς. Τὸ δὲ *σήμερον*, ἀντὶ τοῦ καθ' ἡμέραν λέγει, ὡς καὶ Παῦλος ἔλεγεν· « Ἄχρις οὗ τὸ σήμερον κα» λεῖται » (4).

ιγ'. *Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.* Πολλὰ γὰρ ἔχομεν ἁμαρτήματα· πταίομεν γὰρ καὶ ἐν λόγῳ καὶ ἐν διανοίᾳ, καὶ πλεῖστα καταγνώσεως ἄξια ποιοῦμεν· καὶ, « Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, » ψευδόμεθα, ὡς λέγει Ἰωάννης » (5). Καὶ πρὸς τὸν Θεὸν τιθέμεθα συνθήκας, συγχωρῆσαι ἡμῖν παρακαλοῦντες τὰ ἁμαρτήματα, ὡς καὶ ἡμεῖς τοῖς πέλας τὰ ὀφειλήματα. Ἐννοοῦντες τοίνυν ἀνθ' οἵων (6) οἷα λαμβάνομεν, μηδὲ ὑπερτιθώμεθα συγχωρεῖν ἀλλήλοις. Τὰ πταίσματα τὰ γινόμενα εἰς ἡμᾶς, μικρά ἐστι καὶ εὐτελῆ, καὶ εὐδιάλυτα· τὰ δὲ εἰς Θεὸν ὑφ' ἡμῶν γενόμενα, μεγάλα ἐστὶ, τῆς αὐτοῦ μόνης δεόμενα φιλανθρωπίας. Πρόσεχε οὖν μὴ, διὰ τὰ μικρὰ καὶ εὐτελῆ εἰς σὲ ἁμαρτήματα, ἀποκλείσῃς σεαυτῷ τῶν βαρυτάτων ἁμαρτημάτων τὴν παρὰ Θεοῦ συγχώρησιν.

ιδ'. *Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, Κύριε.* Ἆρα

(1) Ψαλμ. ΡΒ', 20.
(2) Ἐκ τοῦ ΒΤ.—Μ, ἀντὶ τοῦ, τὴν οὐσίαν τῆς ψυχῆς καταστησόμενος.
(3) Ματθ. ΙΕ', 17.
(4) Πρὸς Ἑβρ. Γ', 13.
(5) Α' Ἰωάν. Α', 8.
(6) Ἐκ τοῦ ΒΤ.—Μ, ἀνθ' ὧν οἷα κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦτο διδάσκει, εὔχεσθαι ἡμᾶς μηδόλως πειρασθῆναι, ὁ Κύριος; Καὶ πῶς εἴρηται ἀλλαχοῦ· *Ἀνὴρ ἀπείραστος, ἀδόκιμος* (1); Καὶ πάλιν· «Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς » περιπέσητε ποικίλοις» (2). Ἀλλὰ, μήποτε τὸ εἰσελθεῖν ἐστιν εἰς πειρασμὸν, τὸ καταβαπτισθῆναι ὑπὸ τοῦ πειρασμοῦ; Ἔοικε γὰρ ὁ πειρασμὸς, ὥς περ χειμάῤῥῳ τινὶ δυσκόλῳ πρὸς διάβασιν. Οἱ μὲν οὖν ἐν πειρασμοῖς μὴ καταβαπτιζόμενοι, διαβαίνουσιν ἄριστοί τινες κολυμβηταὶ γινόμενοι, καὶ μηδόλως ὑπ' αὐτῶν κατασυρόμενοι· οἱ δὲ μὴ τοιοῦτοι, εἰσιόντες καταβαπτίζονται. Οἷον, ὡς ἐπὶ παραδείγματος, Ἰούδας εἰσελθὼν εἰς τὸν τῆς φιλοχρηματίας πειρασμὸν, οὐ διενήξατο· ἀλλὰ καταβαπτισθεὶς, καὶ σωματικῶς καὶ πνευματικῶς ἀπεπνίγη. Πέτρος εἰσῆλθεν εἰς τὸν τῆς ἀρνήσεως πειρασμόν· ἀλλὰ εἰσελθὼν οὐκ ἐβαπτίσθη, ἀλλὰ γενναίως διανηξάμενος ἐῤῥύσθη ἀπὸ τοῦ πειρασμοῦ. Ἄκουε πάλιν ἀλλαχοῦ ὁλοκλήρων ἁγίων χοροῦ, εὐχαριστοῦντος ἐπὶ τοῦ (3) ἐξαιρεθῆναι τοῦ πειρασμοῦ· « Ἐδο-

---

(1) Εἰ καὶ οὐχ εὕρηται ἐν ταῖς Γραφαῖς ἡ ῥῆσις αὐτολεξεί, ἀλλ' ὅμως πολλαχοῦ τῶν ἱερῶν βιβλίων εὑρίσκονται ἕτεραι οὐκ ὀλίγαι, ἐν ἄλλαις μὲν λέξεσιν, αὐτὴν δὲ ταύτην τὴν ἔννοιαν περιέχουσαι. Οἷον, ἐν τῇ βίβλῳ τῶν Ψαλμῶν (ΠΗ', 31—35.)·—ἐν τῇ τοῦ Ἰὼβ (Ε', 17.)·—ἐν τῇ τῶν Παροιμιῶν (Γ, 11 καὶ 12, καὶ ΙΖ', 3)·—ἐν τῇ τῆς Σοφίας Σολομῶντος (Γ', 1—6.)·—ἐν τῇ τῆς Σοφίας Σειρὰχ (Β', 1—18.)·—ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ (Γ, 22· καὶ ΚΔ', 13.)·—ἐν τῷ κατὰ Μάρκον (ΙΓ', 13.)·—ἐν τῷ κατὰ Λουκᾶν (ΚΑ', 17.)·—ἐν ταῖς ἐπιστολαῖς τοῦ θείου Παύλου (Πρὸς Ῥωμ. Ε', 3 καὶ 4. Α' πρὸς Κορινθίους Θ', 19—27. Β' πρὸς Τιμόθ. Δ', 7—8. πρὸς Ἑβραίους ΙΒ', 5—11.)·—ἐν τῇ καθολικῇ Ἐπιστολῇ Ἰακώβου (Α', 12.)·—ἐν τῇ πρώτῃ καθολικῇ Ἐπιστολῇ Πέτρου (Α', 6—7· καὶ Δ', 14 κ' ἑπόμ.)·—ἐν τῇ Ἀποκαλύψει (Β', 10· καὶ Γ', 19.)· — καὶ ἀλλαχοῦ. Κατὰ τὴν ἔννοιαν αὐτῶν τῶν Γραφικῶν ῥήσεων φαίνεται πως διεσκευασμένον καὶ τὸ προοίμιον τῆς ΣΙΔ' ἐπιστολῆς τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἀρχόμενον οὕτως· « Οὐ δόκιμον τὸ »ἀπείραστον· τὸ δὲ βασανισθὲν ἐν τοῖς πράγμασι, δοκιμώτερον· ὡς ἐν καμίνῳ χρυ»σός. Καὶ εἰ μέν σοι τοῦτο πεφιλοσόφηται, τῷ Θεῷ χάρις.» κτλ. (Βλ. Τόμ. ΔΖ'. σελ. 849 τῆς ἐν Παρισίοις ἐκδοθείσης ἐκδόσεως.)

Σημειούσθω δ' ἐν παρόδῳ, ὅτι αὕτη ἡ ἐν τῷ κειμένῳ τοῦ θείου Κυρίλλου ῥῆσις εὑρίσκεται αὐτολεξεὶ καὶ ἐν τῇ Περὶ πίστεως ἐκδόσει τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ (Βιβλ. Β', κεφ. λδ'), ἔνθα ὁ ἱερὸς οὗτος Πατὴρ λέγει· « Ἔδει τοίνυν »πρότερον δοκιμασθέντα τὸν ἄνθρωπον (ἀνὴρ γὰρ ἀπείραστος, ἀδόκι»μος· οὐδενὸς λόγου ἄξιος·), καὶ τῇ πείρᾳ διὰ τῆς τηρήσεως τῆς ἐντολῆς τε»λειωθέντα, οὕτω τὴν ἀφθαρσίαν ἀρετῆς κομίσασθαι ἔπαθλον. » (Βλ. σελ. 98 τῆς ἐν Ἰασίῳ ἐκδόσεως, φιλέ.) (2) Ἰακώβ. Α', 2. (3) Γρ. ἱσ. ἐπὶ τῷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» κίμασας ἡμᾶς ὁ Θεὸς, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. » Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα· ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡ-» μῶν. Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. Διήλθομεν » διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν» (1). Ὁρᾷς αὐτοὺς παῤῥησιαζομένους ἐπὶ τὸ διελθεῖν, καὶ μὴ ἐμπαρῆναι (2). *Καὶ ἐξήγαγες ἡμᾶς*, φησὶν, *εἰς ἀναψυχήν*. Τὸ εἰς ἀναψυχὴν ἐλθεῖν αὐτοὺς, ἐστὶ τὸ ἀπὸ πειρασμοῦ ῥυσθῆναι.

ιέ. *Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ*. Εἰ ἦν τὸ, *μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν*, τὸ τοῦ μηδόλως πειρασθῆναι παραστατικὸν, οὐκ ἂν ἔλεγεν· « Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. » Πονηρὸς δὲ, ὁ ἀντικείμενος δαίμων, ἀφ' οὗ ῥυσθῆναι εὐχόμεθα. Εἶτα μετὰ τὴν πλήρωσιν τῆς εὐχῆς λέγεις, *Ἀμήν*· ἐπισφραγίζων διὰ τοῦ *Ἀμὴν*, ὃ σημαίνει *γένοιτο*, τὰ ἐν τῇ θεοδιδάκτῳ εὐχῇ.

ις'. Μετὰ ταῦτα λέγει ὁ ἱερεύς· *Τὰ ἅγια τοῖς ἁγίοις*. Ἅγια τὰ προκείμενα, ἐπιροίτησιν δεξάμενα ἁγίου Πνεύματος. Ἅγιοι καὶ ὑμεῖς, Πνεύματος ἁγίου καταξιωθέντες. *Τὰ ἅγια* οὖν *τοῖς ἁγίοις* κατάλληλα. Εἶτα ὑμεῖς λέγετε, *εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός*. Ἀληθῶς γὰρ εἷς ἅγιος, φύσει ἅγιος· ἡμεῖς δὲ καὶ ἅγιοι, ἀλλ' οὐ φύσει, ἀλλὰ μετοχῇ, καὶ ἀσκήσει, καὶ εὐχῇ.

ιζ'. Μετὰ ταῦτα, ἀκούετε τοῦ ψάλλοντος μετὰ μέλους θείου, προτρεπομένου ὑμᾶς εἰς τὴν κοινωνίαν τῶν ἁγίων μυστηρίων, καὶ λέγοντος· *Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος*. Μὴ τῷ λάρυγγι τῷ σωματικῷ ἐπιτρέπητε τὸ κριτικόν· οὐχὶ, ἀλλὰ τῇ ἀνενδοιάστῳ πίστει. Γευόμενοι γὰρ, οὐκ ἄρτου καὶ οἴνου κελεύονται γεύσασθαι, ἀλλὰ ἀντιτύπου σώματος καὶ αἵματος τοῦ Χριστοῦ.

ιή. Προσιὼν οὖν, μὴ τεταμένοις τοῖς τῶν χειρῶν καρποῖς προσέρχου, μηδὲ διῃρημένοις τοῖς δακτύλοις· ἀλλὰ τὴν ἀριστερὰν θρόνον ποιήσας τῇ δεξιᾷ, ὡς μελλούσῃ βασιλέα ὑποδέχεσθαι· καὶ κοιλάνας τὴν παλάμην, δέχου τὸ σῶμα τοῦ Χριστοῦ, ἐπιλέγων τὸ, Ἀμήν. Μετ' ἀσφαλείας οὖν ἁγιάσας τοὺς ὀφθαλμοὺς τῇ ἁφῇ τοῦ ἁγίου σώματος, μεταλάμβανε, προσέχων μὴ παραπολέσῃς τι ἐκ τούτου αὐτοῦ· ὅπερ γὰρ ἐὰν ἀπολέσῃς, τοῦτο ὡς ἀπὸ οἰκείου δη-

(1) Ψαλμ. ΞΕ', 10—12.

(2) Γρ. ἵσ. ἐμπαγῆναι.—(Βλ. Ψαλμ. ΞΗ', 3 καὶ 15.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λονότι ἐζημιώθης μέλους. Εἰπὲ γάρ μοι, εἴ τίς σοι ἔδωκε ψήγματα χρυσίου, οὐκ ἂν μετὰ πάσης ἀσφαλείας ἐκράτεις, φυλαττόμενος μή τι αὐτῶν παραπολέσῃς, καὶ ζημίαν ὑποστῇς; οὐ πολλῷ οὖν μᾶλλον ἀσφαλέστερον, τοῦ χρυσίου καὶ λίθων τιμίων τιμιωτέρου, διασκοπήσεις ὑπὲρ τοῦ μὴ ψίχαν σοι ἐκπεσεῖν;

ιθ'. Εἶτα, μετὰ τὸ κοινωνῆσαί σε τοῦ σώματος Χριστοῦ, προσέρχου καὶ τῷ ποτηρίῳ τοῦ αἵματος· μὴ ἀνατείνων τὰς χεῖρας, ἀλλὰ κύπτων, καὶ τρόπῳ προσκυνήσεως καὶ σεβάσματος λέγων τὸ, *Ἀμήν*, ἁγιάζου, καὶ ἐκ τοῦ αἵματος μεταλαμβάνων Χριστοῦ. Ἔτι δὲ τῆς νοτίδος ἐνούσης τοῖς χείλεσί σου, χερσὶν ἐπαφώμενος, καὶ ὀφθαλμοὺς, καὶ μέτωπον, καὶ τὰ λοιπὰ ἁγίαζε αἰσθητήρια. Εἶτα ἀναμείνας τὴν εὐχὴν, εὐχαρίστει τῷ Θεῷ τῷ καταξιώσαντί σε τῶν τηλικούτων μυστηρίων.

Κατέχετε ταύτας παραδόσεις ἀσπίλους, καὶ ἀπροσκόπους ἑαυτοὺς διαφυλάξατε. Τῆς κοινωνίας ἑαυτοὺς μὴ ἀποῤῥήξητε· μὴ διὰ μολυσμὸν ἁμαρτιῶν, τῶν ἱερῶν τούτων καὶ πνευματικῶν ἑαυτοὺς ἀποστηρήσητε μυστηρίων. Ὁ δὲ Θεὸς τῆς εἰρήνης ἁγιάσαι [ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον] ὑμῶν τὸ σῶμα, καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διατηρηθείη· ᾧ ἡ δόξα, τιμὴ, καὶ κράτος, σὺν Πατρὶ *καὶ Υἱῷ* καὶ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΟΜΟΥ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΤΩΝ ΚΑΤΑ ΤΟΝ ΤΥΠΟΝ ΗΜΑΡΤΗΜΕΝΩΝ ΔΙΟΡΘΩΣΙΣ.

ΣΕΛΙΔΙ 6, στίχ. 21, γρ. ἡμῖν—Σελ. 15, ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ. ΒΙΒΛ. Β', δ'. —Σελ. 20, στίχ. 16, γρ. ὅς, πρὸς τοὺς εἰρημένους,—Σελ. 21, στίχ. 18, γρ. τοὺς συνόντας, λέγων—Σελ. 26, στίχ. 28, γρ. τῶν δέ τοι σε—Σελ. 28, στίχ. 7, γρ. εἰτεμὴ, βία μᾶλλον—Σελ. 55, στίχ. 31, γρ. ἐξανίσασο—Σελ. 72, στίχ. 19 καὶ 20, γρ. οὔθ' ὅλως πρὸς εὐδαιμονίαν—Σελ. 80. στίχ. 18, γρ. ἁπασῶν δ' ἥττους.—Σελ. 86, στίχ. 22, γρ. αὐτοὺς —Σελ. 87, στίχ. 25, γρ. αὐτῆς —Σελ. 143, στίχ. 1, γρ. ἀπέφηνε —Σελ. 144, στίχ. 28 καὶ 29, γρ. τὰ δὲ — Σελ. 147, στίχ. 27, γρ. οὐδὲν ὠφελῆ. — Σελ. 151, στίχ. 10, γρ. εἰς τὰς Κατηχήσεις — Σελ. 156, στίχ. 27, γρ. Ἐκ τοῦ ΒΤ. — Σελ. 158, στίχ. 26 καὶ 27, γρ. συγκαταριθμηθῆτε — Σελ. 175, στίχ. 15, γρ. (ἐκ τοῦ ΒΤ.) πρόσεχε — Αὐτόθι, στίχ. 23, γρ. ἵνα [Πνεύματι] ἐρραντισμένοι τὴν καρδίαν, καὶ λελουμένοι τὸ σῶμα — Σελ. 179, στίχ. 26, γρ. [αὐτὸν] τὸν Υἱὸν — Σελ. 182, στίχ. 4, γρ. οὐκ ἠδύνατο, — Σελ. 183, στίχ. 33, γρ. καὶ ἐκπλυνεῖ — Αὐτόθι, στίχ. 34, γρ. πρὸς τὸ ἐκπλυνεῖ, ῥαντιεῖ —Σελ. 184, στίχ. 1, γρ. Ἐκπλυνεῖ — Σελ. 186, στίχ. 34, γρ. Πρὸς Ἑβρ. Ε', 13—14. — Σελ. 187, στίχ. 5, γρ. δυσσεβῶς — Αὐτόθι, στίχ. 22, γρ. οὐθ' εἱμαρμένη — Αὐτόθι, στίχ. 27, γρ. κατὰ τὸν [τῆς] νυκτὸς — Σελ. 188, στίχ. 31, γρ. Πρὸς Ἑβρ. Α', 4 κ' ἑπόμ. καὶ Β', 9 κ' ἑπόμ. — Σελ. 189, στίχ. 2, γρ. [ὁ] πρὸ πάντων — Σελ. 191, στίχ. 4, γρ. ἀνέστη τὸ —Αὐτόθι, στίχ. 30, γρ. 32 κ' ἑπόμ. — Αὐτόθι, στίχ. 32, γρ. (6) Δευτερονομ. ΙΘ', 15· καὶ Ματθ. ΙΗ', 16. — Σελ. 192, στίχ. 9, γρ. ἐναπέμεινε—Σελ. 193, στίχ. 14, γρ. σφραγίζον [σου] τὴν ψυχήν· — Σελ. 200, στίχ. 17, γρ. Πνεύματι—Σελ. 202, στίχ. 15, γρ. καὶ [τὸ] τῶν Κριτῶν— Αὐτόθι, στίχ. 30, γρ. προσωνυμίας [ἐπικεχρωσμένον,]—Σελ. 203, στίχ. 16, γρ. Μήτε δὲ —Σελ. 205, στίχ. 19, γρ. ὑμᾶς—Αὐτόθι, στίχ. 20, γρ. τὴν ὁδὸν ὑμῖν παραστήσασα, πῶς δεῖ — Αὐτόθι, στιχ. 21, γρ. καὶ ὑμᾶς—Σελ. 206, στίχ. 15, γρ. ἀλλὰ [καὶ] ἐκ πίστεως. — Σελ. 207, στίχ. 11, γρ. Πῶς τοίνυν ἐστὶ πατὴρ πολλῶν — Σελ. 211, στίχ. 23, γρ. τὴν — Σελ. 229, στίχ. 8, γρ. βάλετε — Σελ. 246, στίχ. 1, γρ. ἕως τῶν νεφελῶν, — Σελ. 247, στίχ. 30, γρ. ΛΖ', 2 κ' ἑπόμ. — Σελ. 252, στίχ. 2, γρ. ἕτοιμος ἢ [ἐκ φύσεως] πρὸς τοῦτο — Αὐτόθι, στίχ. 14, γρ. θέρους μὲν —Σελ. 256, στίχ. 14, γρ. (ἐν τῷ κειμένῳ μὲν) γοργώτατος, (ἐν ὑποσημειώσει δὲ) Ἐκ τοῦ ΒΤ. — Μ, γεωργότατος, — Σελ. 265, στίχ. 4, γρ. ὅπερ ἐστὶ — Σελ. 266, στίχ. 31, γρ. Ἰησ. Ναυὴ Ϛ', 19. — Σελ. 268, στίχ. 18, γρ. (6), — Αὐτόθι, στίχ. 19, γρ. (7). — Σελ. 272, στίχ. 24, γρ ἡ δὲ προσθήκη — Σελ. 280, στίχ. 16, γρ. αὐτὸν (4) — Σελ. 301, στίχ. 12, γρ. Ὀλυμπιάδες, — Σελ. 316, στίχ. 15, γρ. (ἐν ὑποσημειώσει.) Ἐκ τοῦ ΒΤ. — Μ, ἀναγγελεῖ — Σελ. 336, στίχ. 26, γρ. Α' πρὸς Κορινθ. ΙΕ', 3—4. — Σελ. 343, στίχ. 31, γρ. (7) Ψαλμ. ΙΕ', 7. — Σελ. 355, στίχ. 12, γρ. τὸν ποιμένα—Σελ. 368, στίχ. 33 γρ. (7) Ματθ. ΚΔ', 10.—Σελ. 396, στίχ. τελευτ. γρ. (10) Ψαλμ. ΡΜΗ', 8. —Σελ. 397, στίχ. 33, γρ. 17—18.—Σελ. 398, στίχ. 29, γρ. Ἰεζεκ. Γ', 1, 2 κ' ἑπόμ.— Σελ. 410, στίχ. 30. γρ. ἐδιδάχθημεν, — Σελ. 413, στίχ. 10, γρ. ἀλλ' ἓν — Σελ. 416, στίχ. 32, γρ. (4) Λουκ. ΙΑ', 13. — Σελ. 418, στίχ. 33, γρ. Αὐτόθι, Α', 5. —Σελ. 419, στίχ. 23, γρ. (8).—Σελ. 420, στίχ. 17, γρ. εἰ ὑμεῖς—Σελ. 421, στίχ. 14, γρ. ἀπὸ πιότητος—Σελ. 426, στίχ. 30, γρ. (4) Αὐτόθι, Η', 5, 7.— Σελ. 458, στίχ. 4 καὶ 5, γρ. ὁ ὁλοθρεύων τοὺς τὸ σημεῖον— Αὐτόθι, στίχ. 31, γρ. καταποντουμένους— Σελ. 461, στίχ. 11, γρ. ὡς ἡ τοῦ Θεοῦ—Σελ. 475, στίχ. 34, γρ. μνημονεύητε;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Πωλεῖται δραχμῶν ἓξ
πρὸς ὄφελος τοῦ ταμείου τῶν ἱερατικῶν σχολείων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής